This is a reproduction of a library book that was digitized by Google as part of an ongoing effort to preserve the information in books and make it universally accessible.

Google books

https://books.google.com

Digitized by Google

3442

Y42 A8




Digitized by Google

Vedun 3442

Digitized by Google

Digitized by Google

# ARISTOTELIS

# METAPHYSICA

RECOGNOVIT ET ENARRAVIT

**HERMANNVS BONITZ**

PHIL. D. GYMN. STETTIN. PROF.

*PARS PRIOR*

BONNAE

AD. MARCVS

MDCCCXLVIII

Digitized by Google

Digitized by Google

Aristotelis libros metaphysicos si quis vel enarrare vel a librariorum mendis liberare instituerit, is ne operam in re inutili collocasse iudicetur non vereor. Etenim et Aristoteleae philosophiae ea est quum suapte natura dignitas tum apud posteriores omnium prope temporum philosophos auctoritas, ut eos libros, quibus summa doctrinae principia philosophus se expositurum profiteatur, diligenter excussisse et quam accuratissime intellexisse non possit non operae pretium videri; et metaphysicorum librorum tanta est et in sententiis et in verbis obscuritas, ut interpretis operam neque exiguam neque admodum facilem requirant: librariorum autem erroribus, e scriptis libris in editos propagatis, difficultates istae magnopere sunt adauctae. Ac de emendando quidem Metaphysicorum textu quam egregie nostra aetate meruerint clarissimi viri, *Chr. Aug. Brandisius* et *Imm. Bekkerus*, neminem potest fugere, qui editiones horum virorum cum superioribus vel obiter comparaverit. Sed etiam post hanc operam libris metaphysicis felicissimo eventu navatam permulta superesse quae emendatione egeant, et in ipso illo Aristoteleo opere, quod Academiae Regiae Borussicae auspiciis Bekkerus et Brandisius ediderunt, haud exigua etiam nunc latere emendandi textus subsidia, in Observationibus criticis ad Aristotelis libros metaphysicos ante hos sex annos editis ita docui, ut aliquot corruptelas et indicarem et tollere studerem.



Digitized by Google

Quarum quidem emendationum quum viri docti, qui de libello meo iudicium fecerunt *), multas suo suffragio comprobarent, alias alii reiicerent, in eo tamen consenserunt omnes ut et depravatas plurimis locis Aristotelis sententias librariorum erroribus et in promptu esse emendandi subsidia ab editoribus nondum satis diligenter adhibita statuerent, eamque rationem ac viam, quam ego ingressus essem, probandam censerent. Hoc consensu confirmatus, quum emendatis explicatisve aliquot insignioribus Metaphysicorum locis, omissis aliis non paucioribus, qui et ipsi medelam desiderarent, legentium usui non satis prospectum esse intelligerem, quidquid otii munus scholasticum mihi concedebat, id omne in explicandis et emendandis libris metaphysicis consumpsi. Nimirum duplex haec et emendandi et explicandi ratio divelli inter se nec debebat nec vero poterat: sententia enim philosophi neque intelligi penitus nec vere ac plene explicari potest, nisi ad minutissima quaeque acerrime attenderis, et quidquid depravatum esse appareat emendare susceperis; emendandi autem studium nisi ad quaerendam veram explicandi rationem pertineat, nec quo nitatur habet nec quo referatur. Et in enarrando quidem quam sim rationem secutus, exponam in praefatione alterius voluminis, quod intra semestre spatium editum iri spero; hoc priore volumine quoniam verba Aristotelis et apparatus criticus continentur, quae habuerim in constituendo textu subsidia et qua ratione iis usus sim paucis videtur demonstrandum esse.

Apparatus criticus, quem textui subieci, ex his compositus est partibus. Primum integrum recepi apparatum Bekkeri; is autem adhibuit hos quindecim libros manuscriptos, quorum iam et sigla afferam et quid vel e ca-

*) L. Spengel, Münch. Gel. Anz. 1843. No. 242 sq. — F. Breier, N. Jen. Litz. 1843. No. 218 sq. — Winckelmann, N. Jahrb. f. Philol. 1843. XXXIX, 3. p. 283 sqq.

Digitized by Google

talogis bibliothecarum (quorum descriptiones his signis « » inclusi) vel aliunde de eorum aetate vel fide cognoverim adiiciam.

*(E)* Paris. 1853. « Cod. membranaceus, olim Mediceus. Is codex saeculo decimo ineunte maximam partem exaratus videtur. Ad illam vero, quae manum antiquam prae se fert, accessere scholia antiqua et ipsa, sed non aeque omnia, ad quosdam libros perpetua ad alios rariora. Manu recentiore scripta sunt folia ultima 108 saeculo, ut opinor, quarto decimo, idque a tribus quatuorve calligraphis, quorum unus Philalitides nominatur. » Metaphysica antiquiore manu exarata sunt. Plura de hoc codice exposuit Trendelenburgius in praef. ad libr. de an. p. XXIII sqq.

*(F)*, a Bekkero siglo *f* significatus, Marcianus 206, « in quarto, membranaceus, foliorum 335, saeculi XV. — Nota fol. 175: *Ἐτελειώθη ἐν Ῥώμῃ ποινηλατουμένῳ μοι καὶ αὐτῷ Ἀπριλλ. . . ια´ ἔτει ϛϡσε´* (1467). *Πατρὶς δέ μοι Λακεδαίμων, ἡ πάλαι ποτὲ μὲν εὐδαίμων, νῦν δὲ μάλιστα κακοδαίμων.* »

*(Q)* Marcianus 200, « in folio, membranaceus, foliorum 594, saeculi XV. Aristotelis opera omnia exceptis logicis. Nota in fine: *Ἐτελειώθη ἡ παροῦσα βίβλος ἐν ἔτει ἀπὸ Χριστοῦ αυμζ´* (1447) *ἰνδ. ε´, μηνὸς Ἰουλίου ιε´, διὰ χειρὸς ἐμοῦ Ἰωάννου ἱερέως Ῥόσου, τοῦ ἐκ Κρήτης, δι᾽ ὁρισμοῦ καὶ ἐξόδου τοῦ αἰδεσιμωτάτου ἐν Χριστῷ πατρὸς κυρίου Βησσαρίωνος Καρδινάλεως ἐπισκόπου τῶν Τούσκλων καὶ αὐθέντου ἡμετέρου ἐν Ῥώμῃ.* »

*(S)* Laurentianus 81, 1. « Codex Graecus papyraceus mscr. in folio, saeculi partim XII partim XIII, notulis hinc inde in margine aspersus. Constat foliis scriptis 213. Metaphysica leguntur inde a p. 169. Extremi quatuor libri alio ordine positi sunt atque in editionibus, ita quidem ut duo libri *MN*, qui in editionibus extre-

Digitized by Google

mum habent locum, in codice ante libros *KΛ* scripti sint.»

*(T)* Vaticanus 256. Eum librum Brandisius (über die Aristot. Handschr. im Vatican. Abhandl. der Berl. Akad. vom J. 1831 p. 63) sic describit: bombycinus, in quarto, non eadem manu scriptus, constat foliis scriptis 474. Aristotelis Metaphysica, a quibus orditur codex, nitide quidem scripta sunt, sed multa et ea quidem haud levia sunt omissa, quod partim librarii negligentia videtur factum esse. In fine Metaphysicorum haec scripta sunt: τετέλεσται ἡ παροῦσα βίβλος ἐν ἔτει ϛω′ εἰκοστῷ ἐνάτῳ (i. e. anno 1321). Inde a folio 218 codex alios continet libros maximam partem Aristoteleos, minus eleganter scriptos.

*($H^a$)* Marcianus 214, «in folio minori, membranaceus, foliorum 240, saeculi circiter XI.»

*($A^b$)* Laurentianus 87, 12. «Aristotelis Metaphysica cum commentario Alexandri Aphrodisiensis, qui totum codicis marginem undequaque ambit. Textus literis grandioribus. Commentarius Alexandri incipit ἐπειδὴ ἡ γνῶσις. Codex membranaceus, saeculi XIII, optimus. — Quatuor posteriorum librorum ordo diversus est in codice: qui enim in editionibus sunt XIII et XIV, ii in codice sunt XI et XII; et contra qui in editionibus sunt XI et XII ii in cod. decimi tertii et decimi quarti locum tenent.»

*($B^b$)* Laurentianus 78, 18. Aristotelis Metaphysicorum libri XIV, eorum ordo idem est cum illo codicis XII huius plutei *($A^b$)*. — Codex Graecus papyraceus manuscriptus in quarto, saeculi XIV, tineis ac vetustate valde detritus, ac duobus foliis in fine nova manu suppletis. Constat foliis scriptis 105.»

*($C^b$)* Laurentianus 87, 26. «Aristotelis Meteorologicorum libri IV, deinde a p. 79 Metaphysicorum libri XIV, eodem ordine ut in codice XII huius plutei *($A^b$)*. Co-

Digitized by Google

dex Graecus bombycinus mscr. in quarto, saeculi XIV, cum scholiis quibusdam Graecis et alicubi Latinis in margine, quae videntur esse Francisci Philelphi. Constat foliis scriptis 235.»

*($D^b$)* Ambrosianus F 113.

*($E^b$)* Marcianus 211 «in octavo, chartaceus, foliorum 281, saeculi circiter XII. Aristotelis libri de coelo, de gen. et corruptione al., singulis libris apponuntur scholia marginalia et interlinearia. — Arist. Metaphysicorum libri XIV, quorum postremi quatuor diverso ordine sunt ac in editis. Praemittitur Theophrasti Eresii Metaphysicorum fragmentum sive liber I.»

*($F^b$)* Paris. 1876. Alexandri Aphrodisiensis commentarii in Aristotelis Metaphysica. «Codex Graecus, in folio, bombycinus, foliorum 288, saeculi XIII.» Plura de eo libro exposui in praefatione ad Alex. Aphrod. comm. ad Metaph. p. VI, XIV, XVIII. — Ipsa Aristotelis verba non continuo ordine in hoc libro exhibentur, sed modo eatenus, quatenus pro lemmate singulis commentarii particulis praescripta sunt. Iam vero Bekkerus eodem siglo *$F^b$* et eam significavit lectionis varietatem, quae his lemmatis continetur, et eas lectiones, quas Alexandrum interpretatum esse ex eius commentario intelligas. Quoniam autem in lemmatis non ipse exhibetur Aristotelis textus qualem Alexander habuit, sed interdum alia est in lemmatis lectio alia in commentario tractatur, neque vero eadem lemmatum et commentarii est auctoritas, haec, quum ipse conferrem codicem, distinguenda putavi, et siglo quidem *$F^b$* ea significavi, quae in lemmatis leguntur; quae ex commentario repetita sunt, ea ipsi Alexandro tribui.

*($G^b$)* Paris. 1896. «Codex chartaceus, olim Boistallerianus, quo continentur Syriani Philoxeni scholia in librum secundum Metaphysicorum Aristotelis. Subiiciuntur quaedam de providentia. Is codex saeculo decimo

Digitized by Google

sexto exaratus videtur.» Ex hoc libro et ex Coisliniano 161 (*I*ᵇ) Brandisius Syriani exscripsit commentarium, qui altero scholiorum Aristoteleorum volumine edetur. Quo apographo quum mihi liceret uti per eximiam Brandisii liberalitatem, cognovi non solum libri *B* commentarium, ut legitur in catal. bibl. Paris., sed etiam quae ad libros *MN* Syrianus commentatus est, eodem codice contineri, ipsaque Aristotelis verba lemmatum instar singulis commentarii particulis praemissa esse, et ita quidem ut inter se coniuncta plenum exhibeant librorum *BMN* textum. Bekkerus aliquoties etiam in libro *Γ* scripturae varietatem ex cod. *G*ᵇ attulit, unde etiam huius libri commentarium eo codice contineri concludas; Brandisius autem ad exscribendum Syriani ad librum *Γ* commentarium unum codicem *I*ᵇ adhibuit, quem Bekkerus in varietate lectionis ad librum *Γ* nusquam commemorat. Et codicem *I*ᵇ quidem exhibere Syriani ad librum *Γ* commentarium quum praeterea etiam e catalogo bibliothecae Coislinianae appareat, suspicor Bekkerum in apparatu critico libri *Γ* per errorem siglum *G*ᵇ posuisse pro siglo *I*ᵇ: nihil tamen mutavi, quum suspicio coniectura nitatur.

(*H*ᵇ) Paris. 1901. «Codex membranaceus, quo continentur Asclepii Tralliani scholia inedita in Aristotelis Metaphysicorum libros sex priores. Opus ex Ammonii ore exceptum. Is codex saeculo decimo quarto exaratus videtur.» Quantum coniici potest ex varietate lectionis, quam Bekkerus ex hoc libro enotavit, comparata cum iis scholiis, quae Brandisius in quarto editionis volumine passim apposuit, verba Aristotelis in hoc codice non continua exhibentur, sed per lemmata commentario inseruntur.

(*I*ᵇ) Coisl. 161. «Codex bombycinus, XIV vel XV saeculi, constat foliis 448, fuit olim Laurae S. Athanasii in monte Atho et *τῶν κατηχουμένων*, ut initio et fine scribitur.» Praeter alios libros Aristotelis continet Me-

Digitized by Google

taphysica cum commentario Alexandri (sive inde a libro *E* Michaelis Ephesii) ad libros omnes et Syriani ad libros *BΓMN*.

Ad hunc apparatum Bekkerianum addidi primum varietatem lectionis, quae ex Graecis Metaphysicorum interpretibus Alexandro, Syriano, Asclepio, Themistio, Simplicio repeti potest.

(Alex) *Alexandro* quum plurimum sit tribuendum et in sententiis explicandis et in emendandis restituendisve verbis, quam illum in libro suo scripturam habuisse ex interpretatione vel certo appareat vel probabile sit (quod verbis «fort. Alex.» significavi), quam accuratissime investigavi. Commentarius ad posteriores Metaphysicorum libros inde a libro *E*, qui eius nomine fertur, quum et ipse videatur Alexandri esse quamvis res non possit ad liquidum perduci (cf. praef. ad Alex. l. l. p. XIV sqq.), non dubitavi etiam in posterioribus libris, quae ex eo commentario assumpsi, Alexandro tribuere. Ubi Alexander praeter eam lectionem, quam ipse interpretando exprimit, aliam traditam esse testatur, hoc signo «γρ Alex» usus sum. Distinctam a me esse varietatem lemmatum ab ea, quae e commentario repetita est, supra monui, ubi de codice *F*b dixi. Et quoniam lemmata, quae in codice Alexandri Paris. 1876 (*F*b) exhibentur, non ubique concinunt cum iis, quae in eiusdem interpretis codice Monacensi 81 leguntur, interdum etiam lemmatum huius codicis varietatem addidi significatam siglo *M*. Est autem is liber «chartaceus, charta solida et laevigata, titulis numeris et initialibus minio exaratis, literis minutis et tersis, in folio, foliorum 520 (quorum folia priora 442 Alexandri commentarium continent), cum variantibus marginalibus, cum lacunis, collatus cum antigrapho, ex parte etiam a Michaele Sophiano, saeculi XVI, optime conservatus et inscriptus.» Plura de eo codice disserui in praef. ad Alex l. l. p. VII sq.

(Syr) *Syriani* commentarium ad libros *BΓMN*,

Digitized by Google

Graece nondum editum, ut potuerim adhibere ad textum Metaphysicorum recognoscendum, singulari debeo Brandisii benevolentiae, qui quod fecit eius commentarii apographum e codd. *$G^bI^b$* liberalissime mihi transmisit. Sed quoniam Syrianus, exceptis iis locis, quibus Alexandri vestigia sequitur (cf. praef. ad Alex l. l. p. XI, XVIII.), ipsa philosophi verba explicare raro dignatur, sed plerumque in exponenda universe vel refutanda Aristotelis sententia latius evagatur, ad emendandum textum non admodum magnum fructum ex hac conferendi opera percepi.

(Ascl) *Asclepius* ut est interpretandi laude ipso etiam Syriano longe inferior, nedum cum Alexandro comparari possit, ita nec in indaganda genuina scriptura magni est momenti. Sed etiam apud mediocrem interpretem interdum vel veram lectionem vel verae lectionis indicia inveniri ratus, et Brandisii excerpta e commentario Asclepii ubique adhibui, et praeterea librum mscr. Asclepii Monacensem **103** contuli. Is autem codex adeo et depravatus est et mutilus, ut non multa inde tamquam certa et explorata potuerim in varietate lectionis ponere.

(Them) *Themistium* quum ex iis, quae supersunt, explicationibus librorum Aristoteleorum et intellexisse appareat Aristotelis sententias et breviter ac dilucide exposuisse, dolendum sane est, quod ea paraphrasis intercidit, quam scripsit libri *Λ* Metaphysicorum. Superest quidem eius paraphrasis interpretatio Latina (Themistii Peripatetici lucidissimi paraphrasis in duodecimum librum Aristotelis de prima philosophia, Mose Finzio interprete. Venet. apud Hieron. Scotum 1558. fol. 26 paginae), quem librum admodum, ut audio, rarum conferre mihi contigit. Sed quum omnino interpretationes Latinae mediocris sint momenti in emendandis Graecis verbis, eius quidem interpretationis quae non ex ipso libro Graeco confecta

Digitized by Google

sit, sed ex conversione Hebraica, conversa et ipsa ex Arabica (quam libri migrationem Finzius in praefatione descripsit), patet quam paene nulla sit auctoritas. Nihilo tamen secius aliquot locis eius lectionis, quam Themistius suo in libro habuisset, satis certa etiam nunc reperire mihi videbar vestigia, eamque varietatem lectionis in apparatu critico posui.

(Simpl) *Simplicius* in interpretatione librorum de coelo ad II, 12. p. 293$^a$ 4 locum astronomicum libri *Λ* Metaphysicorum ita adhibet, ut eum ipsum diligenter explicet. Inde aliquoties ad *Λ* 8 Simplicii lectiones in apparatu adnotavi, petitas illas ex editione Brandisiana Schol. Arist. p. 498$^b$—504$^b$.

*Ioannis Philoponi* nomine qui fertur commentarius ad libros Metaphysicos neque editus est Graece, neque unquam librum tam exigui pretii editum iri consentaneum est, cf. praef. ad Alex. l. l. p. XI. Latinam Francisci Patricii interpretationem contuli; sed infructuosa erat opera.

(*i*) Deinde ex interpretationibus Latinis Metaphysicorum eam contuli, quae merito iudicatur et interpretandi diligentia et codicum adhibitorum praestantia reliquas omnes longe superare: *Bessarionis* dico interpretationem, quae quidem quantum ad emendandum textum Metaphysicorum possit conferre, et Sylburgius testatur, qui se eam, sicubi haereret, tamquam oraculum adiisse dicit, et ipse in Observationibus criticis plurimis exemplis docui. Usus autem sum ea huius interpretationis editione, quae tertio volumine editionis Berolinensis continetur, adhibita interdum editione Casauboniana. Quamquam in interpretando adeo diligens est Bessario, ut fere verbum verbo exprimat, et Graeca quae fuerint facile ex his Latinis concludas, tamen est ubi dubites, qualem ille textum interpretatus sit: ibi dubiam esse Bessarionis lectionem («fort. *i*») in apparatu indicavi; ubi

Digitized by Google

vero Bessarionem eundem quidem, qui nunc fertur, textum habuisse sed falso interpretatum esse apparet, ibi nihil putavi adnotandum esse.

*(a, s, c, b)* Tum ut intelligatur, quas subierit mutationes textus Metaphysicorum, ex quo primum hi libri e bibliothecis protracti et typis exscripti sunt, potissimas editiones conferendas earumque varietatem in apparatu enotandam putavi. Acquiescendum autem videbatur ne vel apparatus amplitudinem vel conferendi operam temere augerem, in quatuor editionibus: Aldina *(a)*, Sylburgiana *(s)*, Brandisiana *(c)*, Bekkeriana *(b)*. *Aldina* editio, cuius volumen quartum Metaphysica continens prodiit anno **1498**, codicis manuscripti instar habenda est, quamquam in Metaphysicis certe non admodum bonis libris editorem usum esse apparet. Aldinam quae secutae sunt editiones Basileenses tres (**1531**, **1539**, tertia sive Isingriniana **1550**), Aldina minor sive Camotiana (**1552**), Fonsecae editio Metaphysicorum cum commentario (**1577**—**1589**) ad minuendos aliqua ex parte librariorum errores parum attulerunt, et si quid ab Isingrino, Morellio, Fonseca in margine adnotatum est, sive e libris manuscriptis sive ex interpretationibus Latinis sive e coniectura petitum, id nec magni est momenti et maximam partem a Sylburgio adhibitum ad textum vel ad adnotationem criticam; denique si quid in his invenitur, quod non vel ex Bekkeriano apparatu vel e Bessarione nunc peti possit, id dubiae est fidei. — Longe et maiorem et utiliorem operam libris metaphysicis impendit *Frid. Sylburgius* (Metaphys. Francof. apud Wechel. **1585**). Is enim licet novos libros manuscriptos non haberet, tamen quum interpretationem Bessarionis diligenter conferret et ad sententiam scriptoris acriter attenderet, haud pauca menda superiorum editionum vel in textu correxit vel in adnotatione critica corrigenda significavit. Sylburgii vestigiis proximi editores *Casaubonus* (**1590**), *Pa-*

Digitized by Google

*cius* (1597, 1605, 1607), *du Val* (1619, 1629, 1639, 1654) ita inhaeserunt, ut operam perdere videatur, qui pauca illa, quae fortuito magis quam certa ratione ac via immutarunt, exquirere susceperit. Casaubonus interdum in margine coniecturas addidit haud spernendas; ex quibus eas, quae neque postea e libris manuscriptis erutae neque a Bessarione petitae sunt, in apparatu exhibui. — Denique novis libris manuscriptis conferendis et singulis Aristotelis verbis diligenter perpendendis eximie de restituendo genuino Metaphysicorum textu meruit *Chr. Aug. Brandisius*, cuius editio prodiit anno 1823; et is quidem auctor censendus est eius recensionis Metaphysicorum, quae nunc obtinet. Etenim *Imm. Bekkerus* et libris manuscriptis usus pluribus et singulari in hac arte usu et iudicio eximius, multa quidem etiam post Brandisium praeclare emendavit, sed longius tamen Brandisiana editio a superioribus distat, quam ab hac Bekkeriana. Ab his duabus editionibus non solum ubi immutandis textus verbis aliisve recipiendis lectionibus recessi, sed etiam ubi distinctionem verborum ita immutavi, ut alia existeret sententia, religiose id adnotavi; hoc unum non opus putavi significari, si quibus locis mutando verbi ἐστι accentu ab his editionibus discederem.

*(Φ, Δ, M)* Denique quoniam libri *Δ* caput alterum manifesto repetitum et libri *K* pars posterior excerpta satis leviter et negligenter est e Physicis, Physicorum et textum et apparatum Bekkerianum his locis adhibui et in apparatu critico ea significavi brevitate, quae neque eius ambitum magnopere augeret et a legentibus facile intelligeretur. — Eadem ratione ad *M* 4. 5 ubique adhibui varietatem lectionis ex *A* 9, et ad *A* 9 aliquoties, ubi e re esse videretur, varietatem e *M* 4. 5 adieci. Cf. Obs. p. 67 sqq.

Hos igitur libros et editos et scriptos adhibui. Cuius apparatus quoniam partem longe maiorem ex Bekkeriano

integrum transtuli, neque vel novos codices ipsorum Metaphysicorum contuli vel Bekkerianos denuo excussi, iure videatur dubitari posse, num satis testimoniorum auctoritate munitus fuerim ad textum recognoscendum. Etenim varietate scripturae ab alio collecta ita uti ut vel singulis locis de lectionum discrepantia vel in universum de codicum fide aliter iudices, atque is iudicavit, qui libros manuscriptos ipse pertractavit, admodum lubricum esse videatur, siquidem his de rebus nemo rectius potest iudicare, quam qui codices ipse contulerit. Ego vero si mihi contigisset vel novis Metaphysicorum codicibus uti vel collatos a Bekkero denuo inspicere, parum iucundam hanc operam non detrectassem, ne quid viderer omisisse, quod ad rem meam quidquam posset conferre; sed num operae fuerim pretium facturus, magnopere dubito. Exstant sane codices satis multi Metaphysicorum, inspecti illi quidem et examinati a Bekkero, quum omnes quotquot reperiri possent libros manuscriptos conquireret, neque tamen ad apparatum criticum adhibiti; sed ullum esse neglectum his quos adhibuit praestantiorem vix exspectabit, qui Bekkerum noverit. Confirmavit id nuper Waitzii, viri doctissimi, diligentia: qui quum ad Organon Aristoteleum multo plures quam Bekkerus codices conferret, nullum tamen invenire potuit, qui Bekkerianos vel superaret auctoritate vel aequaret *). — Bekkeri autem codices si mihi licuisset denuo inspicere, amplitudinem apparatus critici potuissem sine dubio aliquantum augere: sed vereor ut perinde eius apparatus usus ac fides augeri potuerit. Ille enim, ut est in eiusmodi rebus brevitatis studiosissimus, quaecunque orthographiae potius diversitatem continent, quam ipsius lectionis discrepantiam, ea vel omnino omittit vel semel significasse satis habet. Hoc ex ge-

*) cf. N. Jen. Litz. 1845. No. 212 sqq.

Digitized by Google

nere quantum possit addi apparatui Bekkeriano Trendelenburgius testis est, qui quae excussis Parisinis codicibus librorum de anima omissa a Bekkero reppererat in praefatione editionis suae p. XXIV sqq. enumeravit; ac similiter hic, quem ego exhibui, apparatus ad librum *A* auctus est Brandisii diligentia, qui quae suum in usum e codicibus Laurentianis *SA^b^B^b* excerpserat, benigne mihi permisit. Sed ad ipsum textum emendandum neque illa neque haec additamenta multum contulerunt.

Ac ne in iudicanda quidem librorum manuscriptorum fide multum mihi videor profecturus fuisse conferendis denuo codicibus Bekkerianis. Quamquam enim codices suos nec descripsit ille nec de eorum fide exposuit, tamen quid de iis iudicarit ipso textu et apparatu critico satis aperte demonstravit atque ita comprobavit, ut vix uno loco videatur ab eius iudicio dissentiri posse. Nimirum librum adeo praestantem ut eum ducem sibi sumeret eiusque lectiones tueretur dummodo ferri omnino possent, Bekkerus in Metaphysicis invenit nullum. Inter eos autem qui exstant codices praecipuam quandam auctoritatem codici *A^b* videtur tribuisse: saepius enim hunc librum, quam ullum e reliquis, sequitur contra consensum reliquorum omnium. Multum tamen abest, ut huic libro plane addictus sit: quod si accurate omnem scripturae varietatem a Bekkero enotatam contuleris, multo plures locos invenies, ubi lectionem codicis *A^b* discrepantem a reliquis spreverit, quum possit ferri, quam ubi huius unius libri auctoritatem invitis reliquis secutus sit. Aliquanto plus huic libro tribuit Brandisius, qui eius potissimum auctoritate nisus textum Metaphysicorum constituit. Et recte quidem Bekkerus tantum ei libro tribuere noluit: licet enim et antiquitate insignis sit et aliquot lectiones manifesto veras vel unus vel inter paucos servaverit, tamen universam eius varie-

tatem lectionis comparanti facile apparet non eam esse huius codicis dignitatem, ut in eius verba possis iurare; quid quod non desunt loci, ubi interpretis potius quam simplicis librarii manum agnoscere tibi videaris (cf. p. 984$^b$ 11, 989$^a$ 32, 995$^b$ 16, 1000$^a$ 27, 1001$^b$ 33, 1003$^b$ 21, 1008$^a$ 23, 1009$^a$ 26, 1012$^a$ 27, 1012$^b$ 17, 1021$^a$ 13, 1023$^a$ 21, 1037$^a$ 1. 2 al.). Necessitudinem quandam intercedere codici $A^b$ cum commentario Alexandri in eius margine scripto, saepius quum utrumque inter se conferrem suspicabar, nec tamen certi quidquam de ea re statuerim. Ita quum huius libri fides nequaquam omni dubitatione exempta sit, non improbabitur, quod aliquot locis, ubi Bekkerus ei nimium videbatur confisus esse, ad vulgatam reliquorum librorum scripturam redii. — Post codicem $A^b$ Bekkerus et contulit diligentissime et praecipue ad constituendum textum adhibuit eos libros, in quibus verba Aristotelis vel pro lemmatis commentarii scripta vel cum commentario coniuncta sunt $F^bG^bI^bH^b$, rarius tamen in his, quam in cod. $A^b$, unius libri fidem invitis reliquis omnibus secutus est. — De reliquis libris plurimis $FQSH^aB^bC^b$ $D^bE^b$ ex Bekkeri silentio videtur iudicandum esse; quum enim ab initio satis amplam ex iis scripturae varietatem repetitam, postea interdum librum *S*, raro reliquos commemoratos videamus, verisimile est Bekkerum quum his libris vix quidquam auctoritatis tribuendum esse intelligeret, pepercisse lectoribus; qua in re quin recte iudicaverit, non est quod dubitemus. — Duos autem libros *E* et *T*, quamquam nulla fere laude insignes sunt, per omnes Metaphysicorum libros diligenter contulit: alter enim *E* ut in libris Physicis eximiae, ita exiguae est in Metaphysicis fidei *), quamquam quae in margine codicis adnotata sunt, partim non negligenda videntur; cum eo libro multos errores communes, sed

*) Krische, Forschungen I. p. 291 not.

alios praeterea sibi proprios habet cod. *T*. Quos codices nescio an propterea excusserit Bekkerus, quia ad hos libros illum proxime accessisse apparet, ex quo Aldina et reliquae usque ad Brandisium editiones fluxerunt.

Hanc fere esse singulorum librorum fidem et auctoritatem ex ipso apparatu Bekkeriano intelligitur; accuratius sane ea de re disputare poterit, qui libros manuscriptos ipse denuo excusserit, sed manebit tamen illud, quod in recensendo textu gravissimum est, neque ita praecellere unum codicem reliquis, ut pro certo duce haberi possit, neque vero ullum esse, quin alicubi vel veram vel certe aptiorem scripturam praebeat. Quare quam legem Bekkerus sibi videtur scripsisse, ut librorum auctoritate accurate ponderata, tamen in eligenda cuiusque loci optima lectione suum maxime iudicium sequeretur, eadem lege observata non dubitavi interdum a Bekkeri iudicio dissentire. Idque eo magis iure meo facere mihi videbar, quum adhiberem ad ferendum iudicium testes neglectos a Bekkero, at libris manuscriptis omnibus locupletiores, interpretes dico Graecos, praecipue Alexandrum Aphrodisiensem. His enim interpretibus quantum omnino fidei tribuendum sit, si quis artem criticam in Aristotele severe voluerit exercere, omnium, quorum est de hac re iudicium, consensu ita est comprobatum, ut plura de eo disputare nihil attineat; quantum Alexandro potissimum debeatur in emendandis Metaphysicis, plurimis exemplis docui in Obs. crit. p. 84 sqq. Quod si quis propterea id susceperit efficere, ut ipsum Alexandri textum ubique restituat, is id nec posse fieri neque vero si posset fieri suffecturum esse mox intelliget. Neque enim ubique Alexander tam anxie adhaeret verbis Aristoteleis, ut qualem ipse textum habuerit certo possit cognosci, praesertim quum etiam tum, quum ipsa Aristotelis verba se referre profitetur, subinde videatur libe-



Digitized by Google

rius versatus esse, ut consentaneum est virum, qui libros Aristoteleos paene totos memoria complecteretur; et interdum iam illa aetate varietatem scripturae traditam fuisse ipse Alexander auctor est; denique non desunt loci, ubi Alexander lectionem manifesto falsam secutus sit *). Itaque Alexandri testimonium non potest pro indicio veritatis haberi: summus de se ipso iudex Aristoteles erit. Quid enim sententiarum requirat ordo et coniunctio, quid Aristoteleae dicendi rationi consentaneum sit, iterata lectione et diligenti observatione investigandum est, ut si non ipsam Aristotelis manum, tamen sublatis plurimis librorum mendis probabilem textus formam restituas. Quam legem quum scribere facile sit, observare difficillimum, sedulo cavi ne ea abuterer. Coniecturas, ad quas interdum erat confugiendum, in textu non posui, nisi ubi et necessarias et maxime probabiles esse confiderem, reliquas in apparatu critico significavi; nec vero unquam vel coniectando vel praeferendis aliis lectionibus a textu Bekkeriano recessi, nisi ubi re etiam atque etiam considerata necessario id fieri mihi persuasissem. Superesse permulta, quae editorem feliciorem et fortasse audaciorem requirant, haud ignoro: interim magnopere opto ut mea hac editione aliquid ad rectius intelligendum difficillimum Aristotelis librum contulisse iudicer.

Duo abhinc anni sunt, quum confecta iam critica huius editionis parte occupatus tum maxime in conscribenda interpretatione, virum doctissimum, *Alb. Schweglerum* in emendandis et explicandis Metaphysicis Aristotelis operam posuisse et amplissimam eorum editionem propediem emissurum esse e catalogo bibliopolarum cognovi. Itaque ne acta agerem exspectandum putabam,

*) cf. Obs. p. 109 sqq.

Digitized by Google

donec ea editio prodiisset, ut si ea sufficere videretur, meum consilium missum facerem. Tandem ineunte hoc anno duo Schweglerianae editionis volumina, quae textum cum apparatu critico et versionem vernaculam continent, in manus meas venerunt; quae quum perlustrassem, re diligenter perpensa, intelligere mihi videbar, etiam post Schweglerianam operam non defuturum editionis meae usum. Etenim Schweglerus quum Bekkerianum apparatum et ipse totum transferret et simili atque ego feceram ratione augeret, textum Bekkerianum integrum, ne distinctione quidem usquam mutata, retinuit; et quamvis et eas emendationes, quas ego in Observ. crit. proposueram plerasque probandas censeret et omnino circiter quadringentis locis se emendaturum scripturam nunc vulgatam polliceretur (praef. p. IV), tamen neque in textu neque in apparatu critico vel suas vel meas vel aliorum denique post Brandisium et Bekkerum virorum emendationes significavit, sed omnes in commentarium relegavit. Parum apte hoc instituisse Schweglerum, ut emendationem textus ab ipso textu divelleret lectoresque cogeret, licet ipsa modo Aristotelis verba legere vellent, commentarium adire et ex commentario emendatiorem textum conquirere, facile potest intelligi *): itaque quum ipsa editionis meae ratio a Schwegleriana aliquantum discreparet et legentium usui magis accommodata videretur, non dubitavi eam etiam post Schweglerianam virorum doctorum iudicio subiicere. Quod quum constituissem et hoc quidem volumen iam operis excudendum tradidissem, tertium prodiit Schweglerianae editionis volumen, quo libros priores quinque *Α—Δ* illustravit. Quem commentarium diligenter, ut

*) Uberius quid de ea re et de universa editione iudicandum putarem exposui in N. Jen. Litz. 1847. No. 248—251.

Digitized by Google

par erat, perscrutatus, quum ad explicandas Aristotelis sententias multa et docte et acute disputata viderem, in textus tamen emendatione nihil inveni nisi quod vel occupatum esset in Observationibus criticis, vel scriptum excusumve in hoc meo apparatu, vel denique quod probare dubitarem.

Scribebam Stettini mense Decembri anni 1847.

Digitized by Google

# ΑΡΙΣΤΟΤΕΛΟΥΣ

# ΤΑ ΜΕΤΑ ΤΑ ΦΥΣΙΚΑ.



Digitized by Google

Digitized by Google

# A.

3 Πάντες ἄνθρωποι τοῦ εἰδέναι ὀρέγονται φύσει. σημεῖον δ' 980a 21
ἡ τῶν αἰσθήσεων ἀγάπησις· καὶ γὰρ χωρὶς τῆς χρείας
ἀγαπῶνται δι' αὑτάς, καὶ μάλιστα τῶν ἄλλων ἡ διὰ τῶν
ὀμμάτων. οὐ γὰρ μόνον ἵνα πράττωμεν, ἀλλὰ καὶ μηθὲν
μέλλοντες πράττειν τὸ ὁρᾶν αἱρούμεθα ἀντὶ πάντων ὡς εἰπεῖν
τῶν ἄλλων. αἴτιον δ' ὅτι μάλιστα ποιεῖ γνωρίζειν τι ἡμᾶς
αὕτη τῶν αἰσθήσεων καὶ πολλὰς δηλοῖ διαφοράς. φύσει
μὲν οὖν αἴσθησιν ἔχοντα γίνεται τὰ ζῷα, ἐκ δὲ τῆς αἰσθή-
σεως τοῖς μὲν αὐτῶν οὐκ ἐγγίγνεται μνήμη, τοῖς δ' ἐγγίγνε-
ται. καὶ διὰ τοῦτο ταῦτα φρονἡμώτερα καὶ μαθητικώτερα 980b 21
τῶν μὴ δυναμένων μνημονεύειν ἐστίν. φρόνιμα μὲν ἄνευ τοῦ
μανθάνειν, ὅσα μὴ δύναται τῶν ψόφων ἀκούειν, οἷον μέ-
λιττα, καὶ εἴ τι τοιοῦτον ἄλλο γένος ζῴων ἐστίν· μανθάνει
δ' ὅσα πρὸς τῇ μνήμῃ καὶ ταύτην ἔχει τὴν αἴσθησιν. τὰ
μὲν οὖν ἄλλα ταῖς φαντασίαις ζῇ καὶ ταῖς μνήμαις, ἐμ-
πειρίας δὲ μετέχει μικρόν· τὸ δὲ τῶν ἀνθρώπων γένος καὶ
τέχνῃ καὶ λογισμοῖς. γίγνεται δ' ἐκ τῆς μνήμης ἐμπειρία
τοῖς ἀνθρώποις· αἱ γὰρ πολλαὶ μνῆμαι τοῦ αὐτοῦ πράγμα-
τος μιᾶς ἐμπειρίας δύναμιν ἀποτελοῦσιν. καὶ δοκεῖ σχεδὸν 981a
ἐπιστήμῃ καὶ τέχνῃ ὅμοιον εἶναι ἡ ἐμπειρία. ἀποβαίνει δ'

980a Tit. A $EA^b$, α τὸ μεῖζον plerique, α μεῖζον $QT$, μεῖζον α $F$, α μέγα $E^b$. | 23. ἑαυτάς $A^bH^aE^bFas$. | 25. θέλοντες $H^aE^bF$. | 26. τι om $EA^bE^bF$. | 28. τῆς αἰσθήσεως] ταύτης $E^bD^bC$. | 29. δ' ἐγγίγνεται $A^bD^bi$ et rec $E^b$: ceteri δὲ γίγνεται.

980b 21. ταῦτα φρονιμώτερα $A^bD^b$ Alex: ceteri et Ascl et schol $A^b$ τὰ μὲν φρόνιμα. | καὶ μαθητικώτερα $A^bD^b$ Alex, τὰ δὲ μαθητικώτερα $E$ $B^bE^bF^b$ Ascl schol $A^b$: ceteri τὰ δὲ μαθηματικώτερα. | 22. μὴ om $S$. | μὲν] μὲν οὖν $T$. | 23. δύναται $A^bD^bE^b$: ceteri δυνατά. | 24. κἂν c. | 25. ὅσα] ὃ $A^bD^b$. | 27. καὶ om $S$.

981a 2. ὅμοιον εἶναι ἐμπειρία $H^aF$, ὅμοιον εἶναι καὶ ἐμπειρία $A^bD^b$, καὶ ἐμπειρία ὅμοιον εἶναι $H^b$.

1*

Digitized by Google

ἐπιστήμη καὶ τέχνη διὰ τῆς ἐμπειρίας τοῖς ἀνθρώποις· ἡ μὲν γὰρ ἐμπειρία τέχνην ἐποίησεν, ὡς φησὶ Πῶλος, ὀρθῶς λέγων, ἡ δ' ἀπειρία τύχην. γίνεται δὲ τέχνη, ὅταν ἐκ πολλῶν τῆς ἐμπειρίας ἐννοημάτων μία καθόλου γένηται περὶ τῶν ὁμοίων ὑπόληψις. τὸ μὲν γὰρ ἔχειν ὑπόληψιν ὅτι Καλλίᾳ κάμνοντι τηνδὶ τὴν νόσον τοδὶ συνήνεγκε καὶ Σωκράτει καὶ καθ' ἕκαςον οὕτω πολλοῖς, ἐμπειρίας ἐστίν· τὸ δ' ὅτι πᾶσι τοῖς τοιοῖσδε κατ' εἶδος ἓν ἀφορισθεῖσι, κάμνουσι τηνδὶ τὴν νόσον, συνήνεγκεν, οἷον τοῖς φλεγματώδεσιν ἢ χολώδεσιν ἢ πυρέττουσι καύσῳ, τέχνης. πρὸς μὲν ὖν τὸ πράττειν ἐμπειρία τέχνης ὐδὲν δοκεῖ διαφέρειν, ἀλλὰ καὶ μᾶλλον ἐπιτυγχάνοντας ὁρῶμεν τὺς ἐμπείρυς τῶν ἄνευ τῆς ἐμπειρίας λόγον ἐχόντων. αἴτιον δ' ὅτι ἡ μὲν ἐμπειρία τῶν καθ' ἕκαςόν ἐςι γνῶσις, ἡ δὲ τέχνη τῶν καθόλυ, αἱ δὲ πράξεις καὶ αἱ γενέσεις πᾶσαι περὶ τὸ καθ' ἕκαστόν εἰσιν· οὐ γὰρ ἄνθρωπον ὑγιάζει ὁ ἰατρείων, πλὴν ἀλλ' ἢ κατὰ συμβεβηκός, ἀλλὰ Καλλίαν ἢ Σωκράτην ἢ τῶν ἄλλων τινὰ τῶν ὕτω λεγομένων, ᾧ συμβέβηκε καὶ ἀνθρώπῳ εἶναι. ἐὰν οὖν ἄνευ τῆς ἐμπειρίας ἔχῃ τις τὸν λόγον, καὶ τὸ καθόλυ μὲν γνωρίζῃ, τὸ δ' ἐν τύτῳ καθ' ἕκαςον ἀγνοῇ, πολλάκις διαμαρτήσεται τῆς θεραπείας· θεραπευτὸν γὰρ τὸ καθ' ἕκαστον μᾶλλον. ἀλλ' ὅμως τό γε εἰδέναι καὶ τὸ ἐπαΐειν τῇ τέχνῃ τῆς ἐμπειρίας ὑπάρχειν οἰόμεθα μᾶλλον, καὶ σοφωτέρους τοὺς τεχνίτας τῶν ἐμπείρων ὑπολαμβάνομεν, ὡς κατὰ τὸ εἰδέναι μᾶλλον ἀκολουθοῦσαν τὴν σοφίαν πᾶσιν. τῦτο δ', ὅτι οἱ μὲν τὴν αἰτίαν ἴσασιν, οἱ δ' ὔ. οἱ μὲν γὰρ

3. δι' ἐμπειρίας $Q$. | τοῖς ἀνθρώποις om $A^b$. | 4. ὀρθῶς λέγων om $A^b D^b$. | 5. ἡνίκα ἐκ πολλῶν νοημάτων τῆς ἐμπειρίας $H^b$. | 6. μία καθόλου $A^b D^b$: ceteri καθόλου μία, et $H^b$ quidem haec verba post ὁμοίων ponit. | 8. νοσοῦντι $H^b$. | τήνδε $H^a F^b$. | τόδε $A^b D^b$. | 9. σωκράτη $E^b$, Σωκράτῃ *as*. | πολλῆς $D^b$*as*. | 10. δέ τι $E^b$. | εἶδος ἐναφορ. $B^b$. | 11. τήνδε Alex *as*. | οἷον — 12. καύσῳ om $A^b D^b$. | 12. πυρώδεσι $T$. | 13. δοκεῖ διαφέρειν] διήνεγκεν $A^b D^b F^b c$, om $H^b$. | 14. ἐπιτυγχάνουσιν οἱ ἔμπειροι $A^b D^b c$. | 16. ἕκαστά $H^a E^b$*as*. | 17. γεννήσεις $S$. | τὸ] τὰ schol $A^b$, fort. recte. | 18. πλὴν om $A^b D^b H^b c$. | 19. ἀλλὰ] ἀλλ' ἢ $D^b$. | σωκράτη $E$. | τινα τῶν ἄλλων $T$. | 20. τῶν ante οὕτω add $EQTA^b D^b$. | καὶ add $A^b D^b$ et rec $E^b$, cum ceteris et Alex omittendum videtur. | 21. ἔχοι $H^a$, ἔχει $E^b$. | τὸν om $SH^b$. | τὸ om $Q$. | καθόλου μὲν] μὲν καθόλου $H^b b$. | 22. γνωρίζει $H^a E^b$. | τούτῳ] αὐτῷ *as*. | 24. μᾶλλον om $A^b c$. | τὸ om $H^b$. | 26. ἐμπειρικῶν $E$. | 28. μὲν ante γὰρ om $S$.

Digitized by Google

ἔμπειροι τὸ ὅτι μὲν ἴσασι, διότι δ' οὐκ ἴσασιν· οἱ δὲ τὸ διότι καὶ τὴν αἰτίαν γνωρίζουσιν. διὸ καὶ τοὺς ἀρχιτέκτονας περὶ ἕκαστον τιμιωτέρους καὶ μᾶλλον εἰδέναι νομίζομεν τῶν χειροτεχνῶν καὶ σοφωτέρους, ὅτι τὰς αἰτίας τῶν ποιουμένων 981 b ἴσασιν, τοὺς δ' ὥσπερ καὶ τῶν ἀψύχων ἔνια, ποιεῖν μέν, οὐκ εἰδότα δὲ ποιεῖν ἃ ποιεῖ, οἷον καίει τὸ πῦρ. τὰ μὲν οὖν ἄψυχα φύσει τινὶ ποιεῖν τούτων ἕκαστον, τοὺς δὲ χειροτέχνας δι' ἔθος, ὡς οὐ κατὰ τὸ πρακτικοὺς εἶναι σοφωτέρους ὄντας, ἀλλὰ κατὰ τὸ λόγον ἔχειν αὐτοὺς καὶ τὰς αἰτίας γνωρίζειν. ὅλως τε σημεῖον τοῦ εἰδότος τὸ δύνασθαι διδάσκειν ἐστί, καὶ διὰ τοῦτο τὴν τέχνην τῆς ἐμπειρίας οἰόμεθα μᾶλλον ἐπιστήμην εἶναι· δύνανται γάρ, οἱ δὲ οὐ δύνανται διδάσκειν. ἔτι δὲ τῶν αἰσθήσεων οὐδεμίαν ἡγούμεθα εἶναι σοφίαν· καίτοι κυριώταταί γ' εἰσὶν αὗται τῶν καθ' ἕκαστα γνώσεις· ἀλλ' οὐ λέγουσι τὸ διὰ τί περὶ οὐδενός, οἷον διὰ τί θερμὸν τὸ πῦρ, ἀλλὰ μόνον ὅτι θερμόν. τὸ μὲν οὖν πρῶτον εἰκὸς τὸν ὁποιανοῦν εὑρόντα τέχνην παρὰ τὰς κοινὰς αἰσθήσεις θαυμάζεσθαι ὑπὸ τῶν ἀνθρώπων, μὴ μόνον διὰ τὸ χρήσιμον εἶναί τι τῶν εὑρεθέντων, ἀλλ' ὡς σοφὸν καὶ διαφέροντα τῶν ἄλλων. πλειόνων δ' εὑρισκομένων τεχνῶν, καὶ τῶν μὲν πρὸς τἀναγκαῖα τῶν δὲ πρὸς διαγωγὴν οὐσῶν, ἀεὶ σοφωτέρους τοὺς τοιούτους ἐκείνων ὑπολαμβάνομεν, διὰ τὸ μὴ πρὸς χρῆσιν εἶναι τὰς ἐπιστήμας αὐτῶν. ὅθεν ἤδη πάντων τῶν τοιούτων κατεσκευασμένων αἱ μὴ πρὸς ἡδονὴν μηδὲ πρὸς τἀναγκαῖα τῶν ἐπιστημῶν εὑρέθησαν, καὶ πρῶτον ἐν τούτοις τοῖς τόποις οὗπερ ἐσχόλασαν. διὸ περὶ Αἴγυπτον αἱ μαθηματικαὶ πρῶτον τέχναι συνέστησαν· ἐκεῖ γὰρ ἀφείθη σχο-

29. τὸ ante ὅτι om E. | 31. τιμιωτέρους μᾶλλον καὶ μ. T.

981 b 1. ὅτι] ὅδε S. | 2. τοὺς $ETH^aE^b$ et rc $A^b$ (pr enim cum $D^b$ haec τοὺς — 5. δι' ἔθος om), τῷ $SB^b$: ceteri οἱ. | 2. et 3. ποιεῖν $ETH^a$ $A^bE^b$: ceteri et c ποιεῖ. | 3. εἰδότι pr S, εἰδὼς rc S. | ἃ ποιεῖ add $EQH^a$ $E^b$i et rc $A^b$. | 4. ποιεῖ Ei. | οἱ δὲ χειροτέχναι i. | 5. ἔθους $A^bB^b$c. | Cas. γρ. ὄντας τινάς. | 6. τὸ] τὸ τὸν $D^b$c, τὸ τινὰ $H^b$, τὸν $SB^b$. | αὐτοὺς ἔχειν $A^bD^b$c. | 7. τε] δὲ $A^b$c. | εἰδότος] εἰδότος καὶ μὴ εἰδότος E: ceteri (praeter $QTA^bD^b$) εἰδότος καὶ. | ἐστίν· καὶ διὰ τοῦτο] νομίζομεν· διὸ $A^bD^b$c. | 8. ἡγούμεθα $A^bD^b$c. | 12. λέγει $H^aE^b$. | 13. ἀλλὰ — θερμόν om $A^b$. | τὸ $A^bB^bF^b$ Ascl: ceteri et cb τόν. | 14. εὑρίσκοντα $F^b$. | παρὰ $EQTA^bF^bH^b$i Ascl: ceteri περὶ. | 19. ἐκείνων τοὺς τοιούτους $H^a$ $E^b$. | ὑπολαμβάνεσθαι $EH^a$c. | 21. αἱ] ὅσαι $A^b$c, αἳ $SB^b$. | 22. ἐν add $EQH^aA^bE^b$i. | 23. οὗπερ] οὐ πρῶτον $A^b$ et rc $E^b$. | 24. τέχναι om $H^a$ $E^b$. | ἀφείθη $ESTH^aA^bE^b$, ἐφείθη a: vulgo ἠφείθη.

Digitized by Google

λάζειν τὸ τῶν ἱερέων ἔθνος. εἴρηται μὲν οὖν ἐν τοῖς Ἠθικοῖς 6
τίς διαφορὰ τέχνης καὶ ἐπιστήμης καὶ τῶν ἄλλων τῶν ὁμογενῶν· οὗ δ' ἕνεκα νῦν ποιούμεθα τὸν λόγον, τοῦτ' ἐστίν, ὅτι τὴν ὀνομαζομένην σοφίαν περὶ τὰ πρῶτα αἴτια καὶ τὰς ἀρχὰς ὑπολαμβάνουσι πάντες, ὥστε, καθάπερ εἴρηται πρότερον, ὁ μὲν ἔμπειρος τῶν ὁποιανοῦν ἐχόντων αἴσθησιν εἶναι δοκεῖ σοφώτερος, ὁ δὲ τεχνίτης τῶν ἐμπείρων, χειροτέχνου δὲ ὁ ἀρ-
982*a* χιτέκτων, αἱ δὲ θεωρητικαὶ τῶν ποιητικῶν μᾶλλον. ὅτι μὲν οὖν ἡ σοφία περί τινας αἰτίας καὶ ἀρχάς ἐστιν ἐπιστήμη, δῆλον.

2 Ἐπεὶ δὲ ταύτην τὴν ἐπιστήμην ζητοῦμεν, τοῦτ' ἂν εἴη σκεπτέον, ἡ περὶ ποίας αἰτίας καὶ περὶ ποίας ἀρχὰς ἐπιστήμη σοφία ἐστίν. εἰ δὴ λάβοι τις τὰς ὑπολήψεις ἃς ἔχομεν περὶ τοῦ σοφοῦ, τάχ' ἂν ἐκ τούτου φανερὸν γένοιτο μᾶλλον. ὑπολαμβάνομεν δὴ πρῶτον μὲν ἐπίστασθαι πάντα τὸν σοφὸν ὡς ἐνδέχεται, μὴ καθ' ἕκαστον ἔχοντα ἐπιστήμην αὐτῶν· εἶτα τὸν τὰ χαλεπὰ γνῶναι δυνάμενον καὶ μὴ ῥᾴδια ἀνθρώπῳ γινώσκειν, τοῦτον σοφόν (τὸ γὰρ αἰσθάνεσθαι πάντων κοινόν, διὸ ῥᾴδιον, καὶ οὐδὲν σοφόν)· ἔτι τὸν ἀκριβέστερον καὶ τὸν διδασκαλικώτερον τῶν αἰτίων σοφώτερον εἶναι περὶ πᾶσαν ἐπιστήμην. καὶ τῶν ἐπιστημῶν δὲ τὴν αὐτῆς ἕνεκεν καὶ τοῦ εἰδέναι χάριν αἱρετὴν οὖσαν μᾶλλον εἶναι σοφίαν ἢ τὴν τῶν ἀποβαινόντων ἕνεκεν, καὶ τὴν ἀρχικωτέραν τῆς ὑπηρετούσης μᾶλλον εἶναι σοφίαν· οὐ γὰρ δεῖν ἐπιτάττεσθαι τὸν σοφὸν ἀλλ' ἐπιτάττειν, καὶ οὐ τοῦτον ἑτέρῳ πείθεσθαι, ἀλλὰ τούτῳ τὸν ἧττον σοφόν. τὰς μὲν οὖν

26. τῶν post ἄλλων om $H^a$. | 27. οὗ δ'] ὧν οὖν $F^b$. | νῦν] καὶ νῦν $H^a$ $E^b$, om $F^b$. | 29. ὥστε] διὸ $A^b$. | 30. ὁ μὲν $EQTA^b$: ceteri ὅτι ὁ μέν. | ὁποιαντινοῦν $ESTH^aB^bE^bc$. | 31. δὲ om *S*. | ὁ ἀρχιτέκτων $A^b$ et rc $E^b$ Alex *c*: ceteri et *b* ὁ om.

982*a* 1. οἱ δὲ θεωρητικοὶ *i* et Cas. γρ. | 2. ἀρχὰς καὶ αἰτίας $SA^b$ $H^bc$. | 4. δὲ] δὲ καὶ *T*. | 5. ἡ add $ETH^aA^bE^ba$. | ποίας αἰτίας καὶ ποίας ἀρχάς $SE^b$, ποίας ἀρχὰς καὶ ποίας αἰτίας $H^a$, ποίας ἀρχάς $A^b$. | 6. ἐστὶ σοφία $A^b$. | δὲ $H^a$. | τις] τίς τε *S*. | ἔχομεν $TA^bE^bF^bH^bi$ Alex: ceteri εἴχομεν. | 7. τοὺς σοφοὺς $A^b$. | τούτων $H^aE^b$. | γένηται $H^b$. | 8. μὲν om $H^aB^bE^b$. | πάντα $A^b$ Alex: ceteri μάλιστα πάντα. | 10. τὸν om $H^a$. | τὰ om $A^b$. | 11. τὸ — 12. σοφόν om $TH^a$ et pr $E^b$. | 13. τὸν post καὶ om $H^aA^bF^b$. | σοφώτερον] *sapientem i*. | 15. ἑαυτῆς $A^b$. | μᾶλλον om $H^a$ et pr $E^b$. | 17. εἶναι om $A^bc$. | 18. δεῖν] *decet i*. | τὸν om pr *E*. | οὐκ αὐτὸν $A^b$ et rc $E^bc$. | 19. τίθεσθαι pr $A^b$.

Digitized by Google

ὑπολήψεις τοιαύτας καὶ τοσαύτας ἔχομεν περὶ τῆς σοφίας
7 καὶ τῶν σοφῶν. τούτων δὲ τὸ μὲν πάντα ἐπίστασθαι τῷ μά-
λιστα ἔχοντι τὴν καθόλου ἐπιστήμην ἀναγκαῖον ὑπάρχειν·
οὗτος γὰρ οἶδέ πως πάντα τὰ ὑποκείμενα. σχεδὸν δὲ καὶ
χαλεπώτατα ταῦτα γνωρίζειν τοῖς ἀνθρώποις, τὰ μάλιστα
καθόλου· πορρωτάτω γὰρ τῶν αἰσθήσεών ἐστιν. ἀκριβέσταται
δὲ τῶν ἐπιστημῶν αἳ μάλιστα τῶν πρώτων εἰσίν· αἱ γὰρ ἐξ
ἐλαττόνων ἀκριβέστεραι τῶν ἐκ προσθέσεως λεγομένων, οἷον
ἀριθμητικὴ γεωμετρίας. ἀλλὰ μὴν καὶ διδασκαλική γε ἡ
τῶν αἰτιῶν θεωρητικὴ μᾶλλον· οὗτοι γὰρ διδάσκουσιν οἱ τὰς
αἰτίας λέγοντες περὶ ἑκάστου. τὸ δ' εἰδέναι καὶ τὸ ἐπίστασθαι
αὐτῶν ἕνεκα μάλισθ' ὑπάρχει τῇ τοῦ μάλιστα ἐπιστητοῦ ἐπι-
στήμῃ. ὁ γὰρ τὸ ἐπίστασθαι δι' ἑαυτὸ αἱρούμενος τὴν μάλιστα
ἐπιστήμην μάλιστα αἱρήσεται, τοιαύτη δ' ἐστὶν ἡ τοῦ μάλιστα 982*b*
ἐπιστητοῦ, μάλιστα δ' ἐπιστητὰ τὰ πρῶτα καὶ τὰ αἴτια· διὰ
γὰρ ταῦτα καὶ ἐκ τούτων τἆλλα γνωρίζεται, ἀλλ' οὐ ταῦτα
διὰ τῶν ὑποκειμένων. ἀρχικωτάτη δὲ τῶν ἐπιστημῶν, καὶ
μᾶλλον ἀρχικὴ τῆς ὑπηρετούσης, ἡ γνωρίζουσα τίνος ἕνεκέν
ἐστι πρακτέον ἕκαστον· τοῦτο δ' ἐστὶ τἀγαθὸν ἐν ἑκάστοις, ὅλως
δὲ τὸ ἄριστον ἐν τῇ φύσει πάσῃ. ἐξ ἁπάντων οὖν τῶν εἰρη-
μένων ἐπὶ τὴν αὐτὴν ἐπιστήμην πίπτει τὸ ζητούμενον ὄνομα·
δεῖ γὰρ ταύτην τῶν πρώτων ἀρχῶν καὶ αἰτιῶν εἶναι θεωρη-
τικήν· καὶ γὰρ τἀγαθὸν καὶ τὸ οὗ ἕνεκα ἓν τῶν αἰτίων ἐστίν.
ὅτι δ' οὐ ποιητική, δῆλον καὶ ἐκ τῶν πρώτων φιλοσοφησάν-
των. διὰ γὰρ τὸ θαυμάζειν οἱ ἄνθρωποι καὶ νῦν καὶ τὸ
πρῶτον ἤρξαντο φιλοσοφεῖν, ἐξ ἀρχῆς μὲν τὰ πρόχειρα
τῶν ἀπόρων θαυμάσαντες, εἶτα κατὰ μικρὸν οὕτω προϊόντες

20. τοσαύτας καὶ τοιαύτας $H^a$, om καὶ τοσαύτας $A^b$. | τῆς om $A^b$. | 21. ἅπαντα $A^b$c, om $F^b$ Alex et sch $EA^b$. | 22. καθόλου] κατὰ πάντων $F^b$. | 23. πως] πῶς ἔχει $A^b$ sch $A^b$c. | ἅπαντα $EH^aE^b$c. | δὲ] γὰρ T. | 24. ταῦτα add $ETH^aA^bE^b$, cum iisdem ἐστὶ ante τὰ omisit b. | 25. certiores i. | 26. τε $A^bF^b$. | αἳ] αἱ c. | 27. ἐλαττόνων] ὀλίγων rc $A^b$, ἔλαττον οὐκ a. | προθέσεως codices as, προσθέσεως icb. | λαμβανομένων $A^b$cb: ceteri λεγομένων. | 30. ἑκάστου $ESH^a$. | τὸ δ'] τότε $A^b$. | 32. αὐτὸ $A^bF^b$c, ἑαυτοῦ S.

982*b* 1. μᾶλλον αἱρ. T. | 2. τὰ post καὶ om $A^b$. | 4. ἀρχικώτατα a. | 5. ἀρχὴ as. | ἕνεκά $EB^bF^b$c. | 6. ἐν ἑκάστοις $A^b$ et rc $E^b$: ceteri ἑκάστου. | 7. δὲ om $H^a$. | 9. αὐτὴν $A^b$c. | 10. καὶ γὰρ καὶ τἀγ. $SB^b$. | ἓν fort. omittendum cum Alex. | 11. ποιητικήν $H^a$. | καὶ om $TF^b$as. | 14. ἀτόπων $A^b$ et fort. Alex. | προϊέντες $H^a$.

Digitized by Google

καὶ περὶ τῶν μειζόνων διαπορήσαντες, οἷον περί τε τῶν τῆς 8
σελήνης παθημάτων καὶ τῶν περὶ τὸν ἥλιον καὶ ἄστρα καὶ περὶ τῆς τοῦ παντὸς γενέσεως. ὁ δ' ἀπορῶν καὶ θαυμάζων οἴεται ἀγνοεῖν. διὸ καὶ ὁ φιλόμυθος φιλόσοφός πώς ἐστιν· ὁ γὰρ μῦθος σύγκειται ἐκ θαυμασίων. ὥστ' εἴπερ διὰ τὸ φεύγειν τὴν ἄγνοιαν ἐφιλοσόφησαν, φανερὸν ὅτι διὰ τὸ εἰδέναι τὸ ἐπίστασθαι ἐδίωκον, καὶ οὐ χρήσεώς τινος ἕνεκεν. μαρτυρεῖ δὲ αὐτὸ τὸ συμβεβηκός· σχεδὸν γὰρ πάντων ὑπαρχόντων τῶν ἀναγκαίων καὶ πρὸς ῥαστώνην καὶ διαγωγὴν ἡ τοιαύτη φρόνησις ἤρξατο ζητεῖσθαι. δῆλον οὖν ὡς δι' οὐδεμίαν αὐτὴν ζητοῦμεν χρείαν ἑτέραν, ἀλλ' ὥσπερ ἄνθρωπός φαμεν ἐλεύθερος ὁ αὐτοῦ ἕνεκα καὶ μὴ ἄλλου ὤν, οὕτω καὶ αὕτη μόνη ἐλευθέρα οὖσα τῶν ἐπιστημῶν· μόνη γὰρ αὐτὴ αὐτῆς ἕνεκέν ἐστιν. διὸ καὶ δικαίως ἂν οὐκ ἀνθρωπίνη νομίζοιτο αὐτῆς ἡ κτῆσις· πολλαχῇ γὰρ ἡ φύσις δούλη τῶν ἀνθρώπων ἐστίν, ὥστε κατὰ Σιμωνίδην θεὸς ἂν μόνος τοῦτο ἔχοι τὸ γέρας, ἄνδρα δ' οὐκ ἄξιον μὴ οὐ ζητεῖν τὴν καθ' αὐτὸν ἐπιστήμην. εἰ δὴ λέγουσί τι οἱ ποιηταὶ καὶ πέφυκε φθονεῖν
983*a* τὸ θεῖον, ἐπὶ τούτου συμβαίνειν μάλιστα εἰκὸς καὶ δυστυχεῖς εἶναι πάντας τοὺς περιττούς. ἀλλ' οὔτε τὸ θεῖον φθονερὸν ἐνδέχεται εἶναι, ἀλλὰ καὶ κατὰ τὴν παροιμίαν πολλὰ ψεύδονται ἀοιδοί, οὔτε τῆς τοιαύτης ἄλλην χρὴ νομίζειν τιμιωτέραν. ἡ γὰρ θειοτάτη καὶ τιμιωτάτη. τοιαύτη δὲ διχῶς ἂν εἴη μόνον· ἥν τε γὰρ μάλιστ' ἂν ὁ θεὸς ἔχοι, θεία τῶν ἐπιστημῶν ἐστί, κἂν εἴ τις τῶν θείων εἴη. μόνη δ' αὕτη τούτων ἀμφοτέρων τετύχηκεν· ὅ τε γὰρ θεὸς δοκεῖ τῶν αἰτίων
πᾶσιν εἶναι καὶ ἀρχή τις, καὶ τὴν τοιαύτην ἢ μόνος ἢ μά- 9

15. μειζόνων οὕτω διαπ. $H^a$, τῶν μειζόνων τινῶν δ. Alex. | τε et τῆς om $H^a$. | 16. ἄστρα] περὶ ἄστρων $A^b$cb: ceteri ἄστρα. sed vel scribendum videtur καὶ τὰ ἄστρα vel omittenda haec verba, quae non expl. Alex. | 18. ὁ φιλόμυθος φιλόσοφος $A^b$ Alex: codices et Ascl et editiones φιλόμυθος ὁ φιλόσοφος. | 22. δὲ] δὲ καὶ *Tas*. | 24. ὡς οὐ δι' *S*. | 26. ἑαυτοῦ $A^b$, αὐτοῦ *a*. | ὢν om *Tas*. | 27. καὶ αὕτη] αὕτη καὶ *S*. | αὐτὴ $H^a$*as*, ἐλευθέρα μόνη οὖσα $H^a$, αὐτὴν ὡς μόνην οὖσαν ἐλευθέραν $A^b$, αὐτὴν ὡς μόνην ἐλευθέραν οὖσαν *c*, ὡς fort. add Alex. | 28. αὕτη *asc*. | ἑαυτῆς $A^b$. | ἂν] μὴ *E*, om *S* $H^aE^b$. | 31. ἔχοι γέρας $A^b$*b*: ceteri ἔχοι τὸ γέρας. | μὴ] τὸ μὴ *A*, idem add οὐ. | 32. δὴ $A^b$: ceteri δὲ. | τι οἱ] πη *E*, τι om Ascl.

983*a* 1. τούτω $H^a$. | συμβαίνειν $A^b$: ceteri συμβῆναι. | 2. πάντων *as*. | ἐνδέχεται φθονερὸν $F^b$. | 3. ἀλλὰ om *i*. | καὶ add $A^b$. | πολλοὶ $H^a$. | 6. μόνη $A^b$*asc*. | τε] τινα *T*. | ὁ om $A^b$. | ἔχει $H^a$. | 7. ἥτις *E*. | ἐστὶ $A^b$. | μόνον $E^b$. | αὐτὴ *as*. | 8. τὸ αἴτιον *si*. | 9. πάντων $H^a$.

Digitized by Google

λις' ἂν ἔχοι ὁ θεός. ἀναγκαιότεραι μὲν οὖν πᾶσαι αὐτῆς, ἀμείνων δ' οὐδεμία. δεῖ μέντοι πως καταςῆναι τὴν κτῆσιν αὐτῆς εἰς τὐναντίον ἡμῖν τῶν ἐξ ἀρχῆς ζητήσεων. ἄρχονται μὲν γάρ, ὥσπερ εἴπομεν, ἀπὸ τȣ̃ θαυμάζειν πάντες εἰ ὅτως ἔχει, καθάπερ τῶν θαυμάτων ταὐτόματα τοῖς μήπω τεθεωρηκόσι τὴν αἰτίαν, ἢ περὶ τὰς τȣ̃ ἡλίȣ τροπὰς ἢ τὴν τῆς διαμέτρου ἀσυμμετρίαν· θαυμαςὸν γὰρ εἶναι δοκεῖ πᾶσιν, εἴ τι τῷ ἐλαχίςῳ μὴ μετρεῖται. δεῖ δὲ εἰς τοὐναντίον καὶ τὸ ἄμεινον κατὰ τὴν παροιμίαν ἀποτελευτῆσαι, καθάπερ καὶ ἐν τȣ́τοις ὅταν μάθωσιν· ȣ̓θὲν γὰρ ἂν οὕτω θαυμάσειεν ἀνὴρ γεωμετρικὸς ὡς εἰ γένοιτο ἡ διάμετρος μετρητή. τίς μὲν οὖν ἡ φύσις τῆς ἐπιςήμης τῆς ζητȣμένης, εἴρηται, καὶ τίς ὁ σκοπὸς οὗ δεῖ τυγχάνειν τὴν ζήτησιν καὶ τὴν ὅλην μέθοδον.

3 Ἐπεὶ δὲ φανερὸν ὅτι τῶν ἐξ ἀρχῆς αἰτίων δεῖ λαβεῖν ἐπιςήμην (τότε γὰρ εἰδέναι φαμὲν ἕκαςον, ὅταν τὴν πρώτην αἰτίαν οἰώμεθα γνωρίζειν), τὰ δ' αἴτια λέγεται τετραχῶς, ὧν μίαν μὲν αἰτίαν φαμὲν εἶναι τὴν ȣ̓σίαν καὶ τὸ τί ἦν εἶναι (ἀνάγεται γὰρ τὸ διὰ τί εἰς τὸν λόγον ἔσχατον, αἴτιον δὲ καὶ ἀρχὴ τὸ διὰ τί πρῶτον), ἑτέραν δὲ τὴν ὕλην καὶ τὸ ὑποκείμενον, τρίτην δὲ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τετάρτην δὲ τὴν ἀντικειμένην αἰτίαν ταύτῃ, τὸ οὗ ἕνεκα καὶ τἀγαθόν (τέλος γὰρ γενέσεως καὶ κινήσεως πάσης τȣ̃τ' ἐςίν)· τεθεώρηται μὲν ȣ̃ν ἱκανῶς περὶ αὐτῶν ἡμῖν ἐν τοῖς περὶ φύσεως, ὅμως δὲ παραλάβωμεν καὶ τοὺς πρότερον ἡμῶν εἰς 983*b* ἐπίσκεψιν τῶν ὄντων ἐλθόντας καὶ φιλοσοφήσαντας περὶ τῆς ἀληθείας. δῆλον γὰρ ὅτι κἀκεῖνοι λέγȣσιν ἀρχάς τινας

10. ἂν ἔχοι] ἔχει *H*ᵃ. | ὁ om *TA*ᵇ. | αὐτῆς] ταύτης *A*ᵇ*cb*: ceteri et Alex αὐτῆς. | 11. πως post καταστῆναι *H*ᵃ, om *A*ᵇ. | τάξιν *STH*ᵃ*E*ᵇ Ascl *ias*. | 12. κτήσεων *E*. | 13. πάντως *H*ᵃ. | 14. τοῖς μ. τεθεωρηκόσι] *i* fort. οἱ μ. τεθεωρηκότες. locus corruptus; suspicor τοῖς μ. τεθ. τὴν αἰτίαν transponenda esse post 16. πᾶσιν. | 15. ἢ τὴν] ἢ περὶ τὴν *A*ᵇ*c*. | 17. τῶν ἐλαχίστων *H*ᵃ, τῶν οὐκ ἐλαχίστων *ESTE*ᵇ Ascl *ias*, τῷ ἐλαχίστῳ Alex *E* mg *cb*. | μὴ] οὐ *SH*ᵃ. | δὴ *A*ᵇ*c*. | 19. ἂν om *H*ᵃ. | θαυμάσειεν οὕτως *ESTH*ᵃ *E*ᵇ*as*. | 20. εἰ] εἰ μὴ *T*. | 21. τῆς ἐπ. τῆς ζητ. *A*ᵇ*F*ᵇ: ceteri τῆς ζητ. ἐπιστήμης. | 28. εἰς *A*ᵇ et Alex: ceteri et Ascl πρῶτον εἰς. | 29. ἑτέραν *A*ᵇ: ceteri μίαν. | 30. δὲ] δὲ τὴν *TA*ᵇ. | 31. τὸ] καὶ τὸ *ESTH*ᵃ*E*ᵇ*ias*. | οὗ om *F*ᵇ. | ἕνεκεν *Tas*. | 32. καὶ κινήσεως om *as*. | post τοῦτ' ἐστίν plene distinguit *b*. | 33. τεθεώρηται μὲν *A*ᵇ et γρ *E*, τεθεωρημένον *TH*ᵃ: ceteri τεθεωρημένων. | οὖν om *H*ᵃ. | ἡμῖν add. *A*ᵇ, ceteri et *c* om.

983*b* 1. δὲ add *A*ᵇ*E*ᵇ et γρ *E*. | 2. ὄντων] αὐτῶν *H*ᵃ.

Digitized by Google

καὶ αἰτίας· ἐπελθοῦσιν οὖν ἔσται τι προὔργου τῇ μεθόδῳ τῇ νῦν· ἢ γὰρ ἕτερόν τι γένος εὑρήσομεν αἰτίας, ἢ ταῖς νῦν λεγομέναις μᾶλλον πιστεύσομεν· τῶν δὴ πρώτων φιλοσοφησάντων οἱ πλεῖστοι τὰς ἐν ὕλης εἴδει μόνας ᾠήθησαν ἀρχὰς εἶναι πάντων· ἐξ οὗ γὰρ ἔστιν ἅπαντα τὰ ὄντα, καὶ ἐξ οὗ γίγνεται πρώτου καὶ εἰς ὃ φθείρεται τελευταῖον, τῆς μὲν οὐσίας ὑπομενούσης, τοῖς δὲ πάθεσι μεταβαλλούσης, τοῦτο στοιχεῖον καὶ ταύτην ἀρχήν φασιν εἶναι τῶν ὄντων· καὶ διὰ τοῦτο οὔτε γίγνεσθαι οὐθὲν οἴονται οὔτε ἀπόλλυσθαι, ὡς τῆς τοιαύτης φύσεως ἀεὶ σωζομένης, ὥσπερ οὐδὲ τὸν Σωκράτην φαμὲν οὔτε γίγνεσθαι ἁπλῶς, ὅταν γίγνηται καλὸς ἢ μουσικός, οὔτε ἀπόλλυσθαι, ὅταν ἀποβάλλῃ ταύτας τὰς ἕξεις, διὰ τὸ ὑπομένειν τὸ ὑποκείμενον τὸν Σωκράτην αὐτόν. οὕτως οὐδὲ τῶν ἄλλων οὐδέν· δεῖ γὰρ εἶναί τινα φύσιν ἢ μίαν ἢ πλείους μιᾶς, ἐξ ὧν γίγνεται τἆλλα σωζομένης ἐκείνης. τὸ μέντοι πλῆθος καὶ τὸ εἶδος τῆς τοιαύτης ἀρχῆς οὐ τὸ αὐτὸ πάντες λέγουσιν, ἀλλὰ Θαλῆς μὲν ὁ τῆς τοιαύτης ἀρχηγὸς φιλοσοφίας ὕδωρ φησὶν εἶναι (διὸ καὶ τὴν γῆν ἐφ' ὕδατος ἀπεφήνατο εἶναι), λαβὼν ἴσως τὴν ὑπόληψιν ἐκ τοῦ πάντων ὁρᾶν τὴν τροφὴν ὑγρὰν οὖσαν καὶ αὐτὸ τὸ θερμὸν ἐκ τούτου γιγνόμενον καὶ τούτῳ ζῶν (τὸ δ' ἐξ οὗ γίγνεται, τοῦτ' ἐστὶν ἀρχὴ πάντων), διά τε δὴ τοῦτο τὴν ὑπόληψιν λαβὼν ταύτην, καὶ διὰ τὸ πάντων τὰ σπέρματα τὴν φύσιν ὑγρὰν ἔχειν, τὸ δ' ὕδωρ ἀρχὴν τῆς φύσεως εἶναι τοῖς ὑγροῖς. εἰσὶ δέ τινες οἳ καὶ τοὺς παμπαλαίους καὶ πολὺ πρὸ τῆς νῦν γενέσεως καὶ πρώτους θεολογήσαντας οὕτως οἴονται περὶ τῆς φύ- 11
σεως ὑπολαβεῖν· Ὠκεανόν τε γὰρ καὶ Τηθὺν ἐποίησαν τῆς γενέσεως πατέρας, καὶ τὸν ὅρκον τῶν θεῶν ὕδωρ, τὴν καλουμένην ὑπ' αὐτῶν Στύγα τῶν ποιητῶν· τιμιώτατον μὲν γὰρ

4. ἐπελθοῦσι γοῦν *as*. | 5. τι om *TH*$^a$. | 6. πρῶτον *EH*$^a$*E*$^b$. | 7. μόνον εἴδει *H*$^a$*E*$^b$, εἴδει μόνον *as*. | 9. πρώτον *H*$^a$. | 11. ταῦτα τὴν *E*$^b$, ταύτην τὴν *TH*$^a$*as*. | post ὄντων comma *cb*. | 12. οὔτε om *ST*. | 13. οὐδὲ] δὲ *as*. | 13 et 16. σωκράτη *ETH*$^a$*as*. | 15. ἀποβάλη *A*$^b$*S*. | 17. ἢ ante μίαν cum *A*$^b$ om *cb*: ceteri et Alex retinent. | 20. μὲν om *T*. | 21. εἶναί φησιν *A*$^b$*cb*. | 22. ἀπεφαίνετο *A*$^b$. | post ὑπόληψιν add ταύτην *A*$^b$*Sas*. | 23. αὐτῇ *S*. | 24. καὶ] καὶ τὸ ζῶιον *ESTH*$^a$*E*$^b$*ias*. | ζῆν Alex. | γίγνεταί τι τοῦτ' *H*$^a$*as*. | 27. ἀρχὴ τ. φ. ἐστὶ *ESTH*$^a$*E*$^b$, ἀρχὴ φ. ἐστι *as*. | τῶν ὑγρῶν *T*. | 28. δὲ καί τινες *S*. | πάνυ παλαιοὺς *SE*$^b$*F*$^b$, πάλαι παλαιοὺς *T*, παλαιοὺς *A*$^b$*F*$^b$. | 29. πρώτως *S*. | 30. διαλαβεῖν *Tas*, λαβεῖν *S*. | τε om *T*. | 31. τῶν ὅρκων *E*$^b$. | 32. στύγα ὑπ' αὐτῶν *H*$^a$*E*$^b$. | μὲν om *T*.

Digitized by Google

τὸ πρεσβύτατον, ὅρκος δὲ τὸ τιμιώτατόν ἐστιν. εἰ μὲν οὖν
ἀρχαία τις αὕτη καὶ παλαιὰ τετύχηκεν οὖσα περὶ τῆς φύ- 984a
σεως ἡ δόξα, τάχ' ἂν ἄδηλον εἴη, Θαλῆς μέντοι λέγεται
οὕτως ἀποφήνασθαι περὶ τῆς πρώτης αἰτίας· Ἵππωνα γὰρ
οὐκ ἄν τις ἀξιώσειε θεῖναι μετὰ τούτων διὰ τὴν εὐτέλειαν
αὐτοῦ τῆς διανοίας. Ἀναξιμένης δὲ ἀέρα καὶ Διογένης πρό-
τερον ὕδατος καὶ μάλιστ' ἀρχὴν τιθέασι τῶν ἁπλῶν σωμά-
των, Ἵππασος δὲ πῦρ ὁ Μεταποντῖνος καὶ Ἡράκλειτος ὁ
Ἐφέσιος, Ἐμπεδοκλῆς δὲ τὰ τέτταρα, πρὸς τοῖς εἰρημένοις
γῆν προστιθεὶς τέταρτον· ταῦτα γὰρ ἀεὶ διαμένειν καὶ οὐ
γίγνεσθαι ἀλλ' ἢ πλήθει καὶ ὀλιγότητι συγκρινόμενα καὶ
διακρινόμενα εἰς ἕν τε καὶ ἐξ ἑνός. Ἀναξαγόρας δὲ ὁ Κλα-
ζομένιος τῇ μὲν ἡλικίᾳ πρότερος ὢν τούτου, τοῖς δ' ἔργοις
ὕστερος, ἀπείρους εἶναί φησι τὰς ἀρχάς· σχεδὸν γὰρ ἅπαντα
τὰ ὁμοιομερῆ, καθάπερ ὕδωρ ἢ πῦρ, οὕτω γίγνεσθαι καὶ
ἀπόλλυσθαί φησι συγκρίσει καὶ διακρίσει μόνον, ἄλλως δ'
οὔτε γίγνεσθαι οὔτ' ἀπόλλυσθαι, ἀλλὰ διαμένειν ἀΐδια. ἐκ
μὲν οὖν τούτων μόνην τις αἰτίαν νομίσειεν ἂν τὴν ἐν ὕλης
εἴδει λεγομένην. προϊόντων δ' οὕτως, αὐτὸ τὸ πρᾶγμα ὡδο-
ποίησεν αὐτοῖς καὶ συνηνάγκασε ζητεῖν· εἰ γὰρ ὅτι μάλιστα
πᾶσα φθορὰ καὶ γένεσις ἔκ τινος ἑνὸς ἢ καὶ πλειόνων ἐστίν,
διὰ τί τοῦτο συμβαίνει καὶ τί τὸ αἴτιον; οὐ γὰρ δὴ τό γε
ὑποκείμενον αὐτὸ ποιεῖ μεταβάλλειν ἑαυτό· λέγω δ' οἷον
οὔτε τὸ ξύλον οὔτε ὁ χαλκὸς αἴτιος τοῦ μεταβάλλειν ἑκάτε-
12 ρον αὐτῶν, οὐδὲ ποιεῖ τὸ μὲν ξύλον κλίνην ὁ δὲ χαλκὸς ἀν-
δριάντα, ἀλλ' ἕτερόν τι τῆς μεταβολῆς αἴτιον. τὸ δὲ τοῦτο
ζητεῖν ἐστὶ τὸ τὴν ἑτέραν ἀρχὴν ζητεῖν, ὡς ἂν ἡμεῖς φαίη-
μεν, ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως. οἱ μὲν οὖν πάμπαν ἐξ ἀρ-
χῆς ἁψάμενοι τῆς μεθόδου τῆς τοιαύτης καὶ ἓν φάσκοντες

33. *ἐστιν* fort. om Alex.

984a 1. *ἐτύγχανεν* $H^a$. | 3. *οὕτως* $A^bF^b$ Alex sch $A^b$: ceteri *τοῦτον τὸν τρόπον*. | *γὰρ*] *μὲν γὰρ* $ESTH^aE^b$as, *δ' οὖν* $F^b$. | 6. *πρώτων* $H^aE^b$. | 7. *ὁ* alterum om $A^b$. | 9. *προσθεὶς* $ESTH^aE^bF^b$as. | 10. *ἢ* om $A^b$. | 12. *τούτων* $H^a$. | 13. *φησι* om $F^b$. | 14. *τὰ* om as. | 16. *μένειν* $A^b$. | 17. *μόνον* $H^a$. | *νοήσειεν* $H^aE^b$, *εἶναι νομίεσιεν* T. | *ἂν* ante *αἰτίαν* $F^b$, om $A^b$. | 18. *λεγ.*] *προαγομένην* $H^a$. | 20. *γένεσις καὶ φθορὰ* $A^b$. | *καὶ φθορὰ*] *φθορὰ καὶ* c. | *τινος καὶ ἑνὸς* S, *τινος ὡς ἑνὸς* ias. | 21. *τε* $A^b$. | 23. *αἴτιον* $SH^aE^b$as. | 24. *ὁ δὲ*] *οὐδ' ὁ* S. | 25. *ἴδιον* $H^a$as. | 28. *τῆς τοιαύτης μεθόδου* $H^a$, γρ *καὶ ταύτης, ἤτοι τῆς φυσικῆς* E mg, *istam viam* i.

Digitized by Google

*εἶναι τὸ ὑποκείμενον οὐθὲν ἐδυσχέραναν ἑαυτοῖς, ἀλλ' ἔνιοί γε τῶν ἓν λεγόντων, ὥσπερ ἡττηθέντες ὑπὸ ταύτης τῆς ζητήσεως, τὸ ἓν ἀκίνητόν φασιν εἶναι καὶ τὴν φύσιν ὅλην οὐ μόνον κατὰ γένεσιν καὶ φθοράν (τοῦτο μὲν γὰρ ἀρχαῖόν τε καὶ πάντες ὡμολόγησαν), ἀλλὰ καὶ κατὰ τὴν ἄλλην μεταβολὴν πᾶσαν· καὶ τοῦτο αὐτῶν ἴδιόν ἐστιν. τῶν μὲν οὖν ἓν*
984*b* *φασκόντων εἶναι τὸ πᾶν οὐθενὶ συνέβη τὴν τοιαύτην συνιδεῖν αἰτίαν, πλὴν εἰ ἄρα Παρμενίδῃ, καὶ τούτῳ κατὰ τοσοῦτον ὅσον οὐ μόνον ἓν ἀλλὰ καὶ δύο πως τίθησιν αἰτίας εἶναι. τοῖς δὲ δὴ πλείω ποιοῦσι μᾶλλον ἐνδέχεται λέγειν, οἷον τοῖς θερμὸν καὶ ψυχρὸν ἢ πῦρ καὶ γῆν· χρῶνται γὰρ ὡς κινητικὴν ἔχοντι τῷ πυρὶ τὴν φύσιν, ὕδατι δὲ καὶ γῇ καὶ τοῖς τοιούτοις τοὐναντίον. μετὰ δὲ τούτους καὶ τὰς τοιαύτας ἀρχάς, ὡς οὐχ ἱκανῶν οὐσῶν γεννῆσαι τὴν τῶν ὄντων φύσιν, πάλιν ὑπ' αὐτῆς τῆς ἀληθείας, ὥσπερ εἴπομεν, ἀναγκαζόμενοι τὴν ἐχομένην ἐζήτησαν ἀρχήν· τοῦ γὰρ εὖ καὶ καλῶς τὰ μὲν ἔχειν τὰ δὲ γίγνεσθαι τῶν ὄντων ἴσως οὔτε πῦρ οὔτε γῆν οὔτ' ἄλλο τῶν τοιούτων οὐθὲν οὔτ' εἰκὸς αἴτιον εἶναι οὔτ' ἐκείνους οἰηθῆναι· οὐδ' αὖ τῷ αὐτομάτῳ καὶ τῇ τύχῃ τοσοῦτον ἐπιτρέψαι πρᾶγμα καλῶς εἶχεν. νοῦν δή τις εἰπὼν εἶναι, καθάπερ ἐν τοῖς ζῴοις, καὶ ἐν τῇ φύσει τὸν αἴτιον τοῦ κόσμου* 13
*καὶ τῆς τάξεως πάσης οἷον νήφων ἐφάνη παρ' εἰκῇ λέγοντας τοὺς πρότερον. φανερῶς μὲν οὖν Ἀναξαγόραν ἴσμεν ἁψάμενον τούτων τῶν λόγων, αἰτίαν δ' ἔχει πρότερον Ἑρμότιμος ὁ Κλαζομένιος εἰπεῖν. οἱ μὲν οὖν οὕτως ὑπολαμβά-*

29. *ἐν αὐτοῖς* Alex, *ἐν ἑαυτοῖς* $A^b$*c*, *πρὸς ἑαυτοὺς* Ascl. | 30. *γε* om $H^b$. | *ὑπ' αὐτῆς* $F^b$, sed *ὑπὸ ταύτης* Alex. | 32. *τοῦτο — 33. ὡμολόγησαν* om $A^b$ Alex *c*, habet Ascl. | 32. *τε* om *T*. | 33. *ἄλλην* om $H^aE^b$.

984*b* 1. *ἅπασαν* $A^b$. | *καὶ — ἐστιν* om $A^b$ Alex *c*. | *ἓν*] *ἓν μόνον* *ESTH*$^a$*E*$^b$*ias*. | 2. *συνιδεῖν*] *ἰδεῖν* $A^b$, *εἶναι ἰδεῖν* $F^b$. | 3. *εἰ ἄρα*] *ἑνὶ* $H^a$, *ἑνὶ παρὰ* $E^b$. | *τοῦτο* *S*. | 5. *δὴ* add $A^bC^bF^b$. | *ἐνδέχεται μᾶλλον* $H^a$. | *τοῖς*] *τὸ* *Tas*. | 6. *ἢ ψυχρὸν* *ias*. | 8. *ἐναντίον* $H^a$. | 9. *οὐσῶν* om *T*. | *πάλιν*] *πάντες* $E^b$. | *ἐπ'* $H^a$. | 11. post *ἀρχὴν* $A^b$: *τουτέστι τὴν ποιητικὴν τούτων εὖ ἔχειν καὶ καλῶς*. | *γὰρ*] *μὲν* $H^a$. | 12. *οὔτε πῦρ* om *as*. | 13. *ἄλλο τι τῶν* $A^b$. | *ἐκείνους εἰκὸς οἰηθῆναι* *ETH*$^a$*E*$^b$*ias*. | 14. *αὐτῷ* *s*. | *τῇ* add $A^b$. | 15. *ἔχειν* *ESTH*$^a$*B*$^b$*C*$^b$*a*, *ἔχει* *is*. | *δ' εἴ τις* $E^b$. *γρ καὶ νοῦν δ' εἴ τις* *E* mg. | *ἐνεῖναι* *ETA*$^b$*cb*, *ἓν εἶναι* rc $E^b$: ceteri et fort. Alex *εἶναι*. | 16. *τοῖς* om *ESB*$^b$*C*$^b$*c*. | *τὸ* $A^b$*c*. | *τοῦ* $A^b$: ceteri *καὶ τοῦ*. | 17. *πάσης* om $H^a$. | *οἰκῇ* *S*. | 18. *μὲν* om *T*. | 19. *αἴτιον* *Eas*. | *δ' ἂν ἔχῃ* $H^aE^b$. | *ὁ κλαζομένιος ἑρμότιμος* *S*.

Digitized by Google

νοντες ἅμα τοῦ καλῶς τὴν αἰτίαν ἀρχὴν εἶναι τῶν ὄντων ἔθεσαν, καὶ τὴν τοιαύτην ὅθεν ἡ κίνησις ὑπάρχει τοῖς ȣ̉σιν.

4 ὑποπτεύσειε δ' ἄν τις Ἡσίοδον πρῶτον ζητῆσαι τὸ τοιοῦτον, κἂν εἴ τις ἄλλος ἔρωτα ἢ ἐπιθυμίαν ἐν τοῖς οὖσιν ἔθηκεν ὡς ἀρχήν, οἷον καὶ Παρμενίδης· καὶ γὰρ οὗτος κατασκευάζων τὴν τοῦ παντὸς γένεσιν «πρώτιστον μέν» φησιν «ἔρωτα θεῶν μητίσατο πάντων,» Ἡσίοδος δὲ «πάντων μὲν πρώτιϛα χάος γένετ', αὐτὰρ ἔπειτα γαῖ' εὐρύϛερνος, ἠδ' ἔρος, ὃς πάντεσσι μεταπρέπει ἀθανάτοισιν,» ὡς δέον ἐν τοῖς ȣ̉σιν ὑπάρχειν τιν' αἰτίαν ἥτις κινήσει καὶ συνάξει τὰ πράγματα. τȣ́τȣς μὲν ȣ̉ν πῶς χρὴ διανεῖμαι περὶ τȣ̃ τίς πρῶτος, ἐξέσω κρίνειν ὕϛερον. ἐπεὶ δὲ καὶ τἀναντία τοῖς ἀγαθοῖς ἐνόντα ἐφαίνετο ἐν τῇ φύσει, καὶ οὐ μόνον τάξις καὶ τὸ καλὸν ἀλλὰ καὶ ἀταξία καὶ τὸ αἰσχρόν, καὶ πλείω τὰ κακὰ τῶν ἀγαθῶν καὶ τὰ φαῦλα τῶν καλῶν, ȣ̔́τως ἄλλος τις φιλίαν εἰσήνεγκε καὶ νεῖκος, ἑκάτερον ἑκατέρων αἴτιον τȣ́των. εἰ γάρ τις ἀκολουθοίη καὶ λαμβάνοι πρὸς τὴν διάνοιαν καὶ μὴ πρὸς ἃ ψελλίζεται λέγων Ἐμπεδοκλῆς, εὑρήσει τὴν μὲν φιλίαν αἰτίαν οὖσαν τῶν ἀγαθῶν, τὸ δὲ νεῖκος τῶν κακῶν· ὥστ' εἴ τις φαίη τρόπον τινὰ καὶ λέγειν καὶ πρῶτον λέγειν τὸ κακὸν καὶ τὸ ἀγαθὸν ἀρχὰς Ἐμπεδοκλέα, τάχ' ἂν λέγοι καλῶς, εἴπερ τὸ τῶν ἀγαθῶν ἁπάντων αἴτιον

14 αὐτὸ τἀγαθόν ἐϛι καὶ τῶν κακῶν τὸ κακόν. ȣ̔͂τοι μὲν οὖν, ὥσπερ λέγομεν, καὶ μέχρι τȣ́τȣ δυοῖν αἰτίαιν ἐφήψαντο ὧν ἡμεῖς διωρίσαμεν ἐν τοῖς περὶ φύσεως, τῆς τε ὕλης καὶ τȣ̃ ὅθεν ἡ κίνησις, ἀμυδρῶς μέντοι καὶ ȣ̉θὲν σαφῶς, ἀλλ' οἷον ἐν ταῖς μάχαις οἱ ἀγύμναϛοι ποιȣ̃σιν· καὶ γὰρ ἐκεῖνοι περιφερόμενοι τύπτουσι πολλάκις καλὰς πληγάς, ἀλλ' οὔτε

21. τοῦ] τῶ $H^a$, τῷ *as*. | τὴν om $H^a$. | 22. γρ καὶ ἔθεσαν τὴν τοιαύτην, εἶτα ὅθεν ἡ κίνησις *E* mg. | ὑπάρχειν *a*. | 25. καὶ γὰρ οὗτος] οὗτος γὰρ $A^b$*cb*, καὶ γὰρ οὕτως $E^b$. | 26. πρῶτον $EH^aA^bE^b$*ac*. | 27. μήσατο *S*, μητήσατο *a*. | δὲ] μὲν $H^a$. | 28. αὐτὸ $H^a$. | γέα γαῖα *E*. | 29. ἔρως *S* $H^aA^b$*a*. | 30. συνοῦσιν *S*. | τὴν $H^aA^b$. | συνέξει *ETas*. | 31. τούτοις $A^b$. | παρὰ $H^a$. | 32. ἐπειδὴ $H^b$.

985*a* 1. καὶ post ἀλλὰ om *as*. | 3. καὶ τὸ νεῖκος $H^a$*as*. | ἑκάτερον ἑκατέρω $H^a$. | 4. λαμβάνει $H^aA^b$. | 6. αἰτίαν οὖσαν] εἶναι *as*, οὖσαν om $H^aE^b$. | 7. ὡς $H^a$. | καὶ λέγειν καὶ om $H^a$. | 9. λέγοιτο $A^b$. | πάντων $A^b$. | 10. fort αὐτῷ cum *T*, cf. a24. | καὶ — κακόν om $A^b$ et fort. Alex p. 26, 2. | 11. δυοῖν $A^b$: vulgo et *c* δυεῖν. | ἐφήψαντο om $A^b$*c*, qui ἡμμένοι φαίνονται post φύσεως. | ὡς *Tas*.

Digitized by Google

ἐκεῖνοι ἀπὸ ἐπιστήμης οὔτε οὗτοι ἐοίκασιν εἰδόσι λέγειν ὅ τι λέγουσιν· σχεδὸν γὰρ οὐθὲν χρώμενοι φαίνονται τούτοις ἀλλ' ἢ κατὰ μικρόν. Ἀναξαγόρας τε γὰρ μηχανῇ χρῆται τῷ νῷ πρὸς τὴν κοσμοποιίαν, καὶ ὅταν ἀπορήσῃ διὰ τίν' αἰτίαν ἐξ ἀνάγκης ἐστί, τότε παρέλκει αὐτόν, ἐν δὲ τοῖς ἄλλοις πάντα μᾶλλον αἰτιᾶται τῶν γιγνομένων ἢ νοῦν. καὶ Ἐμπεδοκλῆς ἐπὶ πλέον μὲν τούτου χρῆται τοῖς αἰτίοις, οὐ μὴν οὔθ' ἱκανῶς, οὔτ' ἐν τούτοις εὑρίσκει τὸ ὁμολογούμενον. πολλαχοῦ γοῦν αὐτῷ ἡ μὲν φιλία διακρίνει, τὸ δὲ νεῖκος συγκρίνει. ὅταν μὲν γὰρ εἰς τὰ στοιχεῖα διίστηται τὸ πᾶν ὑπὸ τοῦ νείκους, τό τε πῦρ εἰς ἓν συγκρίνεται καὶ τῶν ἄλλων στοιχείων ἕκαστον· ὅταν δὲ πάλιν πάντα ὑπὸ τῆς φιλίας συνίωσιν εἰς τὸ ἕν, ἀναγκαῖον ἐξ ἑκάστου τὰ μόρια διακρίνεσθαι πάλιν. Ἐμπεδοκλῆς μὲν οὖν παρὰ τοὺς πρότερον πρῶτος ταύτην τὴν αἰτίαν διελὼν εἰσήνεγκεν, οὐ μίαν ποιήσας τὴν τῆς κινήσεως ἀρχὴν ἀλλ' ἑτέρας τε καὶ ἐναντίας. ἔτι δὲ τὰ ὡς ἐν ὕλης εἴδει λεγόμενα στοιχεῖα τέτταρα πρῶτος εἶπεν· οὐ μὴν χρῆταί γε τέτταρσιν, ἀλλ' ὡς δυσὶν οὖσι μό-
985*b* νοις, πυρὶ μὲν καθ' αὑτό, τοῖς δ' ἀντικειμένοις ὡς μιᾷ φύσει, γῇ τε καὶ ἀέρι καὶ ὕδατι. λάβοι δ' ἄν τις αὐτὸ θεωρῶν ἐκ τῶν ἐπῶν. οὗτος μὲν οὖν, ὥσπερ λέγομεν, οὕτω τε καὶ τοσαύτας εἴρηκεν ἀρχάς· Λεύκιππος δὲ καὶ ὁ ἑταῖρος αὐτοῦ Δημόκριτος στοιχεῖα μὲν τὸ πλῆρες καὶ τὸ κενὸν εἶναί φασι, λέγοντες οἷον τὸ μὲν ὂν τὸ δὲ μὴ ὄν, τούτων δὲ τὸ μὲν πλῆρες καὶ στερεὸν τὸ ὄν, τὸ δὲ κενόν γε καὶ μανὸν τὸ μὴ ὄν (διὸ καὶ οὐθὲν μᾶλλον τὸ ὂν τοῦ μὴ ὄντος εἶναί φασιν, ὅτι οὐδὲ τὸ κενὸν τοῦ σώματος), αἴτια δὲ τῶν ὄντων ταῦτα

16. αὑτοὶ *T*. | εἰδέναι, omisso λέγειν, $A^b$*i*. | ὅ τι] ἃ $H^a$*as*. | 18. ἢ om $F^b$. | γὰρ om $H^a$. | 19. καὶ ὅταν ἀπορήσῃ] ὅταν γὰρ ἀπορήσει $H^a$, ὅταν ἀπορήσῃ γὰρ *ET*. | διὰ — 20. ἐστί om $A^b$ et *E* mg. | 20. ἕλκει *ST*$H^a$ $E^b$ et pr *Eas*. | αὐτὸ *a*. | 21. μᾶλλον πάντα *S*. | 22. ἐπὶ] δὲ ἐπὶ *T*, μὲν πρὸς $H^a$, μὲν ἐπὶ $F^b$. | χρῆται τούτου $A^b$*c*, τούτῳ χρῆται $H^a$, τούτῳ χρ. *as*. | 23. ἐξευρίσκει $A^b$*c*. | 25. ὅτε *S*. | διίσταται $H^a$. | 26. τότε τὸ *E Tiasc* et fort. Alex. | εἰς ἓν om *T*. | 27. πάλιν om $H^a$*as*. | πάντα om *E S*$A^b$$E^b$. | 28. ἐξ om $H^a$*i*. | 29. τοὺς] τὸ $A^b$. | 31. τῆς] τε *T*. | 32. δὲ καὶ τὰ *as*. | 33. μόνον $H^a$$E^b$.

985*b* 2. καὶ post τε om $H^a$$E^b$. | 3. οὕτως *T*. | 4. τοιαύτας $H^a$. | εἴρηκε τὰς ἀρχάς *S*$A^b$. | 6. οἷον om $A^b$*cb*. | 7. τε *E*, om $H^a$$A^b$$E^b$. | γε καὶ μανὸν om $A^b$. | 9. fort. scribendum cum Cas οὐδὲ τὸ σῶμα τοῦ κενοῦ, cf. Alex p. 27, 5. | ταῦτά γε ὡς $A^b$, ταῦτα ante τῶν *T*.

Digitized by Google

ὡς ὕλην. καὶ καθάπερ οἱ ἓν ποιȣ͂ντες τὴν ὑποκειμένην ȣ̓σίαν τἆλλα τοῖς πάθεσιν αὐτῆς γεννῶσι, τὸ μανὸν καὶ τὸ πυκνὸν ἀρχὰς τιθέμενοι τῶν παθημάτων, τὸν αὐτὸν τρόπον καὶ ȣ̔͂τοι τὰς διαφορὰς αἰτίας τῶν ἄλλων εἶναί φασιν. ταύτας μέντοι τρεῖς εἶναι λέγουσι, σχῆμά τε καὶ τάξιν καὶ θέσιν· διαφέρειν γάρ φασι τὸ ὂν ῥυσμῷ καὶ διαθιγῇ καὶ τροπῇ μόνον. τούτων δὲ ὁ μὲν ῥυσμὸς σχῆμά ἐστιν, ἡ δὲ διαθιγὴ τάξις, ἡ δὲ τροπὴ θέσις· διαφέρει γὰρ τὸ μὲν Α τȣ͂ Ν σχήματι, τὸ δὲ ΑΝ τοῦ ΝΑ τάξει, τὸ δὲ Ζ τοῦ Ν θέσει. περὶ δὲ κινήσεως, ὅθεν ἢ πῶς ὑπάρχει τοῖς ȣ̓͂σι, καὶ ȣ̔͂τοι παραπλησίως τοῖς ἄλλοις ῥαθύμως ἀφεῖσαν. περὶ μὲν ȣ̓͂ν τῶν δύο αἰτιῶν, ὥσπερ λέγομεν, ἐπὶ τοσȣ͂τον ἔοικεν ἐζητῆσθαι παρὰ τῶν πρότερον.

5 Ἐν δὲ τȣ́τοις καὶ πρὸ τȣ́των οἱ καλȣ́μενοι Πυθαγόρειοι
τῶν μαθημάτων ἁψάμενοι πρῶτοι ταῦτα προήγαγον, καὶ
ἐντραφέντες ἐν αὐτοῖς τὰς τούτων ἀρχὰς τῶν ὄντων ἀρχὰς
ᾠήθησαν εἶναι πάντων. ἐπεὶ δὲ τούτων οἱ ἀριθμοὶ φύσει
πρῶτοι, ἐν δὲ τοῖς ἀριθμοῖς ἐδόκουν θεωρεῖν ὁμοιώματα
πολλὰ τοῖς ȣ̓͂σι καὶ γιγνομένοις, μᾶλλον ἢ ἐν πυρὶ καὶ γῇ
16 καὶ ὕδατι, ὅτι τὸ μὲν τοιονδὶ τῶν ἀριθμῶν πάθος δικαιο-
σύνη, τὸ δὲ τοιονδὶ ψυχὴ καὶ νȣ͂ς, ἕτερον δὲ καιρὸς καὶ τῶν
ἄλλων ὡς εἰπεῖν ἕκαςον ὁμοίως, ἔτι δὲ τῶν ἁρμονιῶν ἐν ἀριθ-
μοῖς ὁρῶντες τὰ πάθη καὶ τȣ̀ς λόγȣς· ἐπειδὴ τὰ μὲν ἄλλα
τοῖς ἀριθμοῖς ἐφαίνετο τὴν φύσιν ἀφωμοιῶσθαι πᾶσαν, οἱ
δ᾽ ἀριθμοὶ πάσης τῆς φύσεως πρῶτοι, τὰ τῶν ἀριθμῶν ςοι- 986*a*
χεῖα τῶν ὄντων στοιχεῖα πάντων εἶναι ὑπέλαβον, καὶ τὸν

10. ὕλη $SH^aE^b$*as*. | 11. αὐτοῖς $E^b$. | 12. ποιούμενοι $H^a$. | τῶν παθημάτων ante ἀρχὰς $A^b$*c*. | καὶ ὥσπερ τῶν μαθηματικῶν, τὸν αὐτὸν τρόπον v. l. apud Alex. | 15. διαφέρει $EH^aE^b$. | φησι $ESH^b$. | ῥοισμῷ $A^b$. | διαθηγῇ $ESTE^b$, διαθηγῇ *as*. | 16. ῥοισμὸς $A^b$. | 17. διαθηγὴ *Sas*. | γὰρ om $H^a$*c*. | 19. ὑπάρξει $A^b$. | 20. παραπ. τ. ἄλλοις om *S*. | ἀφῆσαν $SE^bF^b$*as*. | 21. οὖν τούτων τῶν $F^b$*c*. | ἐλέγομεν *Sias*. | 22. παρὰ τῶν add $A^b$*i*. | 24. πρῶτον $TH^aA^b$*as*, fort. recte. | ταῦτά τε πρ. $A^bC^b$. | προῆγον $ESTH^aE^b$*as*. | 25. τῶν] τὰς *S*. τῶν ὄντων ἀρχὰς om $A^b$. | 27. τοῖς ἀριθμοῖς] τούτοις $A^b$*c* et fort. Alex p. 28, 20. | 30. ψυχή τε καὶ $A^b$. | 31. post ὁμοίως colon *cb*. | ἁρμονιῶν $SH^aB^bC^bE^b$*i* Alex p. 29, 22, ἁρμονικῶν *ascb*. | 32. τὰ πάθη] καὶ τὰ πάθη $H^a$*asc*. | post λόγους comma *cb*. | 33. ἐφαίνοντο $A^b$. | τὴν φύσιν om $SB^bC^b$*i*. | ἀφομοιῶσθαι $A^b$, ἀφομοιωθῆναι $ESB^bC^b$. | πᾶσιν $ESH^aB^b$*ias*.

986*a* 2. ὑπέλαβον εἶναι $A^b$.

Digitized by Google

ὅλον οὐρανὸν ἁρμονίαν εἶναι καὶ ἀριθμόν· καὶ ὅσα εἶχον ὁμολογύμενα δεικνύναι ἔν τε τοῖς ἀριθμοῖς καὶ ταῖς ἁρμονίαις πρὸς τὰ τοῦ ὀρανῦ πάθη καὶ μέρη καὶ πρὸς τὴν ὅλην διακόσμησιν, ταῦτα συνάγοντες ἐφήρμοττον. κἂν εἴ τί πȣ διέλειπε, προσεγλίχοντο τῦ συνειρομένην πᾶσαν αὐτοῖς εἶναι τὴν πραγματείαν. λέγω δ' οἷον, ἐπειδὴ τέλειον ἡ δεκὰς εἶναι δοκεῖ καὶ πᾶσαν περιειληφέναι τὴν τῶν ἀριθμῶν φύσιν, καὶ τὰ φερόμενα κατὰ τὸν ὀρανὸν δέκα μὲν εἶναί φασιν, ὄντων δὲ ἐννέα μόνον τῶν φανερῶν διὰ τοῦτο δεκάτην τὴν ἀντίχθονα ποιοῦσιν. διώρισται δὲ περὶ τούτων ἐν ἑτέροις ἡμῖν ἀκριβέϛερον. ἀλλ' ȣ̓̃ δὴ χάριν ἐπερχόμεθα τῦτό ἐϛιν, ὅπως λάβωμεν καὶ παρὰ τούτων τίνας εἶναι τιθέασι τὰς ἀρχὰς καὶ πῶς εἰς τὰς εἰρημένας ἐμπίπτȣσιν αἰτίας. φαίνονται δὴ καὶ οὗτοι τὸν ἀριθμὸν νομίζοντες ἀρχὴν εἶναι καὶ ὡς ὕλην τοῖς ȣ̓̃σι καὶ ὡς πάθη τε καὶ ἕξεις, τῦ δὲ ἀριθμοῦ ϛοιχεῖα τό τε ἄρτιον καὶ τὸ περιττόν, τύτων δὲ τὸ μὲν πεπερασμένον τὸ δὲ ἄπειρον, τὸ δ' ἓν ἐξ ἀμφοτέρων εἶναι τύτων (καὶ γὰρ ἄρτιον εἶναι καὶ περιττόν), τὸν δ' ἀριθμὸν ἐκ τοῦ ἑνός, ἀριθμοὺς δέ, καθάπερ εἴρηται, τὸν ὅλον οὐρανόν. ἕτεροι δὲ τῶν αὐτῶν τύτων τὰς ἀρχὰς δέκα λέγȣσιν εἶναι τὰς κατὰ συϛοιχίαν λεγομένας, πέρας ἄπειρον, περιττὸν ἄρτιον, 17 ἓν πλῆθος, δεξιὸν ἀριστερόν, ἄρρεν θῆλυ, ἠρεμῦν κινȣ́μενον, εὐθὺ καμπύλον, φῶς σκότος, ἀγαθὸν κακόν, τετράγωνον ἑτερόμηκες. ὅνπερ τρόπον ἔοικε καὶ Ἀλκμαίων ὁ Κροτωνιάτης ὑπολαβεῖν, καὶ ἤτοι ȣ̓̃τος παρ' ἐκείνων ἢ ἐκεῖνοι παρὰ τύτȣ παρέλαβον τὸν λόγον τῦτον· καὶ γὰρ ἐγένετο

3. *καὶ ὅσα εἶχον* ante *καὶ τὸν ὅλον* **as**, sed verum ordinem ex **i** restituit **s** ann. cr. | post *ὅσα* add *μὲν* **i** et fort. Alex. | *εἶχεν* $SA^bC^b$. | 4. *δεικνύναι* omittendun videtur cum $A^b$ et Alex. | 5. *ἄλλην* $TH^aE^b$. | 6. *που*] *πολὺ* S, *που πολὺ* **as**, om $A^b$. | 7. *διέλιπε* $SC^bE^b$, *διέλιπον* T**as**. | *προσεπεγλίχοντο* E. | *συνηρημένην* $SB^bC^b$, *συνηρμοσμένην* $E^b$**as**. | *εἶναι πᾶσαν αὐτοῖς* T, *αὐτοῖς πᾶσαν εἶναι* $H^a$. | 8. *οἷον* om $H^a$. | 9. *εἶναι — φύσιν* om $A^b$, non expl. Alex. | 10. *καὶ τὰ φ.*] *καταφερόμενα* S. | 11. *μόνων* $EH^aA^b$, *μὲν μόνον* $C^b$. | 13. *ἐπεχόμεθα* **as**. | 14. *εἶναι ἤδη τιθέασι* **as**. | 16. *δὲ* $SA^bE^b$**as**. | *καὶ* post *εἶναι* om **i**. | 18. *τε* add $A^b$. | *ἄπειρον τὸ δὲ πεπερασμένον* $A^b$. | 19. *ἓν δὴ ἐξ* **as**. | 20. *καὶ — περιττόν* om $A^b$. | *εἶναι* om S. | 21. *ἀριθμὸν* S. | *ἀριθμοὺς — οὐρανόν* non expl. Alex. | 23. *συστοιχείαν* $TA^b$**as**, fort. *συστοιχίας* coll. Alex p. 31, 30. | 23—26. *πέρας καὶ ἄπειρον, π. καὶ ἄρτ.* et in reliquis *καὶ* add $A^b$*cb*: ceteri om, Alex inde ab *ἄρρεν* om. | 28. *ἐγίνετο* $C^b$.

Digitized by Google

τὴν ἡλικίαν Ἀλκμαίων ἐπὶ γέροντι Πυθαγόρᾳ, ἀπεφήνατο δὲ παραπλησίως τούτοις· φησὶ γὰρ εἶναι δύο τὰ πολλὰ τῶν ἀνθρωπίνων, λέγων τὰς ἐναντιότητας οὐχ ὥσπερ οὗτοι διωρισμένας ἀλλὰ τὰς τυχούσας, οἷον λευκὸν μέλαν, γλυκὺ πικρόν, ἀγαθὸν κακόν, μέγα μικρόν. οὗτος μὲν οὖν ἀδιορίστως ἀπέρριψε περὶ τῶν λοιπῶν, οἱ δὲ Πυθαγόρειοι καὶ πόσαι καὶ τίνες αἱ ἐναντιώσεις ἀπεφήναντο. παρὰ μὲν οὖν
986*b*
τούτων ἀμφοῖν τοσοῦτον ἔστι λαβεῖν, ὅτι τἀναντία ἀρχαὶ τῶν ὄντων· τὸ δ' ὅσαι παρὰ τῶν ἑτέρων, καὶ τίνες αὗταί εἰσιν. πῶς μέντοι πρὸς τὰς εἰρημένας αἰτίας ἐνδέχεται συναγαγεῖν, σαφῶς μὲν οὐ διήρθρωται παρ' ἐκείνων, ἐοίκασι δ' ὡς ἐν ὕλης εἴδει τὰ στοιχεῖα τάττειν· ἐκ τούτων γὰρ ὡς ἐνυπαρχόντων συνεστάναι καὶ πεπλάσθαι φασὶ τὴν οὐσίαν. τῶν μὲν οὖν παλαιῶν καὶ πλείω λεγόντων τὰ στοι-
18
χεῖα τῆς φύσεως ἐκ τούτων ἱκανόν ἐστι θεωρῆσαι τὴν διάνοιαν· εἰσὶ δέ τινες οἳ περὶ τοῦ παντὸς ὡς ἂν μιᾶς οὔσης φύσεως ἀπεφήναντο, τρόπον δὲ οὐ τὸν αὐτὸν πάντες οὔτε τοῦ καλῶς οὔτε τοῦ κατὰ τὴν φύσιν. εἰς μὲν οὖν τὴν νῦν σκέψιν τῶν αἰτίων οὐδαμῶς συναρμόττει περὶ αὐτῶν ὁ λόγος· οὐ γὰρ ὥσπερ ἔνιοι τῶν φυσιολόγων ἓν ὑποθέμενοι τὸ ὂν ὅμως γεννῶσιν ὡς ἐξ ὕλης τοῦ ἑνός, ἀλλ' ἕτερον τρόπον οὗτοι λέγουσιν· ἐκεῖνοι μὲν γὰρ προστιθέασι κίνησιν, γεννῶντές γε τὸ πᾶν, οὗτοι δὲ ἀκίνητον εἶναί φασιν. οὐ μὴν ἀλλὰ τοσοῦτόν γε οἰκεῖόν ἐστι τῇ νῦν σκέψει. Παρμενίδης μὲν γὰρ ἔοικε τοῦ κατὰ τὸν λόγον ἑνὸς ἅπτεσθαι, Μέλισσος δὲ τοῦ κατὰ τὴν ὕλην· διὸ καὶ ὁ μὲν πεπερασμένον, ὁ δ' ἄπειρόν φησιν εἶναι αὐτό· Ξενοφάνης δὲ πρῶτος τούτων ἑνίσας (ὁ γὰρ Παρμενίδης τούτου λέγεται μαθητής) οὐθὲν διεσαφήνισεν, οὐδὲ τῆς φύσεως τούτων οὐδετέρας ἔοικε θιγεῖν, ἀλλ'

29. ἐγένετο τὴν ἡλικίαν ἐπὶ γέροντι Πυθαγόρᾳ et 30. δὲ om $A^b$ et fort. Alex p. 32, 1. | 31. λέγω $C^b$. | 31. 32. διωρισμένως $SB^b$. | 33. μέγα μικρόν $A^b$: ceteri et cb μικρὸν μέγα. | οὕτως $E^b$. | οὖν om $E^b$. | 34. ἀπέρριψε S $A^bC^bE^b$.

986*b* 2. ἀμφοῖν μὲν τοσοῦτον $A^b$. | 3. τὸ — ἑτέρων om $A^b$. | περὶ $E^b$. | 5. συναγαγεῖν $A^b$cb: ceteri συνάγειν. | 7. φησὶ $TC^b$. | 8. τὰ στοιχεῖα λεγόντων $ESTH^aE^b$as. | 10. ἂν om $A^b$. | 11. φύσεως om S, τῆς φύσεως T. | 12. τὴν omittendum videtur cum $H^aE^b$ Alex as. | 17. γε om $STA^b$. | 19. γὰρ om S. | τὸν om $TH^aA^bE^b$as. | 22. παρμενίδης ὃς τούτου $ETE^b$. | λέγ. γενέσθαι μαθ. $A^b$. | 22. 23. διεσάφησεν T. | 23. οὔτε $A^b$. | τούτων post ἔοικε $A^b$c. | θιγεῖν ante ἔοικε $SB^bC^b$.



Digitized by Google

εἰς τὸν ὅλον οὐρανὸν ἀποβλέψας τὸ ἓν εἶναί φησι τὸν θεόν. οὗτοι μὲν οὖν, καθάπερ εἴπομεν, ἀφετέοι πρὸς τὴν νῦν παροῦσαν ζήτησιν, οἱ μὲν δύο καὶ πάμπαν ὡς ὄντες μικρὸν ἀγροικότεροι, Ξενοφάνης καὶ Μέλισσος· Παρμενίδης δὲ μᾶλλον βλέπων ἔοικέ που λέγειν· παρὰ γὰρ τὸ ὂν τὸ μὴ ὂν οὐθὲν ἀξιῶν εἶναι, ἐξ ἀνάγκης ἓν οἴεται εἶναι τὸ ὂν καὶ ἄλλο οὐθέν, περὶ οὗ σαφεστέρως ἐν τοῖς περὶ φύσεως εἰρήκαμεν. ἀναγκαζόμενος δ' ἀκολουθεῖν τοῖς φαινομένοις, καὶ τὸ ἓν μὲν κατὰ τὸν λόγον, πλείω δὲ κατὰ τὴν αἴσθησιν ὑπολαμβάνων εἶναι, δύο τὰς αἰτίας καὶ δύο τὰς ἀρχὰς πάλιν τίθησι, θερμὸν καὶ ψυχρόν, οἷον πῦρ καὶ γῆν λέγων· τού-
987a των δὲ τὸ μὲν κατὰ τὸ ὂν τὸ θερμὸν τάττει, θάτερον δὲ κατὰ τὸ μὴ ὄν. ἐκ μὲν οὖν τῶν εἰρημένων καὶ παρὰ τῶν συν- 19
ηδρευκότων ἤδη τῷ λόγῳ σοφῶν τοσαῦτα παρειλήφαμεν, παρὰ μὲν τῶν πρώτων σωματικήν τε τὴν ἀρχήν (ὕδωρ γὰρ καὶ πῦρ καὶ τὰ τοιαῦτα σώματά ἐστιν), καὶ τῶν μὲν μίαν τῶν δὲ πλείους ἀρχὰς τὰς σωματικάς, ἀμφοτέρων μέντοι ταύτας ὡς ἐν ὕλης εἴδει τιθέντων, παρὰ δέ τινων ταύτην τε τὴν αἰτίαν τιθέντων καὶ πρὸς ταύτῃ τὴν ὅθεν ἡ κίνησις, καὶ ταύτην παρὰ τῶν μὲν μίαν παρὰ τῶν δὲ δύο. μέχρι μὲν οὖν τῶν Ἰταλικῶν καὶ χωρὶς ἐκείνων μετριώτερον εἰρήκασιν οἱ ἄλλοι περὶ αὐτῶν, πλὴν ὥσπερ εἴπομεν, δυοῖν τε αἰτίαιν τυγχάνουσι κεχρημένοι, καὶ τούτων τὴν ἑτέραν οἱ μὲν μίαν οἱ δὲ δύο ποιοῦσι, τὴν ὅθεν ἡ κίνησις· οἱ δὲ Πυθαγόρειοι δύο μὲν τὰς ἀρχὰς κατὰ τὸν αὐτὸν εἰρήκασι τρόπον, τοσοῦτον δὲ προσεπέθεσαν, ὃ καὶ ἴδιόν ἐστιν αὐτῶν, ὅτι τὸ πεπερασμένον καὶ τὸ ἄπειρον καὶ τὸ ἓν οὐχ ἑτέρας τινὰς ᾠήθησαν εἶναι φύσεις, οἷον πῦρ ἢ γῆν ἤ τι τοιοῦτον ἕτερον, ἀλλ' αὐτὸ

24. ὅλον τὸν $E^b$. | τὸν θεόν om $A^b$. | 25. οὕτω *T*. | ἀφετείναντο $SB^b$, ἀπεφήναντο $C^b$. | 25. 26. παροῦσαν add $A^b$, fort. omittendum. | 28. βλέπων om *E*. | που λέγειν ἔοικε $E^b$. | 30. σαφέστερον $TA^b as$. | 32. τὸν om *Tas*. | 32. 33. ὑπολαβὼν $A^b$. | 33. τὰς ante ἀρχὰς om $A^b$. | 33. 34. τίθησι πάλιν $SB^bC^b as$.

987a 1. δὲ om *c*. | τὸ μὲν κατὰ] κατὰ μὲν $A^b cb$: ceteri τὸ μὲν κατὰ. | 2. περὶ $E^b$. | 2. 3. συνεδρευκότων $A^b$. | 3. τοσαῦτα $A^b cb$: vulgo ταῦτα. | 6. ante ἀρχὰς add τὰς $A^bE^b$. | 7. ὥσπερ ὕλης εἴδη *Tas*. | 8. τὴν ante αἰτίαν om *Tas*. | ταύτην $F^b$. | 9. παρ' ὧν μὲν μίαν παρ' ὧν $A^b$. | 10. μαλακώτερον $A^bF^b$ Alex et γρ *E*, μορυχώτερον *c* ex v. l. apud Alex, μοναχώτερον coni. Br ad Alex, μονιμώτερον Ascl. | 11. περὶ τῶν αὐτῶν $ESTB^bC^b$. | δυεῖν *Tas*. | τε fort. om Alex. | 13. ποιοῦσι post 12. μίαν Alex. | 15. δὲ om *T*. | ἐστιν αὐτῶν $A^b$: vulgo αὐτῶν ἐστίν. | 16. καὶ τὸ ἓν om $ESTB^bC^bE^b$. | 17. φύσεις εἶναι $E^b$.

Digitized by Google

τὸ ἄπειρον καὶ αὐτὸ τὸ ἓν οὐσίαν εἶναι τούτων ὧν κατηγοροῦνται, διὸ καὶ ἀριθμὸν εἶναι τὴν οὐσίαν ἁπάντων. περί τε τούτων οὖν τοῦτον ἀπεφήναντο τὸν τρόπον, καὶ περὶ τοῦ τί ἐστιν ἤρξαντο μὲν λέγειν καὶ ὁρίζεσθαι, λίαν δ' ἁπλῶς ἐπραγματεύθησαν. ὡρίζοντό τε γὰρ ἐπιπολαίως, καὶ ᾧ πρώτῳ ὑπάρξειεν ὁ λεχθεὶς ὅρος, τοῦτ' εἶναι τὴν οὐσίαν τοῦ πράγματος ἐνόμιζον, ὥσπερ εἴ τις οἴοιτο ταὐτὸν εἶναι διπλάσιον καὶ τὴν δυάδα, διότι πρῶτον ὑπάρχει τοῖς δυσὶ τὸ διπλάσιον. ἀλλ' οὐ ταὐτὸν ἴσως ἐστὶ τὸ εἶναι διπλασίῳ καὶ δυάδι. εἰ δὲ μή, πολλὰ τὸ ἓν ἔσται, ὃ κἀκείνοις συνέβαινεν. παρὰ μὲν οὖν τῶν πρότερον καὶ τῶν ἄλλων τοσαῦτα ἔστι λαβεῖν.

6 Μετὰ δὲ τὰς εἰρημένας φιλοσοφίας ἡ Πλάτωνος ἐπε-
20 γένετο πραγματεία, τὰ μὲν πολλὰ τούτοις ἀκολουθοῦσα, τὰ δὲ καὶ ἴδια παρὰ τὴν τῶν Ἰταλικῶν ἔχουσα φιλοσοφίαν. ἐκ νέου τε γὰρ συνήθης γενόμενος πρῶτον Κρατύλῳ καὶ ταῖς Ἡρακλειτείοις δόξαις, ὡς ἁπάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων καὶ ἐπιστήμης περὶ αὐτῶν οὐκ οὔσης, ταῦτα μὲν καὶ ὕστερον οὕτως ὑπέλαβεν· Σωκράτους δὲ περὶ μὲν τὰ ἠθικὰ πραγματευομένου, περὶ δὲ τῆς ὅλης φύσεως οὐθέν, ἐν μέντοι τούτοις τὸ καθόλου ζητοῦντος καὶ περὶ ὁρισμῶν ἐπιστήσαντος πρώτου τὴν διάνοιαν, ἐκεῖνον ἀποδεξάμενος διὰ τὸ τοιοῦτον ὑπέλαβεν ὡς περὶ ἑτέρων τοῦτο γινόμενον καὶ οὐ τῶν αἰσθητῶν τινός· ἀδύνατον γὰρ εἶναι τὸν κοινὸν ὅρον τῶν αἰσθητῶν τινός, ἀεί γε μεταβαλλόντων. οὗτος μὲν οὖν τὰ τοιαῦτα τῶν ὄντων ἰδέας προσηγόρευσε, τὰ δ' αἰσθητὰ παρὰ ταῦτα καὶ κατὰ ταῦτα λέγεσθαι πάντα· κατὰ μέθεξιν γὰρ εἶναι τὰ πολλὰ τῶν συνωνύμων τοῖς εἴδεσιν. τὴν δὲ μέθεξιν τοὔνομα

19. πάντων $A^b$c. | 20. οὖν om $A^b$. | ἀπεφήναντο τοῦτον $A^b$c. | 22. τε om *T*. | πρώτως $A^b$. | 22. 23. ὑπάρξειν *T*. | 23. 24. ἐνόμιζον $A^b$: ceteri ἐνόμισαν. | 25. ὅτι *S*. | δύο $A^b$. | 26. ἐστὶ om $E^b$, ante ἴσως pon $A^b$c. | 28. προτέρων $E^bF^b$, πρώτων *as*. | 29. 30. ἐγένετο *S*. | 30. τοῖς Πυθαγορείοις τούτοις *as*. | 32. τε om $A^b$. | συνήθης γενόμενος $A^b$ Alex: ceteri συγγενόμενος. | Κρατύλλῳ *a*. | 34. καὶ post μὲν om *as*.

987*b* 1. οὗτος *E*, οὔτε $B^b$. | 2. μέντοι] δὲ $A^b$. | 4. ἐκείνων $E^b$. | διὰ τὸ ζητῆσαι περὶ τῶν καθόλου τοιοῦτον ὑπ. *as*. | 5. ἑτέρων τοὺς ὁρισμοὺς τούτους γινομένους *as*, ἑτέρων τούτους γινομένους c. | γινομένων $A^b$. | καὶ οὐ περὶ τῶν αἰσθ. $A^b$*asc*. | 6. τινός om $A^b$. | ὅρον] λόγον $ESB^bC^bE^b$. | 7. οὕτως $SA^bC^bE^b$*iasc*, οὗτος *b*. | τὰ μὲν οὖν $A^b$c, οὖν τὰ μὲν *Sas*, fort. recte. | 8. περὶ τὰ παρὰ ταῦτα *as*. | 8. 9. καὶ κατὰ ταῦτα om *i*. | 10. συνωνύμων τοῖς $A^bF^b$ Alex et γρ *E*: ceteri συνωνύμων ὁμώνυμα τοῖς.



Digitized by Google

μόνον μετέβαλεν· οἱ μὲν γὰρ Πυθαγόρειοι μιμήσει τὰ ὄντα φασὶν εἶναι τῶν ἀριθμῶν, Πλάτων δὲ μεθέξει, τοὔνομα μεταβαλών. τὴν μέντοι γε μέθεξιν ἢ τὴν μίμησιν ἥτις ἂν εἴη τῶν εἰδῶν, ἀφεῖσαν ἐν κοινῷ ζητεῖν. ἔτι δὲ παρὰ τὰ αἰσθητὰ καὶ τὰ εἴδη τὰ μαθηματικὰ τῶν πραγμάτων εἶναί φησι μεταξύ, διαφέροντα τῶν μὲν αἰσθητῶν τῷ ἀΐδια καὶ ἀκίνητα εἶναι, τῶν δ' εἰδῶν τῷ τὰ μὲν πόλλ' ἄττα ὅμοια εἶναι τὸ δὲ εἶδος αὐτὸ ἓν ἕκαστον μόνον. ἐπεὶ δ' αἴτια τὰ εἴδη τοῖς ἄλλοις, τἀκείνων ϛοιχεῖα πάντων ᾠήθη τῶν ὄντων εἶναι στοιχεῖα. ὡς μὲν οὖν ὕλην τὸ μέγα καὶ τὸ μικρὸν εἶναι 21
ἀρχάς, ὡς δ' ȣ̓σίαν τὸ ἕν· ἐξ ἐκείνων γὰρ κατὰ μέθεξιν τȣ̃ ἑνὸς τὰ εἴδη εἶναι τȣ̀ς ἀριθμȣ́ς. τὸ μέντοι γε ἓν ȣ̓σίαν εἶναι, καὶ μὴ ἕτερόν γέ τι ὂν λέγεσθαι ἕν, παραπλησίως τοῖς Πυθαγορείοις ἔλεγε, καὶ τὸ τȣ̀ς ἀριθμȣ̀ς αἰτίȣς εἶναι τοῖς ἄλλοις τῆς οὐσίας ὡσαύτως ἐκείνοις· τὸ δὲ ἀντὶ τȣ̃ ἀπείρȣ ὡς ἑνὸς δυάδα ποιῆσαι, τὸ δ' ἄπειρον ἐκ μεγάλȣ καὶ μικρȣ̃, τȣ̃τ' ἴδιον· καὶ ἔτι ὁ μὲν τοὺς ἀριθμȣ̀ς παρὰ τὰ αἰσθητά, οἱ δ' ἀριθμȣ̀ς εἶναί φασιν αὐτὰ τὰ πράγματα, καὶ τὰ μαθηματικὰ μεταξὺ τȣ́των οὐ τιθέασιν. τὸ μὲν ȣ̓̃ν τὸ ἓν καὶ τοὺς ἀριθμοὺς παρὰ τὰ πράγματα ποιῆσαι, καὶ μὴ ὥσπερ οἱ Πυθαγόρειοι, καὶ ἡ τῶν εἰδῶν εἰσαγωγὴ διὰ τὴν ἐν τοῖς λόγοις ἐγένετο σκέψιν (οἱ γὰρ πρότεροι διαλεκτικῆς ȣ̓ μετεῖχον), τὸ δὲ δυάδα ποιῆσαι τὴν ἑτέραν φύσιν διὰ τὸ τοὺς ἀριθμȣ̀ς ἔξω τῶν πρώτων εὐφυῶς ἐξ αὐτῆς γεννᾶσθαι, ὥσ-
988*a* περ ἔκ τινος ἐκμαγείου. καίτοι συμβαίνει γ' ἐναντίως· οὐ γὰρ εὔλογον ȣ̔́τως. οἱ μὲν γὰρ ἐκ τῆς ὕλης πολλὰ ποιȣ̃σιν, τὸ δ' εἶδος ἅπαξ γεννᾷ μόνον, φαίνεται δ' ἐκ μιᾶς ὕλης μία τράπεζα, ὁ δὲ τὸ εἶδος ἐπιφέρων εἷς ὢν πολλὰς ποιεῖ.

11. μόνον om $A^bF^b$. | μετέβαλλεν *Ts*, μετέλαβεν $A^bF^b$, μεταβάλλων $E^b$. | μίμησιν *Tas*. | 12. μέθεξιν *as*. | 12. 13. τοὔνομα μεταβαλών om $A^b$c. | 13. γε om $A^b$. | ἥτις] τίς $E^b$. | 14. ἀφῆσαν $A^b$. | ἐκ κοινῶν $SB^bC^b$. | 15. φασι $E^b$ *as*. | 17. ἄττα] τὰ $A^b$, om Alex. | 18. ἐπειδὴ αἴτια Ascl. | 19. ἁπάντων $A^b$c. | τῶν ὄντων ᾠήθη $A^b$. | 21. γὰρ τὰ κατὰ *Tas*. | 22. εἴδη καὶ τοὺς ἀρ. Ascl. | ἕν] ὂν ὡς *as*. | 23. γέ add $A^bF^b$. | ὂν] τὸ ὂν *ESas*, τὸ ἓν Ascl. | ἓν $A^bE^b$ et Alex, ὂν $F^b$, om *T*: ceteri εἶναι. | 24. ὅλοις *T*, γρ τῆς ὅλης οὐσίας *E*. | 26. τὸ δ'] καὶ τὸ $A^b$*cb*: ceteri et Alex τὸ δ'. | 27. ἔτι] ὅτι $A^b$ Ascl *cb*: ceteri et Alex ἔτι. | 29. 30. τὸν ἀριθμὸν $A^bH^b$c. | 31. πυθαγορικοὶ $F^b$. | 33. τὴν] καὶ τὴν *S*.

988*a* 1. γε συμβαίνει *T*. | 2. οἱ $A^b$ Alex: ceteri et *c* νῦν. | 4. ἓν ὂν *ias*.

Digitized by Google

ὁμοίως δ' ἔχει καὶ τὸ ἄρρεν πρὸς τὸ θῆλυ· τὸ μὲν γὰρ ὑπὸ μιᾶς πληροῦται ὀχείας, τὸ δ' ἄρρεν πολλὰ πληροῖ· καίτοι ταῦτα μιμήματα τῶν ἀρχῶν ἐκείνων ἐστίν. Πλάτων μὲν οὖν περὶ τῶν ζητουμένων οὕτω διώρισεν· φανερὸν δ' ἐκ τῶν εἰρημένων ὅτι δυοῖν αἰτίαιν ἐστὶ μόνον κεχρημένος, τῇ τε τοῦ τί ἐστι καὶ τῇ κατὰ τὴν ὕλην· τὰ γὰρ εἴδη τοῦ τί ἐστιν
22 αἴτια τοῖς ἄλλοις, τοῖς δ' εἴδεσι τὸ ἕν. καὶ τίς ἡ ὕλη ἡ ὑποκειμένη, καθ' ἧς τὰ εἴδη μὲν ἐπὶ τῶν αἰσθητῶν τὸ δ' ἓν ἐν τοῖς εἴδεσι λέγεται, ὅτι αὕτη δυάς ἐστι, τὸ μέγα καὶ τὸ μικρόν. ἔτι δὲ τὴν τοῦ εὖ καὶ τοῦ κακῶς αἰτίαν τοῖς στοιχείοις ἀπέδωκεν ἑκατέροις ἑκατέραν, ὥσπερ φαμὲν καὶ τῶν προτέρων ἐπιζητῆσαί τινας φιλοσόφων, οἷον Ἐμπεδοκλέα καὶ Ἀναξαγόραν.

7 Συντόμως μὲν οὖν καὶ κεφαλαιωδῶς ἐπεληλύθαμεν τίνες τε καὶ πῶς τυγχάνουσιν εἰρηκότες περί τε τῶν ἀρχῶν καὶ τῆς ἀληθείας· ὅμως δὲ τοσοῦτόν γ' ἔχομεν ἐξ αὐτῶν, ὅτι τῶν λεγόντων περὶ ἀρχῆς καὶ αἰτίας οὐθεὶς ἔξω τῶν ἐν τοῖς περὶ φύσεως ἡμῖν διωρισμένων εἴρηκεν, ἀλλὰ πάντες ἀμυδρῶς μὲν ἐκείνων δέ πως φαίνονται θιγγάνοντες. οἱ μὲν γὰρ ὡς ὕλην τὴν ἀρχὴν λέγουσιν, ἄν τε μίαν ἄν τε πλείους ὑποθῶσι, καὶ ἐάν τε σῶμα ἐάν τε ἀσώματον τιθῶσιν, οἷον Πλάτων μὲν τὸ μέγα καὶ τὸ μικρὸν λέγων, οἱ δ' Ἰταλικοὶ τὸ ἄπειρον, Ἐμπεδοκλῆς δὲ πῦρ καὶ γῆν καὶ ὕδωρ καὶ ἀέρα, Ἀναξαγόρας δὲ τὴν τῶν ὁμοιομερῶν ἀπειρίαν. οὗτοί τε δὴ πάντες τῆς τοιαύτης αἰτίας ἡμμένοι εἰσί, καὶ ἔτι ὅσοι ἀέρα ἢ πῦρ ἢ ὕδωρ ἢ πυρὸς μὲν πυκνότερον ἀέρος δὲ λεπτότερον· καὶ γὰρ τοιοῦτόν τινες εἰρήκασιν εἶναι τὸ πρῶτον στοιχεῖον. οὗτοι μὲν οὖν ταύτης τῆς αἰτίας ἥψαντο μόνον, ἕτεροι δέ τινες ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, οἷον ὅσοι φιλίαν

5. post γὰρ add θῆλυ $A^b$cb. | 8. διώριζε $A^b$. | 9. μόνον κέχρηται $A^b$cb, μ. κεχρημένος T: ceteri ἐστὶ μ. κεχρημένος. | 11. τοῖς δ' εἰδόσι τὸ ἓν καὶ τῇ ὕλῃ γρ Alex. | 12. εἴδη μὲν $A^b$ et γρ Alex: ceteri et Alex et c εἴδη τὰ μέν. | 12. 13. τὰ δὲ ἐπὶ τοῖς εἴδεσι Alex, sed τὸ δὲ ἓν ἐν τ. ε. γρ Alex, τὰ δὲ ἐν τ. ε. c. | 13. ὅτι — 14. μικρόν om $A^b$. | 13. δυὰς αὕτη T. | 14. δὲ] τε καὶ $F^b$. | 15. ὥσπερ $A^b$ Alex: ceteri ὅπερ μᾶλλον. | 16. φιλοσόφων $A^b$ Alex i: vulgo φιλοσόφους. | 18. ἐπελελήθαμεν a. | 19. τῶν ἀρχῶν om S. | 20. τοῦτόν S. | γ' om $F^bH^b$. | 22. περὶ τῆς φύσεως $SB^bC^b$. | 24. ἐάν — ἐάν T. | 25. ἀσωμάτους ET, ἀσωμάτως $SC^b$, ἀσώματον τοῦτο $A^b$. | 27. 28. ἀέρα καὶ ὕδωρ $E^b$. | 29. τε] δὲ as. | ἐνημμένοι as. | 32. μόνον om $E^b$. | 33. οἷον om as.

Digitized by Google

καὶ νεῖκος ἢ νοῦν ἢ ἔρωτα ποιοῦσιν ἀρχήν. τὸ δὲ τί ἦν εἶναι καὶ τὴν οὐσίαν σαφῶς μὲν οὐθεὶς ἀποδέδωκε, μάλιστα δ' οἱ τὰ
988*b* εἴδη τιθέντες λέγουσιν· οὔτε γὰρ ὡς ὕλην τοῖς αἰσθητοῖς τὰ
εἴδη καὶ τὸ ἓν τοῖς εἴδεσιν, οὔθ' ὡς ἐντεῦθεν τὴν ἀρχὴν τῆς 23
κινήσεως γιγνομένην ὑπολαμβάνουσιν (ἀκινησίας γὰρ αἴτια μᾶλλον καὶ τοῦ ἐν ἠρεμίᾳ εἶναί φασιν), ἀλλὰ τὸ τί ἦν εἶναι ἑκάστῳ τῶν ἄλλων τὰ εἴδη παρέχονται, τοῖς δ' εἴδεσι τὸ ἕν. τὸ δ' οὗ ἕνεκα αἱ πράξεις καὶ αἱ μεταβολαὶ καὶ αἱ κινήσεις, τρόπον μέν τινα λέγουσιν αἴτιον, οὕτω δὲ οὐ λέγουσιν, οὐδ' ὅνπερ πέφυκεν. οἱ μὲν γὰρ νοῦν λέγοντες ἢ φιλίαν ὡς ἀγαθὸν μέν τι ταύτας τὰς αἰτίας τιθέασιν, οὐ μὴν ὡς ἕνεκά γε τούτων ἢ ὂν ἢ γιγνόμενόν τι τῶν ὄντων, ἀλλ' ὡς ἀπὸ τούτων τὰς κινήσεις οὔσας λέγουσιν. ὡς δ' αὔτως καὶ οἱ τὸ ἓν ἢ τὸ ὂν φάσκοντες εἶναι τὴν τοιαύτην φύσιν, τῆς μὲν οὐσίας αἴτιόν φασιν εἶναι, οὐ μὴν τούτου γε ἕνεκα ἢ εἶναι ἢ γίγνεσθαι. ὥστε λέγειν τε καὶ μὴ λέγειν πως συμβαίνει αὐτοῖς τἀγαθὸν αἴτιον· οὐ γὰρ ἁπλῶς ἀλλὰ κατὰ συμβεβηκὸς λέγουσιν. ὅτι μὲν οὖν ὀρθῶς διώρισται περὶ τῶν αἰτίων, καὶ πόσα καὶ ποῖα, μαρτυρεῖν ἐοίκασιν ἡμῖν καὶ οὗτοι πάντες, οὐ δυνάμενοι θιγεῖν ἄλλης αἰτίας. πρὸς δὲ τούτοις, ὅτι ζητητέαι αἱ ἀρχαὶ ἢ οὕτως ἅπασαι ἢ τινὰ τρόπον τούτων, δῆλον. πῶς δὲ τούτων ἕκαστος εἴρηκε, καὶ πῶς ἔχει περὶ τῶν ἀρχῶν, τὰς ἐνδεχομένας ἀπορίας μετὰ τοῦτο διέλθωμεν περὶ αὐτῶν.

8 Ὅσοι μὲν οὖν ἕν τε τὸ πᾶν καὶ μίαν τινὰ φύσιν ὡς ὕλην τιθέασι, καὶ ταύτην σωματικὴν καὶ μέγεθος ἔχουσαν, δῆλον ὅτι πολλαχῶς ἁμαρτάνουσιν. τῶν γὰρ σωμάτων τὰ στοιχεῖα τιθέασι μόνον, τῶν δ' ἀσωμάτων οὔ, ὄντων καὶ ἀσω-

34. ἢ νοῦν] καὶ νοῦν ESB$^b$C$^b$c. | 35. ἀποδέδωκε ESB$^b$C$^b$F$^b$as, ἀπέδωκε cum ceteris *b*.

988*b* 1. post εἴδη add καὶ τὰ ἐν τοῖς εἴδεσι A$^b$as. | ὕλη A$^b$. | 2. τὸ ἓν de coniect. scripsi: codices Alex iascb τὰ ἐν. | 3. αἴτια E, αἰτία E$^b$, αἰτίαι Alex: ceteri αἰτίαν, T post μᾶλλον. | 8. πέφυκε τρόπον. οἱ E. | ἢ] καὶ A$^b$c. | 9. τι] τοι E$^b$, om A$^b$. | τὰς αἰτίας ταύτας SB$^b$C$^b$. | μὴν] τὴν A$^b$. | 11. οὔσας A$^b$, τούτων εἶναι SB$^b$C$^b$, οὔσας τούτων c: ceteri εἶναι τούτων. | 12. ὂν ἢ τὸ ἓν A$^b$. | 13. οὐσίας μὲν ESB$^b$C$^b$E$^b$c. | φασιν αἴτιον E$^b$. | ἢ ante εἶναι om A$^b$c. | 14. τε om T. | 15. αἴτιον] τοιοῦτον SB$^b$C$^b$i, τοιοῦτον αἴτιον as. | οὐ γὰρ — 16. λέγουσιν om A$^b$. | ἀλλὰ καὶ κατὰ C$^b$. | 15. 16. συμβεβηκὸς εἶναι λέγουσιν rc E$^b$. | 17. πόσαι καὶ ποῖαι E$^b$. | 19. τοῦτον S. | 22. τι H$^b$. | μίαν εἶναί τινα ESTH$^a$B$^b$C$^b$E$^b$ias. | 25. ὄντων καὶ ἀσωμάτων om A$^b$.

Digitized by Google

*ματων. καὶ περὶ γενέσεως [καὶ φθορᾶς] ἐπιχειροῦντες τὰς αἰτίας λέγειν, καὶ περὶ πάντων φυσιολογοῦντες, τὸ τῆς κινήσεως αἴτιον ἀναιροῦσιν. ἔτι δὲ τὸ τὴν οὐσίαν μηθενὸς αἰτίαν* 24 *τιθέναι, μηδὲ τὸ τί ἐστι· καὶ πρὸς τούτοις τὸ ῥᾳδίως τῶν ἁπλῶν σωμάτων λέγειν ἀρχὴν ὁτιοῦν πλὴν γῆς, οὐκ ἐπισκεψάμενοι τὴν ἐξ ἀλλήλων γένεσιν πῶς ποιοῦνται, λέγω δὲ πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ ἀέρα· τὰ μὲν γὰρ συγκρίσει, τὰ δὲ διακρίσει ἐξ ἀλλήλων γίγνεται. τοῦτο δὲ πρὸς τὸ πρότερον εἶναι καὶ ὕστερον διαφέρει πλεῖστον· τῇ μὲν γὰρ ἂν δόξειε στοιχειωδέστατον εἶναι πάντων ἐξ οὗ γίγνονται συγκρίσει πρώτου, τοιοῦτον δὲ τὸ μικρομερέστατον καὶ λεπτότατον ἂν* 989*a* *εἴη τῶν σωμάτων. διόπερ ὅσοι πῦρ ἀρχὴν τιθέασι, μάλιστα ὁμολογουμένως ἂν τῷ λόγῳ τούτῳ λέγοιεν. τοιοῦτον δὲ καὶ τῶν ἄλλων ἕκαστος ὁμολογεῖ τὸ στοιχεῖον εἶναι τὸ τῶν σωμάτων. οὐθεὶς γοῦν τῶν ὕστερον ἠξίωσε καὶ ἓν λεγόντων γῆν εἶναι στοιχεῖον, δηλονότι διὰ τὴν μεγαλομέρειαν, τῶν δὲ τριῶν στοιχείων ἕκαστον εἴληφε κριτήν τινα· οἱ μὲν γὰρ πῦρ, οἱ δ' ὕδωρ, οἱ δ' ἀέρα τοῦτ' εἶναί φασιν· καίτοι διὰ τί ποτ' οὐ καὶ τὴν γῆν λέγουσιν, ὥσπερ οἱ πολλοὶ τῶν ἀνθρώπων; πάντα γὰρ εἶναί φασι γῆν. φησὶ δὲ καὶ Ἡσίοδος τὴν γῆν πρώτην γενέσθαι τῶν σωμάτων· οὕτως ἀρχαίαν καὶ δημοτικὴν συμβέβηκεν εἶναι τὴν ὑπόληψιν. κατὰ μὲν οὖν τοῦτον τὸν λόγον οὔτ' εἴ τις τούτων τι λέγει πλὴν πυρός, οὔτ' εἴ τις ἀέρος μὲν πυκνότερον τοῦτο τίθησιν ὕδατος δὲ λεπτότερον, οὐκ ὀρθῶς ἂν λέγοι. εἰ δ' ἐστὶ τὸ τῇ γενέσει ὕστερον τῇ φύσει πρότερον, τὸ δὲ πεπεμμένον καὶ συγκε-*

26. *καὶ φθορᾶς* omittendum ex auctoritate Alex p. 49, 8. | 27. *λέγουσι* ***as***. | *ἁπάντων* $A^b$*c*. | 28. *ἀναιροῦσιν*] *παρέλιπον* fort. Alex. | 29. post *ἐστι* colon ***s***, comma ***cb***. | 30. *λέγειν*] *εἶναι* $E^b$***ias***. | post *γῆς* add *μὴ δοξάζοντες γένεσιν ἐκ στοιχείων ἢ μεταβολήν* ***as***. | 32. *καὶ* post *πῦρ* om $B^b$. | *γῆν καὶ ὕδωρ* $A^b$. | 34. *τῇ* $A^b$, *πῇ* *E*, *γῇ* $SB^bC^b$, *πῦρ* $TE^b$: vulgo deest, ***id etenim i***, *E* mg *γρ τί μὲν καὶ νῦν μέν, ἔστιν ὅτε καὶ τῇ μέν*. | 35. post *πάντων* add *γῇ* ***as***. | *γίγνεται* ***as***.

989*a* 4. *ἕκαστον ὡμολογεῖτο* $A^b$. | *τὸ* ante *τῶν* om $A^b$. | 5. *γὰρ* $B^bE^b$. | *τῶν ὕστερον ἠξίωσε καὶ*] *ἠξίωσε τῶν* $A^b$. | 7. *ἕκαστον στοιχείων* $ETA^bC^b$***as***, *ἕκαστον στοιχεῖον* $SB^bE^b$. | *τινα κρ.* $A^b$. | *γὰρ τὸ πῦρ* $E^b$. | 8. *καὶ*] *δὲ* $A^b$. | 10. *φασι τὴν γῆν* $TB^bE^b$***as***. | 11. *γεγενῆσθαι* $A^b$. | 12. *συμβέβηκεν εἶναι*] *εἶχε* $A^b$. | 13. *τι* post *λέγει* $A^b$*c*, om $E^b$. | 15. *λέγει* ***a***. | 16. *πρότερον τῇ φύσει ὕστερον* $A^bF^bH^b$, *ὕστερον πρότερον τ. φ.* *c*. | *πεπεμένον* *T*, *συμπεπεμμένον* ***as***.

Digitized by Google

κριμένον ὕστερον τῇ γενέσει, τοὐναντίον ἂν εἴη τούτων, ὕδωρ μὲν ἀέρος πρότερον, γῆ δὲ ὕδατος. περὶ μὲν οὖν τῶν μίαν 25 τιθεμένων αἰτίαν οἵαν εἴπομεν, ἔστω ταῦτ' εἰρημένα· τὸ δ' αὐτὸ κἂν εἴ τις ταῦτα πλείω τίθησιν, οἷον Ἐμπεδοκλῆς τέτταρά φησιν εἶναι σώματα τὴν ὕλην. καὶ γὰρ τούτῳ τὰ μὲν ταὐτὰ τὰ δ' ἴδια συμβαίνειν ἀνάγκη. γιγνόμενά τε γὰρ ἐξ ἀλλήλων ὁρῶμεν ὡς οὐκ ἀεὶ διαμένοντος πυρὸς καὶ γῆς τοῦ αὐτοῦ σώματος (εἴρηται δὲ ἐν τοῖς περὶ φύσεως περὶ αὐτῶν)· καὶ περὶ τῆς τῶν κινουμένων αἰτίας, πότερον ἓν ἢ δύο θετέον, οὔτ' ὀρθῶς οὔτε εὐλόγως οἰητέον εἰρῆσθαι παντελῶς. ὅλως τε ἀλλοίωσιν ἀναιρεῖσθαι ἀνάγκη τοῖς οὕτω λέγουσιν· οὐ γὰρ ἐκ θερμοῦ ψυχρὸν οὐδὲ ἐκ ψυχροῦ θερμὸν ἔσται. τὶ γὰρ ἂν αὐτὰ πάσχοι τἀναντία, καὶ τὶς ἂν εἴη μία φύσις ἡ γιγνομένη πῦρ καὶ ὕδωρ, ὃ ἐκεῖνος οὔ φησιν. Ἀναξαγόραν δ' εἴ τις ὑπολάβοι δύο λέγειν στοιχεῖα, μάλιστ' ἂν ὑπολάβοι κατὰ λόγον, ὃν ἐκεῖνος αὐτὸς μὲν οὐ διήρθρωσεν, ἠκολούθησε μέντ' ἂν ἐξ ἀνάγκης τοῖς ἐπάγουσιν αὐτόν. ἀτόπου γὰρ ὄντος καὶ ἄλλως τοῦ φάσκειν μεμῖχθαι τὴν ἀρχὴν πάντα, καὶ διὰ
989*b* τὸ συμβαίνειν ἄμικτα δεῖν προϋπάρχειν, καὶ διὰ τὸ μὴ πεφυκέναι τῷ τυχόντι μίγνυσθαι τὸ τυχόν, πρὸς δὲ τούτοις ὅτι τὰ πάθη καὶ τὰ συμβεβηκότα χωρίζοιτ' ἂν τῶν οὐσιῶν (τῶν γὰρ αὐτῶν μῖξίς ἐστι καὶ χωρισμός), ὅμως εἴ τις ἀκολουθήσειε συνδιαρθρῶν ἃ βούλεται λέγειν, ἴσως ἂν φανείη καινοπρεπεστέρως λέγων. ὅτε γὰρ οὐθὲν ἦν ἀποκεκριμένον, δῆλον ὡς οὐθὲν ἦν ἀληθὲς εἰπεῖν κατὰ τῆς οὐσίας ἐκείνης, λέγω δ' οἷον ὅτι οὔτε λευκὸν οὔτε μέλαν ἢ φαιὸν ἢ ἄλλο χρῶμα, ἀλλ' ἄχρων ἦν ἐξ ἀνάγκης· εἶχε γὰρ ἄν τι τούτων τῶν χρωμάτων. ὁμοίως δὲ καὶ ἄχυμον τῷ αὐτῷ λόγῳ 26 τούτῳ, οὐδὲ ἄλλο τῶν ὁμοίων οὐθέν· οὔτε γὰρ ποιόν τι οἷόν

20. κἂν εἴ] καὶ εἴ Alex. | πλείω ταῦτα *S*. | 24. δὲ] δὲ καὶ *as*. | 25. κινούντων $A^b$*ias*: ceteri κινουμένων. | 26. οὔτ'] ὃ οὔτ' $A^b$*s*. | ἀλόγως *ST* $B^bC^bE^b$ et pr *E* Ascl γρ Alex γρ $A^b$*iasc*. | ὅλως — 30. φησιν om $A^b$, nec interpretatur Alex, sed habet Ascl. | 28. ἐστι *ST*$B^b$*as*. | τὶ et 29. τὶς Ascl: τί et τίς *ascb*. | αὐτὰ ἂν *ETE*$^b$*asc*. | 29. εἴη ἂν *ES*$B^bC^b$ *asc*. | 31. ὑπολαμβάνει $F^b$. | 32. οὐ] οὐ σαφῶς $A^b$*c*. | διήρθρωκεν *Tas*. | 33. ἐπάγουσιν $A^b$*i* et fort. Alex: ceteri λέγουσιν. | αὐτόν] *eam i*.

989*b* 3. χωρίζοιντ' *as*. | 6. ἀποκεκρυμμένον *S*. | 7. ἐκείνοις $C^b$*as*. | 8. οἷον add $A^b$. | 8. 9. ἢ ἄλλο χρῶμα om $A^b$. | 9. ἄχροον *ST*$B^bC^b$, ἄχρωον $E^b$, ἀχρώματον $A^b$*asc*. | ἦν om $A^b$. | 9. 10. τῶν χρωμάτων τούτων $A^b$. | 10. ἄχυμον τῷ] ἄχυμον, καὶ τῷ $A^b$*cb*. | 11. τοῦτο *T*. | ἄλλο] ἄλλο τι $A^b$*cb*, om *T*.

Digitized by Google

*τε αὐτὸ εἶναι οὔτε ποσὸν οὔτε τί. τῶν γὰρ ἐν μέρει τι λεγομένων εἰδῶν ὑπῆρχεν ἂν αὐτῷ, τοῦτο δὲ ἀδύνατον μεμιγμένων γε πάντων· ἤδη γὰρ ἂν ἀπεκέκριτο, φησὶ δ' εἶναι μεμιγμένα πάντα πλὴν τοῦ νοῦ, τοῦτον δὲ ἀμιγῆ μόνον καὶ καθαρόν. ἐκ δὴ τούτων συμβαίνει λέγειν αὐτῷ τὰς ἀρχὰς τό τε ἕν (τοῦτο γὰρ ἁπλοῦν καὶ ἀμιγές) καὶ θάτερον, οἷον τίθεμεν τὸ ἀόριστον πρὶν ὁρισθῆναι καὶ μετασχεῖν εἴδους τινός. ὥστε λέγεται μὲν οὔτ' ὀρθῶς οὔτε σαφῶς, βούλεται μέντοι τι παραπλήσιον τοῖς τε ὕστερον λέγουσι καὶ τοῖς φαινομένοις μᾶλλον. ἀλλὰ γὰρ οὗτοι μὲν τοῖς περὶ γένεσιν λόγοις καὶ φθορὰν καὶ κίνησιν οἰκεῖοι τυγχάνουσι μόνον· σχεδὸν γὰρ περὶ τῆς τοιαύτης οὐσίας καὶ τὰς ἀρχὰς καὶ τὰς αἰτίας ζητοῦσι μόνον. ὅσοι δὲ περὶ μὲν ἁπάντων τῶν ὄντων ποιοῦνται τὴν θεωρίαν, τῶν δ' ὄντων τὰ μὲν αἰσθητὰ τὰ δ' οὐκ αἰσθητὰ τιθέασι, δῆλον ὡς περὶ ἀμφοτέρων τῶν γενῶν ποιοῦνται τὴν ἐπίσκεψιν· διὸ μᾶλλον ἄν τις ἐνδιατρίψειε περὶ αὐτῶν, τί καλῶς ἢ μὴ καλῶς λέγουσιν εἰς τὴν τῶν νῦν ἡμῖν προκειμένων σκέψιν. οἱ μὲν οὖν καλούμενοι Πυθαγόρειοι ταῖς μὲν ἀρχαῖς καὶ τοῖς στοιχείοις ἐκτοπωτέροις χρῶνται τῶν φυσιολόγων. τὸ δ' αἴτιον ὅτι παρέλαβον αὐτὰς οὐκ ἐξ αἰσθητῶν· τὰ γὰρ μαθηματικὰ τῶν ὄντων ἄνευ κινήσεώς ἐστιν, ἔξω τῶν περὶ τὴν ἀστρολογίαν. διαλέγονται μέντοι καὶ πραγματεύονται περὶ φύσεως πάντα· γεννῶσί τε γὰρ τὸν οὐρανόν, καὶ περὶ τὰ τούτου μέρη καὶ τὰ πάθη καὶ τὰ ἔργα διατη-* 990*a*
27 *ροῦσι τὸ συμβαῖνον, καὶ τὰς ἀρχὰς καὶ τὰ αἴτια εἰς ταῦτα καταναλίσκουσιν, ὡς ὁμολογοῦντες τοῖς ἄλλοις φυσιολόγοις ὅτι τό γε ὂν τοῦτ' ἐστὶν ὅσον αἰσθητόν ἐστι καὶ περιείληφεν ὁ καλούμενος οὐρανός. τὰς δ' αἰτίας καὶ τὰς ἀρχάς, ὥσπερ εἴπομεν, ἱκανὰς λέγουσιν ἐπαναβῆναι καὶ ἐπὶ τὰ ἀνωτέρω τῶν ὄντων, καὶ μᾶλλον ἢ τοῖς περὶ φύσεως λόγοις ἁρμοττούσας. ἐκ τίνος μέντοι τρόπου κίνησις ἔσται πέρατος καὶ*

12. *γὰρ*] *δὲ* $E^b$. | 12. 13. *τι λεγομένων* om *T*. | 13. *αὐτό* $E^b$. | *τούτω* $C^b$. | 16. *δή*] *δὲ* $H^b$, *μὲν δὴ* $F^b$. | 17. *θάτερον, καθάπερ ὄν, οἷον* $ESB^bC^b$*ias*. | 20. *τι* om $F^b$. | 20. 21. *τοῖς φαινομένοις* Alex *c*: ceteri et *b* *τοῖς νῦν φαινομένοις*. | 22. *καὶ* ante *κίνησιν* om $F^b$. | 23. *τῆς*] *τε* $E^b$, *τε τῆς* $TC^b$*as*. | 24. *μόνης* $A^b$. | *ποιοῦσι* *ESTasc*. | 28. *νῦν* om *i*. | 30. *ἐκτοπωτέροις* scripsi secutus Alex p. 53, 24: codd. et editt. *ἐκτοπωτέρως*. | 30. 31. *τὴν φυσιολογίαν* $E^b$. | 34. *πάντα περὶ φύσεως* $A^b$*c*. | *τε* om *T*.

990*a* 1. *τὰ* ante *ἔργα* om $A^b$. | 6. *ἱκανὰς ὡς λέγουσι καὶ ἐπ.* $SC^b$*ias*. | *ἀνώτερα* *T*.

Digitized by Google

*ἀπείρου μόνου ὑποκειμένων καὶ περιττοῦ καὶ ἀρτίου, οὐθὲν λέγουσιν, ἢ πῶς δυνατὸν ἄνευ κινήσεως καὶ μεταβολῆς γένεσιν εἶναι καὶ φθορὰν ἢ τὰ τῶν φερομένων ἔργα κατὰ τὸν οὐρανόν. ἔτι δὲ εἴτε δοίη τις αὐτοῖς ἐκ τούτων εἶναι τὸ μέγεθος εἴτε δειχθείη τοῦτο, ὅμως τίνα τρόπον ἔσαι τὰ μὲν κοῦφα τὰ δὲ βάρος ἔχοντα τῶν σωμάτων; ἐξ ὧν γὰρ ὑποτίθενται καὶ λέγουσιν, οὐθὲν μᾶλλον περὶ τῶν μαθηματικῶν λέγουσι σωμάτων ἢ περὶ τῶν αἰσθητῶν· διὸ περὶ πυρὸς ἢ γῆς ἢ τῶν ἄλλων τῶν τοιούτων σωμάτων οὐδ' ὁτιοῦν εἰρήκασιν, ἅτε οὐθὲν περὶ τῶν αἰσθητῶν οἶμαι λέγοντες ἴδιον. ἔτι δὲ πῶς δεῖ λαβεῖν αἴτια μὲν εἶναι τὰ τοῦ ἀριθμοῦ πάθη καὶ τὸν ἀριθμὸν τῶν κατὰ τὸν οὐρανὸν ὄντων καὶ γιγνομένων καὶ ἐξ ἀρχῆς καὶ νῦν, ἀριθμὸν δ' ἄλλον μηθένα εἶναι παρὰ τὸν ἀριθμὸν τοῦτον ἐξ οὗ συνέσηκεν ὁ κόσμος; ὅταν γὰρ ἐν τῳδὶ μὲν τῷ μέρει δόξα καὶ καιρὸς αὐτοῖς ᾖ, μικρὸν δὲ ἄνωθεν ἢ κάτωθεν ἀδικία καὶ κρίσις ἢ μῖξις, ἀπόδειξιν δὲ λέγωσιν ὅτι τούτων μὲν ἓν ἕκαστον ἀριθμός ἐσι, συμβαίνει δὲ κατὰ τὸν τόπον τοῦτον ἤδη πλῆθος εἶναι τῶν συνισαμένων μεγεθῶν διὰ τὸ τὰ πάθη ταῦτα ἀκολουθεῖν τοῖς τόποις ἑκάσοις, πότερον οὗτος ὁ αὐτός ἐστιν ἀριθμὸς ὁ ἐν τῷ οὐρανῷ, ὃν δεῖ λαβεῖν ὅτι τούτων ἕκασόν ἐσιν, ἢ παρὰ τοῦτον ἄλλος; ὁ μὲν γὰρ* 28 *Πλάτων ἕτερον εἶναί φησιν· καίτοι κἀκεῖνος ἀριθμοὺς οἴεται καὶ ταῦτα εἶναι καὶ τὰς τούτων αἰτίας, ἀλλὰ τοὺς μὲν νοητοὺς αἰτίους, τούτους δὲ αἰσθητούς.*

9 *Περὶ μὲν οὖν τῶν Πυθαγορείων ἀφείσθω τὰ νῦν· ἱκανὸν γὰρ αὐτῶν ἅψασθαι τοσοῦτον. οἱ δὲ τὰς ἰδέας αἰτίας*
990*b* *τιθέμενοι πρῶτον μὲν ζητοῦντες τωνδὶ τῶν ὄντων λαβεῖν τὰς*

9. *μόνων* ***E***. | 12. *εἴτι* ***ST***. | *δοίη* ***A**^b**as***. | *τὸ* add ***A**^b* et fort. Alex p. 54, 23: fort. omittendum. | 13. *εἶτα* ***S***. | *ὁμοίως* ***SB**^b**C**^b**E**^b*. | 15. 16. *μαθηματικῶν* et *αἰσθητῶν* transponenda inter se esse censet Cas. | 16. *περὶ* post *ἢ* om ***A**^b**c***. | 17. *σωμάτων* om ***c***. | 18. *δὲ*] *καὶ* ***F**^b*. | 19. *εἶναι* om ***T***. | 20. *τῶν οὐρανῶν* ***SE**^b*. | 23. *ᾖ αὐτοῖς* ***T***. | 24. *ἀνικία* ***E**^b**H**^b* Ascl *γρ* Alex *γρ* sch ***A**^b*. | *διάκρισις* ***ESTB**^b**C**^b**as***. | 25. *μὲν* om ***A**^b*. | *ἓν* om ***ST***. | 25. 26. *τὸν τρόπον τοῦτον* ***STs***, *τοῦτον τὸν τόπον* ***A**^b*, *τὸν τόπον τοῦτον* Alex, *τοῦτον ἤδη τὸν τόπον* ***c***. | 27. *πότερον*] *πότερον δὲ* ***A**^b*, *πότερον οὖν* ***E**^b**as***. | 28. *ὁ αὐτὸς* post *ἐστιν* ***B**^b**C**^b*, om ***E**^b*. | *ἀριθμός ἐστιν* ***A**^b**c***. | 33. *περὶ μὲν οὖν*] *καὶ περὶ μὲν* fort. Alex. | *πυθαγορικῶν* Alex. | *τὸ νῦν* ***ESTB**^b**C**^b**as***. | 34. *τοσοῦτον*] *μόνον* fort. Alex. | *αἰτίας* om ***ESB**^b**C**^b* ***E**^b**H**^b**i***, sed habet Alex.

990*b* 1. *τῶν διὰ τῶν* ***S***.

Digitized by Google

*αἰτίας ἕτερα τούτοις ἴσα τὸν ἀριθμὸν ἐκόμισαν, ὥσπερ εἴ τις ἀριθμῆσαι βουλόμενος ἐλαττόνων μὲν ὄντων οἴοιτο μὴ δυνήσεσθαι, πλείω δὲ ποιήσας ἀριθμοίη· σχεδὸν γὰρ ἴσα ἢ οὐκ ἐλάττω τὰ εἴδη ἐστὶ τούτων περὶ ὧν ζητοῦντες τὰς αἰτίας ἐκ τούτων ἐπ' ἐκεῖνα προῆλθον· καθ' ἕκαστον γὰρ ὁμώνυμόν τί ἐστι, καὶ παρὰ τὰς οὐσίας τῶν τε ἄλλων ὧν ἐστὶν ἓν ἐπὶ πολλῶν, καὶ ἐπὶ τοῖσδε καὶ ἐπὶ τοῖς ἀϊδίοις. ἔτι καθ' οὓς τρόπους δείκνυμεν ὅτι ἔστι τὰ εἴδη, κατ' οὐθένα φαίνεται τούτων· ἐξ ἐνίων μὲν γὰρ οὐκ ἀνάγκη γίγεσθαι συλλογισμόν, ἐξ ἐνίων δὲ καὶ οὐχ ὧν οἰόμεθα τούτων εἴδη γίγνεται. κατά τε γὰρ τοὺς λόγους τοὺς ἐκ τῶν ἐπιστημῶν εἴδη ἔσται πάντων ὅσων ἐπιστῆμαί εἰσι, καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν καὶ τῶν ἀποφάσεων, κατὰ δὲ τὸ νοεῖν τι φθαρέντος τῶν φθαρτῶν· φάντασμα γάρ τι τούτων ἐστίν. ἔτι δὲ οἱ ἀκριβέστεροι τῶν λόγων οἱ μὲν τῶν πρός τι ποιοῦσιν ἰδέας, ὧν οὔ φαμεν εἶναι καθ' αὑτὸ γένος, οἱ δὲ τὸν τρίτον ἄνθρωπον λέγουσιν. ὅλως τε ἀναιροῦσιν οἱ περὶ τῶν εἰδῶν λόγοι ἃ μᾶλλον εἶναι βούλονται οἱ λέγοντες εἴδη τοῦ τὰς ἰδέας εἶναι· συμβαίνει γὰρ μὴ εἶναι τὴν δυάδα πρώτην ἀλλὰ τὸν ἀριθμόν, καὶ τὸ πρός τι τοῦ καθ' αὑτό, καὶ πάνθ' ὅσα τινὲς ἀκολουθήσαντες ταῖς περὶ*
29 *τῶν ἰδεῶν δόξαις ἠναντιώθησαν ταῖς ἀρχαῖς. ἔτι δὲ κατὰ μὲν τὴν ὑπόληψιν καθ' ἥν εἶναί φαμεν τὰς ἰδέας, οὐ μόνον τῶν οὐσιῶν ἔσται εἴδη ἀλλὰ πολλῶν καὶ ἑτέρων (καὶ γὰρ τὸ νόημα ἓν οὐ μόνον περὶ τὰς οὐσίας ἀλλὰ καὶ κατὰ τῶν ἄλλων ἐστί, καὶ ἐπιστῆμαι οὐ μόνον τῆς οὐσίας εἰσὶν ἀλλὰ καὶ ἑτέρων, καὶ ἄλλα δὲ μυρία συμβαίνει τοιαῦτα)· κατὰ δὲ τὸ ἀναγκαῖον καὶ τὰς δόξας τὰς περὶ αὐτῶν, εἰ ἔστι μεθεκτὰ τὰ εἴδη, τῶν οὐσιῶν ἀναγκαῖον ἰδέας εἶναι μόνον· οὐ*

5. *ἐστὶ τὰ εἴδη* $A^b$c. | *τούτοις* $A^b$ et fort. Ascl. | 6. *ἐπ'* om $A^b$. | 7. *τε* om $A^b$, fort. recte. | 7. *ὧν* $A^b$ Alex, *ἃ* Alex et *E* mg: ceteri et fort. Alex p. 70, 18 om. | 7. 8. *ἐπὶ πολλῶν ἓν* $ESTB^bC^bE^b$*as*. | 8. *καθ'*] *δὲ καθ'* $SB^bC^b$, *δὲ καὶ καθ'* $ETE^b$ *asc*. | 8. 9. *τρόπους δείκνυται* $A^b$*ias*, *δείκνυμεν τρόπους* $SB^b C^b$. | 9. *ὅτι ἔστι* om Alex, *ἔστι* om $TC^bE^b$. | 11. *εἴδη*] *ἤδη* sch $A^b$. | *τε*] *γε* $A^b$. | 12. *ἐκ* et 14. *τι* om $A^b$. | 14. *φθαρέντος*] *φθαρέντων* $STB^bC^bE^bH^b$*as*. | 15. *τοῦτ'* $TB^b$*as*. | *οἱ* om $E^b$. | *ἀκριβέστατοι* $ESB^bC^bE^b$ sch $A^b$*as*. | 16. *φασιν* $E^b$*as*. | 16. 17. *γένος καθ' αὑτό as*. | 18. *ἰδεῶν* $F^b$. | *βουλόμεθα* $ESTB^b C^bE^b$. | 21. *τοῦ*] *τῶν* $A^b$. | 22. *εἰδῶν* $ESTB^bC^bE^b$*as*. | *δὲ* om $A^bF^b$. | 23. *μὲν* om $E^b$. | 24. *ἔσονται* $A^bE^b$. | 25. *τῶν οὐσιῶν* $SB^bC^b$. | *κατὰ* om $SB^bC^b$. | 25. 26. post *ἄλλων* add *οὐσιῶν as*. | 26. *καὶ αἱ ἐπ.* $TA^b$. | 29. *τὰ* add $STA^b$ et Alex. | *μόνον*] fort. *μόνων* scribendum ex Alex p. 65, 26. 66, 2, 26. 69, 3.

Digitized by Google

γὰρ κατὰ συμβεβηκὸς μετέχονται, ἀλλὰ δεῖ ταύτῃ ἑκάστου μετέχειν, ᾗ μὴ καθ' ὑποκειμένου λέγεται. λέγω δ' οἷον, εἴ τι αὐτοδιπλασίου μετέχει, τοῦτο καὶ ἀϊδίου μετέχει, ἀλλὰ κατὰ συμβεβηκός· συμβέβηκε γὰρ τῷ διπλασίῳ ἀϊδίῳ εἶναι. ὥστ' ἔσται οὐσία τὰ εἴδη· ταὐτὰ γὰρ ἐνταῦθά τε 991a οὐσίαν σημαίνει κἀκεῖ· ἢ τί ἔσται τὸ εἶναι φάναι τι παρὰ ταῦτα, τὸ ἓν ἐπὶ πολλῶν; καὶ εἰ μὲν ταὐτὸ εἶδος τῶν ἰδεῶν καὶ τῶν μετεχόντων, ἔσται τι κοινόν· τί γὰρ μᾶλλον ἐπὶ τῶν φθαρτῶν δυάδων καὶ τῶν πολλῶν μὲν ἀϊδίων δὲ τὸ δυὰς εἶναι ἓν καὶ ταὐτόν, ἢ ἐπί τ' αὐτῆς καὶ τῆς τινός; εἰ δὲ μὴ τὸ αὐτὸ εἶδος, ὁμώνυμα ἂν εἴη, καὶ ὅμοιον ὥσπερ ἂν εἴ τις καλοίη ἄνθρωπον τόν τε Καλλίαν καὶ τὸ ξύλον, μηδεμίαν κοινωνίαν ἐπιβλέψας αὐτῶν. πάντων δὲ μάλιστα διαπορήσειεν ἄν τις, τί ποτε συμβάλλεται τὰ εἴδη ἢ τοῖς ἀϊδίοις τῶν αἰσθητῶν ἢ τοῖς γιγνομένοις καὶ φθειρομένοις· οὔτε γὰρ κινήσεως οὔτε μεταβολῆς οὐδεμιᾶς ἐστὶν αἴτια αὐτοῖς. ἀλλὰ μὴν οὔτε πρὸς τὴν ἐπιστήμην οὐθὲν βοηθεῖ τὴν τῶν ἄλλων (οὐδὲ γὰρ οὐσία ἐκεῖνα τούτων· ἐν τούτοις γὰρ ἂν ἦν), οὔτε εἰς τὸ εἶναι, μὴ ἐνυπάρχοντά γε τοῖς μετέχουσιν· οὕτω μὲν γὰρ ἂν ἴσως αἴτια δόξειεν εἶναι ὡς τὸ λευκὸν μεμιγμένον τῷ λευκῷ. ἀλλ' οὗτος μὲν ὁ λόγος λίαν εὐκίνητος, ὃν Ἀναξαγόρας μὲν πρῶτος Εὔδοξος δ' ὕστερον καὶ ἄλλοι τινὲς ἔλεγον· ῥᾴδιον γὰρ συναγαγεῖν πολλὰ καὶ ἀδύνατα πρὸς

30. 31. ἀλλὰ δεῖ ταύτῃ ἑκάστου μετέχειν, ᾗ καθ' ὑποκειμένου λέγεται γρ Alex p. 66, 31, cf. not. ad h. l. | δὴ $E^b$. | ἕκαστον $H^b$. | 31. εἰ $H^b$ et rc $B^bC^b$. | 32. αὐτοῦ τοῦ διπλασίου $STB^bC^b$*as*. | 33. συμβέβηκε — 34. εἶναι om $A^b$. | 34. οὐσία] scribendum arbitror οὐσιῶν vel οὐσίας, secutus Alexandri interpretationem p. 66, 9 — 30. 69, 3, non eiusdem lemma p. 67, 5. | ταὐτὰ Alex cf. p. 67, 6. not., ceteri ταῦτα. | γὰρ ἐνταῦθά τε $F^b$ et fort. Alex, cf. p. 66, 27. 67, 7, 19: δὲ ἐνταῦθα cum ceteris *cb*.

991a 1. τί] ἔτι $H^b$ Ascl. | τῷ *s*. | 2. τὸ om Ascl. | 3. τί] οὔτι *as*. | μᾶλλον om *S*. | 4. καὶ δυάδων τῶν π. $A^b$. | τῶν πολλῶν] τῶν δυάδων τῶν πολλῶν Alex et *M* praeter $G^b$, δυάδων τῶν π. $TA^bE^b$*as*. | 5. εἶναι om *T* $EE^b$ et *M*. | ἐπί τ' αὐτῆς de coniect. scripsi secutus Alex p. 69, 15, ἐπὶ ταύτης $F^b$*iascb*, ἐπ' αὐτῆς *M*. | 6. ὁμωνυμία $SB^bC^bE^b$. | 7. καλοῖ $E^b$: ceteri et Alex καλοίη. | 8. μηδ. δὲ κ. $B^bC^b$*a*. | 9. ἂν om $A^b$. | ποτε om *T*. | εἴδη ἢ $F^bM$ et Alex, εἴδη *iascb*. | 10. καὶ τοῖς φθ. $ESTB^bC^bE^bM$ (praeter $G^bI^b$) *as*, sed τοῖς om Alex. | 12. οὔτε *scb* et Alex p. 71, 7, οὐδὲ codices. | 13. οὐδὲ γὰρ *sb*, οὔτε γὰρ codices. | οὐσίαν ἐκεῖνα $C^b$, ἐκεῖνα οὐσία $E^b$. | 14. γε om $ESTB^bC^b$. | μὲν om $E^b$. | 15. αἴτιον *T*. | ὡς om *ET*. | 17. πρότερος — ὕστερος *M*. | ὕστερον] δεύτερος $H^b$. | 18. ἔλεγον om $SB^bC^b$, ἔλεγε καὶ ἕτεροί τινες *M*.

Digitized by Google

τὴν τοιαύτην δόξαν. ἀλλὰ μὴν οὐδ' ἐκ τῶν εἰδῶν ἔστι τἆλλα κατ' οὐθένα τρόπον τῶν εἰωθότων λέγεσθαι. τὸ δὲ λέγειν παραδείγματα αὐτὰ εἶναι καὶ μετέχειν αὐτῶν τἆλλα κενολογεῖν ἐστὶ καὶ μεταφορὰς λέγειν ποιητικάς. τί γάρ ἐστι τὸ ἐργαζόμενον πρὸς τὰς ἰδέας ἀποβλέπον; ἐνδέχεται γὰρ καὶ εἶναι καὶ γίγνεσθαι ὅμοιον ὁτιοῦν καὶ μὴ εἰκαζόμενον πρὸς ἐκεῖνο, ὥστε καὶ ὄντος Σωκράτους καὶ μὴ ὄντος γένοιτ' ἂν οἷόσπερ Σωκράτης· ὁμοίως δὲ δῆλον ὅτι κἂν εἰ ἦν ὁ Σωκράτης ἀΐδιος. ἔσται τε πλείω παραδείγματα τοῦ αὐτοῦ, ὥστε καὶ εἴδη, οἷον τοῦ ἀνθρώπου τὸ ζῷον καὶ τὸ δίπουν, ἅμα δὲ καὶ τὸ αὐτοάνθρωπος. ἔτι οὐ μόνον τῶν αἰσθητῶν παραδείγματα τὰ εἴδη, ἀλλὰ καὶ αὐτῶν [τῶν ἰδεῶν], οἷον τὸ γένος, ὡς γένος εἰδῶν· ὥστε τὸ αὐτὸ ἔσται παράδειγμα καὶ
εἰκών. ἔτι δόξειεν ἂν ἀδύνατον εἶναι χωρὶς τὴν οὐσίαν καὶ οὗ 991*b*
ἡ οὐσία· ὥστε πῶς ἂν αἱ ἰδέαι οὐσίαι τῶν πραγμάτων οὖσαι χωρὶς εἶεν; ἐν δὲ τῷ Φαίδωνι οὕτως λέγεται, ὡς καὶ τοῦ εἶναι καὶ τοῦ γίγνεσθαι αἴτια τὰ εἴδη ἐστίν. καίτοι τῶν εἰδῶν ὄντων ὅμως οὐ γίγνεται τὰ μετέχοντα, ἂν μὴ ᾖ τὸ κινῆσον, καὶ πολλὰ γίγνεται ἕτερα, οἷον οἰκία καὶ δακτύλιος, ὧν οὔ φαμεν εἴδη εἶναι· ὥστε δῆλον ὅτι ἐνδέχεται καὶ τἆλλα καὶ εἶναι καὶ γίγνεσθαι διὰ τοιαύτας αἰτίας οἵας καὶ τὰ ῥηθέντα νῦν. ἔτι εἴπερ εἰσὶν ἀριθμοὶ τὰ εἴδη, πῶς αἴτιοι ἔσον-
31 ται; πότερον ὅτι ἕτεροι ἀριθμοί εἰσι τὰ ὄντα, οἷον ὁδὶ μὲν ἀριθμὸς ἄνθρωπος, ὁδὶ δὲ Σωκράτης, ὁδὶ δὲ Καλλίας; τί οὖν ἐκεῖνοι τούτοις αἴτιοί εἰσιν; οὐδὲ γὰρ εἰ οἱ μὲν ἀΐδιοι οἱ δὲ μή, οὐθὲν διοίσει. εἰ δ' ὅτι λόγοι ἀριθμῶν τἀνταῦθα, οἷον ἡ

19. ἰδεῶν $F^b$. | 21. αὐτὰ] ταῦτα $H^b$, τε $A^b$, om $F^b$. | τἆλλα om $F^b$. | 23. ἀποβλέπον πρὸς τὰς ἰδέας $H^b$, πρὸς τὰς ἰδίας ἀποβλέπειν *T*. | γὰρ] τε $A^b b$, δὲ $F^b c$: ceteri et Alex γάρ. | 24. ὁτιοῦν ante ὅμοιον $H^b$, om $F^b$. | 25. γίγνοιτ' $ESB^bC^bc$. | 26. περ om $A^b$. | ante ὁμοίως punctum *cb*. | εἰ om $E^b$. | 27. post ἀΐδιος comma *cb*. | ἔσται τε — *b* 1. εἰκών in nonnullis exemplaribus omissa esse testatur Alex. | τε om $H^b$. | 28. τοῦ ἀνθρώπου] τὸ ἄνθρωπος *as*. | καὶ om *as*. | 29. τοῦ $A^b$, ὁ $H^b$. | αὐτοανθρώπου $A^b$. | ἔτι δὲ οὐ $H^b$. | αἰσθ. ἔσονται παρ. $H^b$. | 30. τὰ εἴδη] αἱ ἰδέαι $H^b$, εἴδη (omisso τὰ) $SB^bC^b$. | τῶν ἰδεῶν add $F^bH^b$: ceteri et *M* om. | 31. ὡς γένος εἰδῶν] τῶν ὡς γένους εἰδῶν *M*, quod videtur recipiendum. | ὥς *T*.

991*b* 1. ἂν om $A^b$. | 3. λέγομεν $F^bH^b$ Alex Ascl *c*. | 4. τὰ εἴδη αἴτια $F^b$. | 5. ἐὰν $ETE^b$. | 8. διὰ] διὰ τὰς *T*, καὶ διὰ $SB^bC^b as$. | 9. εἰσὶν] εἶεν $F^b$, sed εἰσὶν Alex. | 10. εἰσὶν ἀριθμοὶ *T*. | 11. ἄνθρωπος ἀριθμὸς $A^b as$. | 13. οὐθὲν om *T*.

Digitized by Google

συμφωνία, δῆλον ὅτι ἔςιν ἕν γέ τι ὧν εἰσὶ λόγοι. εἰ δή τι τȣ̃το, ἡ ὕλη, φανερὸν ὅτι καὶ αὐτοὶ οἱ ἀριθμοὶ λόγοι τινὲς ἔσονται ἑτέρȣ πρὸς ἕτερον. λέγω δ' οἷον, εἰ ἔςιν ὁ Καλλίας λόγος ἐν ἀριθμοῖς πυρὸς καὶ γῆς καὶ ὕδατος καὶ ἀέρος, ἄλλων τινῶν ὑποκειμένων ἔσται καὶ ἡ ἰδέα ἀριθμός· καὶ αὐτοάνθρωπος, εἴτ' ἀριθμός τις ὢν εἴτε μή, ὅμως ἔςαι λόγος ἐν ἀριθμοῖς τινῶν, καὶ ȣ̉κ ἀριθμός, ȣ̉δ' ἔςαι τις διὰ ταῦτα ἀριθμός. ἔτι ἐκ πολλῶν ἀριθμῶν εἷς ἀριθμὸς γίνεται, ἐξ εἰδῶν δὲ ἓν εἶδος πῶς; εἰ δὲ μὴ ἐξ αὐτῶν ἀλλ' ἐκ τῶν ἐναρίθμων, οἷον ἐν τῇ μυριάδι, πῶς ἔχουσιν αἱ μονάδες; εἴτε γὰρ ὁμοειδεῖς, πολλὰ συμβήσεται ἄτοπα, εἴτε μὴ ὁμοειδεῖς, μήτε αἱ αὐταὶ ἀλλήλαις μήτε αἱ ἄλλαι πᾶσαι πάσαις· τίνι γὰρ διοίσουσιν ἀπαθεῖς οὖσαι; οὔτε γὰρ εὔλογα ταῦτα ȣ̉́τε ὁμολογȣ́μενα τῇ νοήσει. ἔτι δ' ἀναγκαῖον ἕτερόν τι γένος ἀριθμοῦ κατασκευάζειν, περὶ ὃ ἡ ἀριθμητικὴ καὶ πάντα τὰ μεταξὺ λεγόμενα ὑπό τινων· ἃ πῶς ἢ ἐκ τίνων ἔσται ἀρχῶν; ἢ διὰ τί μεταξὺ τῶν δεῦρό τ' ἔσται καὶ αὐτῶν; ἔτι αἱ μονάδες αἱ ἐν τῇ δυάδι ἑκατέρα ἔκ τινος προτέρας δυάδος· καίτοι ἀδύνατον. ἔτι διὰ τί ἓν ὁ ἀριθμὸς συλλαμβανόμενος; ἔτι δὲ πρὸς τοῖς εἰρημένοις, εἴπερ εἰσὶν αἱ μονάδες διάφοροι, ἐχρῆν ȣ̔́τω λέγειν ὥσπερ καὶ ὅσοι τὰ ςοιχεῖα τέτταρα ἢ δύο λέγȣσιν· καὶ γὰρ τȣ́των ἕκαςος οὐ τὸ κοινὸν λέγει ςοιχεῖον, οἷον τὸ σῶμα, ἀλλὰ πῦρ καὶ γῆν,

14. ἔσται *SB^bC^bas*. | δέ *B^bC^b*. | εἰσὶν οἱ λόγοι *SE^b*. | τι om *STA^bias*. | 15. οἱ om *T*. | 17. καὶ ἀέρος om *ESB^bC^bE^b*. | 18. ante ἄλλων add καὶ ὁ αὐτὸς ἄνθρωπος *ias*, ἀέρος ἢ ἄλλων τ. ὑποκειμένων, ἔσται καὶ ἡ ἰδέα ἀριθμὸς καὶ αὐτοάνθρωπος κτλ. videtur legisse Alex, ἄλλων — ἀριθμὸς καὶ om *STB^bC^bE^b*, post ὑποκειμένων ἔσται colon *c*, comma *b*. | 19. ὁ αὐτὸς ἄνθρωπος *TC^bE^b*. | 20. οὐδ' ἔσται *A^bF^bH^b*: ceteri καὶ οὐκ. | 20. 21. ταῦτα ὁ ἀριθμός *Tas*. | 21. ἔτι δ' ἐκ *ESB^bC^b*. | 22. μηδ' *STB^bC^bas*. | ἐκ om *A^bc*. | 22. 23. ἀριθμῶν *H^b* Ascl, ἐν τῷ ἀριθμῷ *A^b*, γρ ἀλλὰ ἐκ τῶν ἀριθμῶν. τὸ δὲ ἐνάριθμον ἀντὶ τοῦ ἐκ τῶν λόγων τοῦ ἀριθμοῦ *E* mg. | 23. εἰ *E^b*. | 24. ἄτοπα συμβήσεται *ESTB^bC^bE^bc*. | μὴ] μὴ δὲ *A^b*. | 25. μηδὲ αἱ αὐταὶ *A^bF^bH^b* (sed μήτε αἱ αὐταὶ Alex), μήτε αὐταὶ *S*. | ἄλλαι αἱ πᾶσαι *EE^b*. | 26. γὰρ om *i* et fort. Alex. | 27. δ'] τε *A^bF^b*. | 28. τι om *A^b*. | ὃν *A^b*. | ἡ om *F^b*. | 29. τινων· ἃ πῶς ἢ *A^bias* et fort. Alex, τινων ἁπλῶς· ἢ *cb*. | 30. ἔσται Alex, ἐστὶν *iascb*. | τί μεταξὺ *A^b* Alex Ascl, τί τὰ μεταξὺ *ascb*. | δεῦρό] δέ *A^b*. | τ' om *C^b*. | 31. ἑκατέρων *A^b*. | 31. 32. τινος ἔτι προτέρας τῆς δυάδος *A^b*.

992*a* 1. καίτοι ἀδύνατον om *T*. | ὁ ἀριθμὸς ἓν *E^b*. | 3. ἀδιάφοροι γρ Alex. | 4. καὶ γὰρ καὶ τούτων *T*.

Digitized by Google

εἴτ' ἔστι τι κοινὸν τὸ σῶμα εἴτε μή. νῦν δὲ λέγεται ὡς ὄντος τοῦ ἑνὸς ὥσπερ πυρὸς ἢ ὕδατος ὁμοιομεροῦς· εἰ δ' οὕτως, οὐκ ἔσονται οὐσίαι οἱ ἀριθμοί, ἀλλὰ δῆλον ὅτι, εἴπερ ἔστι τι ἓν αὐτὸ καὶ τοῦτό ἐστιν ἀρχή, πλεοναχῶς λέγεται τὸ ἕν· ἄλλως γὰρ ἀδύνατον. βουλόμενοι δὲ τὰς οὐσίας ἀνάγειν εἰς τὰς ἀρχὰς μήκη μὲν τίθεμεν ἐκ μακροῦ καὶ βραχέος, ἔκ τινος μικροῦ καὶ μεγάλου, καὶ ἐπίπεδον ἐκ πλατέος καὶ στενοῦ, σῶμα δ' ἐκ βαθέος καὶ ταπεινοῦ. καίτοι πῶς ἕξει ἢ τὸ ἐπίπεδον γραμμὴν ἢ τὸ στερεὸν γραμμὴν καὶ ἐπίπεδον; ἄλλο γὰρ γένος τὸ πλατὺ καὶ τὸ στενὸν καὶ βαθὺ καὶ ταπεινόν· ὥσπερ οὖν οὐδ' ἀριθμὸς ὑπάρχει ἐν αὐτοῖς, ὅτι τὸ πολὺ καὶ ὀλίγον ἕτερον τούτων, δῆλον ὅτι οὐδ' ἄλλο οὐθὲν τῶν ἄνω ὑπάρξει τοῖς κάτω. ἀλλὰ μὴν οὐδὲ γένος τὸ πλατὺ τοῦ βαθέος· ἦν γὰρ ἂν ἐπίπεδόν τι τὸ σῶμα. ἔτι αἱ στιγμαὶ ἐκ τίνος ἐνυπάρξουσιν; τούτῳ μὲν οὖν τῷ γένει καὶ διεμάχετο Πλάτων ὡς ὄντι γεωμετρικῷ δόγματι, ἀλλ' ἐκάλει ἀρχὴν γραμμῆς, τοῦτο δὲ πολλάκις ἐτίθει τὰς ἀτόμους γραμμάς. καίτοι ἀνάγκη τούτων εἶναί τι πέρας· ὥστ' ἐξ οὗ λόγου γραμμή ἐστι, καὶ στιγμή ἐστιν. ὅλως δὲ ζητούσης τῆς σοφίας περὶ τῶν φανερῶν τὸ αἴτιον, τοῦτο μὲν εἰάκαμεν (οὐθὲν γὰρ λέγομεν περὶ τῆς αἰτίας ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς), τὴν δ' οὐσίαν οἰόμενοι λέγειν αὐτῶν ἑτέρας μὲν οὐσίας εἶναί φαμεν, ὅπως δ' ἐκεῖναι τούτων οὐσίαι, διὰ κενῆς λέγομεν· τὸ γὰρ μετέχειν, ὥσπερ καὶ πρότερον εἴπομεν, οὐθέν ἐστιν. οὐδὲ δὴ ὅπερ ταῖς ἐπιστήμαις ὁρῶμεν ὂν αἴτιον, διὸ καὶ πᾶς νοῦς καὶ πᾶσα φύσις ποιεῖ, οὐδὲ ταύτης τῆς αἰτίας ἥν φαμεν εἶναι μίαν τῶν ἀρχῶν, οὐθὲν ἅπτεται τὰ εἴδη, ἀλλὰ γέγονε τὰ μαθήματα τοῖς νῦν ἡ φιλοσοφία, φασκόντων ἄλλων χάριν αὐτὰ δεῖν πραγματεύεσθαι. ἔτι δὲ τὴν ὑποκειμένην οὐσίαν 992b ὡς ὕλην μαθηματικωτέραν ἄν τις ὑπολάβοι, καὶ μᾶλλον κατηγορεῖσθαι καὶ διαφορὰν εἶναι τῆς οὐσίας καὶ τῆς ὕλης

6. τι om $TA^bE^b$. | 8. εἴπερ] εἰπεῖν $SB^bC^b$**as**. | 11. τίθενται $SB^bC^b$**as**. | βραχέος καὶ μακροῦ $A^bF^b$ Alex, fort. recipiendum. | 13. τοι om $F^b$. | ἢ om $A^b$. | 14. καὶ] **aut i**. | 15. καὶ τὸ πλ. $TE^b$. | τὸ post καὶ om $A^b$. | 16. ἐν om $A^b$. | 17. ὅτι om $E^b$. | 19. ἂν om *T*. | 20. ἐνυπάρχουσι *ES* $TB^bC^bH^b$**ias**. | 23. καίτοι ἀν. καὶ τούτων Alex. | 24. φιλοσοφίας $A^b$. | 26. πόθεν $A^b$. | 27. μὲν add $EA^bH^b$ et Alex. | 29. καὶ τὸ πρότερον *ST* $B^bC^b$**as**. | 29. 30. ὃ περὶ τὰς ἐπιστήμας $A^b$, ὃ περὶ ταῖς ἐπιστήμαις c. | 31. οὐδὲ] τὸ δὲ $A^b$. | ταύτης] **ullam i** (fort. **illam**). | 33. τῆς *S*. | ἄλλων] τῶν ἄλλων $A^b$**cb**: ceteri et Alex ἄλλων.

Digitized by Google

*ἢ ὕλην, οἷον τὸ μέγα καὶ τὸ μικρόν, ὥσπερ καὶ οἱ φυσιο-*
*λόγοι φασὶ τὸ μανὸν καὶ τὸ πυκνόν, πρώτας τοῦ ὑποκειμένου*
*φάσκοντες εἶναι διαφορὰς ταύτας· ταῦτα γάρ ἐστιν ὑπεροχή*
*τις καὶ ἔλλειψις. περί τε κινήσεως, εἰ μὲν ἔσται ταῦτα κίνησις,*
*δῆλον ὅτι κινήσεται τὰ εἴδη· εἰ δὲ μή, πόθεν ἦλθεν; ὅλη*
*γὰρ ἡ περὶ φύσεως ἀνῄρηται σκέψις. ὅ τε δοκεῖ ῥᾴδιον*
*εἶναι, τὸ δεῖξαι ὅτι ἓν ἅπαντα, οὐ γίγνεται· τῇ γὰρ ἐκθέσει*
*οὐ γίγνεται πάντα ἓν ἀλλ' αὐτό τι ἕν, ἂν διδῷ τις πάντα.*
*καὶ οὐδὲ τοῦτο, εἰ μὴ γένος δώσει τὸ καθόλου εἶναι· τοῦτο δ'*
*ἐν ἐνίοις ἀδύνατον. οὐθένα δ' ἔχει λόγον οὐδὲ τὰ μετὰ τοὺς*
*ἀριθμοὺς μήκη καὶ ἐπίπεδα καὶ στερεά, οὔτε ὅπως ἔστιν ἢ ἔσται,*
*οὔτε τίν' ἔχει δύναμιν· ταῦτα γὰρ οὔτε εἴδη οἷόν τε εἶναι*
*(οὐ γάρ εἰσιν ἀριθμοί) οὔτε τὰ μεταξύ (μαθηματικὰ γὰρ*
*ἐκεῖνα) οὔτε τὰ φθαρτά, ἀλλὰ πάλιν τέταρτον ἄλλο φαί-*
*νεται τοῦτό τι γένος. ὅλως τε τὸ τῶν ὄντων ζητεῖν στοιχεῖα*
*μὴ διελόντας, πολλαχῶς λεγομένων, ἀδύνατον εὑρεῖν, ἄλ-*
*λως τε καὶ τοῦτον τὸν τρόπον ζητοῦντας ἐξ οἵων ἐστὶ στοιχείων.*
*ἐκ τίνων γὰρ τὸ ποιεῖν ἢ πάσχειν, ἢ τὸ εὐθύ, οὐκ ἔστι δήπου*
*λαβεῖν, ἀλλ' εἴπερ, τῶν οὐσιῶν μόνον ἐνδέχεται· ὥστε τὸ τῶν*
*ὄντων ἁπάντων τὰ στοιχεῖα ἢ ζητεῖν ἢ οἴεσθαι ἔχειν οὐκ ἀλη-* 34
*θές. πῶς δ' ἄν τις καὶ μάθοι τὰ τῶν πάντων στοιχεῖα;*
*δῆλον γὰρ ὡς οὐθὲν οἷόν τε προϋπάρχειν γνωρίζοντα πρότε-*
*ρον. ὥσπερ γὰρ τῷ γεωμετρεῖν μανθάνοντι ἄλλα μὲν ἐν-*
*δέχεται προειδέναι, ὧν δὲ ἡ ἐπιστήμη καὶ περὶ ὧν μέλλει*
*μανθάνειν οὐθὲν προγιγνώσκει, οὕτω δὴ καὶ ἐπὶ τῶν ἄλλων.*

992*b* 4. *ἢ ὕλην* add $A^bF^b$ Alex. | *καὶ* ante *οἱ φ.* om $SB^bC^b$. | 5. *τὸ μανὸν*] *καὶ μανὸν* *Sas*. | *τῆς ὑποκειμένης* $E^b$. | 6. *ταύτας* om $A^b$c. | *ταῦτα δέ ἐστιν ἡ ὑπεροχή τις* Alex. | *γάρ*] *δέ* $STH^b$. | 7. *καὶ ἔλλειψις* om $A^b$. | *δὲ* $A^b$*as*. | *ἔστι* $E^bH^b$. | 9. *σκέψις ἀνῄρηται* $A^b$c. | *ὃ δὲ* *T*, *καὶ ὃ* $EH^b$*as*. | 10. *ἓν τὰ πάντα* $H^b$. | *οὐ*] *ἐκ τῆς ἐκθέσεως οὐ* $A^b$, omissis *τῇ γὰρ ἐκθέσει οὐ γίγνεται*. | 11. *γ. τὰ πάντα* $H^b$. | 12. *εἰ* et *δώσει* $A^bF^b$: ceteri *ἐὰν* et *δῷ*, fort. recte. | 13. *ἐν* om $A^b$. | *ἐνίοις τε ἀδ.* $H^b$. | *τὰ* om *S*. | 14. *μήκη τε καὶ ἐπ.* $A^b$. | *οὐδὲ* $A^b$. | 15. *οὔτε τίν'* $A^b$ et Alex p. 93, 30: ceteri et *cb* *οὔτ' εἴ τιν'*. | 16. *μαθ.*] *τὰ μαθ.* $ESTB^bC^b$*as*. | 17. *πάλιν γε τ.* $B^b$. | *ἄλλο τέταρτον* $E^b$. | 17. 18. *τοῦτο φαίνεται γένος* $A^b$c. | 18. *τὸ*] *τοῦ* $F^b$. | *ὄντων*] *ὅλων* *T*. | 19. *διελόντα* $E^b$, *διελόντα τὰ* $A^b$. | *λεγόμενα* $A^b$. | 20. *ὧν* $A^b$ et fort. Alex. | 21. *ἢ πάσχειν* om *i*. | *εὐθύ*] *εὖ* $A^b$. | 22. *εἴπερ ἐστί, τ.* *s*. | 23. *ὄντων* om $TA^b$. | *ἢ* ante *ζητεῖν* om $A^b$c. | 25. *γνωρίζοντας* $F^b$ et Alex. | 26. *τὸ* *T*. | *γεωμέτρῃ γεωμετρεῖν* $A^b$. | *ἄλλα*] *aliqua* *i*. | 28. *δὲ* $E^b$*a*, *δεῖ* $ESB^bC^b$, om *s*.

Digitized by Google

ὥς' εἴ τις τῶν πάντων ἐςὶν ἐπιςήμη, ὥς τινές φασιν, οὐθὲν ἂν προϋπάρχοι γνωρίζων οὗτος. καίτοι πᾶσα μάθησις διὰ προγιγνωσκομένων ἢ πάντων ἢ τινῶν ἐςί, καὶ ἡ δι' ἀποδείξεως καὶ ἡ δι' ὁρισμῶν· δεῖ γὰρ ἐξ ὧν ὁ ὁρισμὸς προειδέναι καὶ εἶναι γνώριμα. ὁμοίως δὲ καὶ ἡ δι' ἐπαγωγῆς. ἀλλὰ μὴν καὶ εἰ τυγχάνει σύμφυτος οὖσα, θαυμαςὸν πῶς λανθάνομεν 993*a* ἔχοντες τὴν κρατίςην τῶν ἐπιςημῶν. ἔτι πῶς τις γνωριεῖ ἐκ τίνων ἐςί, καὶ πῶς ἔςαι δῆλον; καὶ γὰρ τοῦτ' ἔχει ἀπορίαν· ἀμφισβητήσειε γὰρ ἄν τις, ὥσπερ καὶ περὶ ἐνίας συλλαβάς· οἱ μὲν γὰρ τὸ ζα ἐκ τῦ σ καὶ δ καὶ α φασὶν εἶναι, οἱ δέ τινες ἕτερον φθόγγον φασὶν εἶναι καὶ ὐθένα τῶν γνωρίμων. ἔτι δὲ ὧν ἐςὶν αἴσθησις, ταῦτα πῶς ἄν τις μὴ ἔχων τὴν αἴσθησιν γνοίη; καίτοι ἔδει, εἴγε πάντων ταῦτα ςοιχεῖά ἐςιν ἐξ ὧν, ὥσπερ αἱ σύνθετοι φωναί εἰσιν ἐκ τῶν οἰκείων ςοιχείων.

10 Ὅτι μὲν οὖν τὰς εἰρημένας ἐν τοῖς φυσικοῖς αἰτίας ζητεῖν ἐοίκασι πάντες, καὶ τύτων ἐκτὸς ὐδεμίαν ἔχοιμεν ἂν εἰπεῖν, δῆλον καὶ ἐκ τῶν πρότερον εἰρημένων. ἀλλ' ἀμυδρῶς ταύτας· καὶ τρόπον μέν τινα πᾶσαι πρότερον εἴρηνται, τρόπον δέ τινα οὐδαμῶς· ψελλιζομένῃ γὰρ ἔοικεν ἡ πρώτη φιλοσοφία περὶ πάντων, ἅτε νέα τε κατ' ἀρχὰς οὖσα καὶ τὸ πρῶτον· ἐπεὶ καὶ Ἐμπεδοκλῆς ὀστοῦν τῷ λόγῳ φησὶν εἶναι, τῦτο δ' ἐςὶ τὸ τί ἦν εἶναι καὶ ἡ ὐσία τῦ πράγματος. ἀλλὰ μὴν ὁμοίως ἀναγκαῖον καὶ σαρκὸς καὶ τῶν ἄλλων ἑκάςυ εἶναι τὸν λόγον, ἢ μηθενός· διὰ τῦτο γὰρ καὶ σὰρξ καὶ ὀςῦν ἔςι καὶ τῶν ἄλλων ἕκαςον, καὶ ὐ διὰ τὴν ὕλην,

29. εἴ] ἤ $SB^bC^b$. | ἁπάντων $A^bE^b$. | οἵαν δή τινες $A^b$, ὥσπερ τινές *as*. | 31. ἡ δι' ἀποδ. καὶ ἡ δι' de coniect. scripsi coll. Alex p. 96, 2—5: vulgo et *cb* ἢ δι' ἀποδ. ἢ δι'. | 33. εἶναι] εἴδε $E^b$.

993*a* 1. εἰ καὶ τυγχάνοι $B^bF^bc$. | 2. γνωρίσει $F^b$ et Alex, γνωρίσειεν $ESTB^bC^bas$. | 4. ἐπὶ *S*. | 5. ὁ *T*. | ζα Alex Ascl sch $A^b$, σμα *iascb* γρ sch $A^b$, σῶμα $E^b$. | δ Alex, μ *iascb* γρ sch $A^b$. | 6. δὲ τὸν ἕτερον τρόπον ἴδιον εἶναι $A^b$. | 7. δὲ et ἐστὶν om $F^b$. | κ' αἴσθησις $E^b$. | 8. γνοίη] ἔχοι $F^b$. | δεῖ $A^b$ et fort. *i*. | ταῦτα] *eadem i*. | 10. οἰκείων om *as*. | 12. ἔχομεν $A^bE^bF^bc$, $A^bF^bc$ omisso ἄν. | 14. ἅπασαι $SB^bC^bas$, αἱ πᾶσαι *T*. | 15. post οὐδαμῶς punctum *cb*, et 17. post πρῶτον comma *b*. | 16. ἁπάντων $A^b$. | τε] τε καὶ *Sas*, om $A^bF^b$. | 19. ante ὁμοίως add καὶ *as*. | ἀναγκαῖον ὁμοίως *T*. | σάρκα $TE^bs$, σάρκας $A^b$. | 20. ἕκαστον codices, ἑκάστου *i* γρ Cas et *cb*, fort. legendum καὶ σάρκα καὶ τῶν ἄλλων ἕκαστον εἶναι τὸν λόγον, ἢ μηδὲ ἕν. | μηδὲ ἓν $ESTB^bC^bF^bias$. | τοῦτο ἄρα καὶ ἡ σὰρξ $A^b$. | 21. ἔστι $STB^bC^bF^bias$ et Alex, ἔσται *cb*.

ἣν ἐκεῖνος λέγει πῦρ καὶ γῆν καὶ ὕδωρ καὶ ἀέρα. ἀλλὰ ταῦτα ἄλλȣ μὲν λέγοντος συνέφησεν ἂν ἐξ ἀνάγκης, σαφῶς δὲ ȣ̓κ εἴρηκεν. περὶ μὲν ȣ̓͂ν τῶν τοιούτων δεδήλωται καὶ πρότερον· ὅσα δὲ περὶ τῶν αὐτῶν τȣ́των ἀπορήσειεν ἄν τις, ἐπανέλθωμεν πάλιν· τάχα γὰρ ἂν ἐξ αὐτῶν εὐπορήσαιμέν τι πρὸς τὰς ὕςερον ἀπορίας.

## Α ΕΛΑΤΤΟΝ.

Ἡ περὶ τῆς ἀληθείας θεωρία τῇ μὲν χαλεπή, τῇ δὲ ῥᾳδία. σημεῖον δὲ τὸ μήτ' ἀξίως μηδένα δύνασθαι τυχεῖν 993b αὐτῆς, μήτε πάντως ἀποτυγχάνειν, ἀλλ' ἕκαςον λέγειν τι περὶ τῆς φύσεως, καὶ καθ' ἕνα μὲν μηθὲν ἢ μικρὸν ἐπιβάλλειν αὐτῇ, ἐκ πάντων δὲ συναθροιζομένων γίνεσθαί τι μέγεθος. ὥς' εἴπερ ἔοικεν ἔχειν καθάπερ τυγχάνομεν παροιμιαζόμενοι, τίς ἂν θύρας ἁμάρτοι; ταύτῃ μὲν ἂν εἴη ῥᾳδία· τὸ δ' ὅλον τι ἔχειν καὶ μέρος μὴ δύνασθαι δηλοῖ τὸ χαλεπὸν αὐτῆς. ἴσως δὲ καὶ τῆς χαλεπότητος οὔσης κατὰ δύο τρόπȣς, οὐκ ἐν τοῖς πράγμασιν ἀλλ' ἐν ἡμῖν τὸ αἴτιόν ἐςιν 36 αὐτῆς. ὥσπερ γὰρ καὶ τὰ τῶν νυκτερίδων ὄμματα πρὸς τὸ φέγγος ἔχει τὸ μεθ' ἡμέραν, ȣ̔́τω καὶ τῆς ἡμετέρας ψυχῆς ὁ νȣ͂ς πρὸς τὰ τῇ φύσει φανερώτατα πάντων. οὐ μόνον δὲ χάριν ἔχειν δίκαιον τούτοις ὧν ἄν τις κοινώσαιτο ταῖς δόξαις, ἀλλὰ καὶ τοῖς ἔτι ἐπιπολαιοτέρως ἀποφηναμένοις· καὶ γὰρ ȣ̔͂τοι συνεβάλοντό τι· τὴν γὰρ ἕξιν προήσκησαν ἡμῶν.

22. λέγει om *T*. | καὶ ante γῆν om *Si*. | καὶ post γῆν om $SB^bC^b$*i*. | 23. ante ταῦτα add καὶ *as*. | μὲν om $SB^bC^b$. | 24. οὐκ om *S*. | οὖν om $F^b$. | τούτων $A^b$*ic*. | 25. δὲ] δὲ καὶ *S*, δὴ Alex. | 26. εὐπορήσωμεν $SC^b$. | 27. τι] τοι $E^b$, om $A^bF^b$ Alex p. 100, 16. | 29. α τὸ ἔλαττον *ST*, ἔλαττον α *F*, β *E*, βιβλίον β *Q*. addunt $EQSB^bC^b$: τοῦτο τὸ βιβλίον οἱ πλείους φασὶν εἶναι Πασικλέους τοῦ Ῥοδίου, ὃς ἦν ἀκροατὴς Ἀριστοτέλους, υἱὸς δὲ Βοηθοῦ τοῦ Εὐδήμου ἀδελφοῦ. Ἀλέξανδρος δὲ ὁ Ἀφροδισιεύς φησιν εἶναι αὐτὸ τοῦ Ἀριστοτέλους. | 30 ἡ] ὅτι ἡ rc $H^b$ et γρ Alex. | 31. μηδένα om *T*. | θιγεῖν $A^b$.

993*b* 1. πάντως scripsi de coniect. Brandisii ex auctoritate Alexandri p. 101, 14. 102, 12. 21. 25, πάντας *iascb*. | 2. τῆς om *T*. | μὲν] μὲν ἢ *E* et fort. Alex. | 6. τι $A^bE^b$, modo τι modo τε Alex: ceteri τ'. | 8. ἐστιν add $A^b$, dubito num recte. | 9. καὶ om $EQE^b$. | 10. τὸ μεθ'] πρὸς *Q*. | 12. ὧν] ὃν $F^b$, καὶ οὕτως ὧν $E^b$. | κοινώσαιτο $E^b$, κοινωνήσαιτο *E* $TA^b$*c*, κινήσαιτο $F^b$: ceteri et Alex κοινωνήσαι. | 13. ἔτι om $A^b$*cb*. | ἐπιπολαιότερον $A^bE^b$*asc* Alex. | 14. συνεβάλοντο $A^b$ et fort. Alex: ceteri συμβάλλονται. | ἤσκησαν $A^b$.

Digitized by Google

εἰ μὲν γὰρ Τιμόθεος μὴ ἐγένετο, πολλὴν ἂν μελοποιίαν οὐκ εἴχομεν· εἰ δὲ μὴ Φρῦνις, Τιμόθεος οὐκ ἂν ἐγένετο. τὸν αὐτὸν δὲ τρόπον καὶ τῶν περὶ τῆς ἀληθείας ἀποφηναμένων· παρὰ μὲν γὰρ ἐνίων παρειλήφαμέν τινας δόξας, οἱ δὲ τοῦ γενέσθαι τούτους αἴτιοι γεγόνασιν. ὀρθῶς δ' ἔχει καὶ τὸ καλεῖσθαι τὴν φιλοσοφίαν ἐπιστήμην τῆς ἀληθείας. θεωρητικῆς μὲν γὰρ τέλος ἀλήθεια, πρακτικῆς δ' ἔργον· καὶ γὰρ ἐὰν τὸ πῶς ἔχει σκοπῶσιν, οὐ τὸ αἴδιον ἀλλὰ πρός τι καὶ νῦν θεωροῦσιν οἱ πρακτικοί. οὐκ ἴσμεν δὲ τὸ ἀληθὲς ἄνευ τῆς αἰτίας. ἕκαστον δὲ μάλιστα αὐτὸ τῶν ἄλλων, καθ' ὃ καὶ τοῖς ἄλλοις ὑπάρχει τὸ συνώνυμον, οἷον τὸ πῦρ θερμότατον· καὶ γὰρ τοῖς ἄλλοις τὸ αἴτιον τοῦτο τῆς θερμότητος· ὥστε καὶ ἀληθέστατον τὸ τοῖς ὑστέροις αἴτιον τοῦ ἀληθέσιν εἶναι. διὸ τὰς τῶν ἀεὶ ὄντων ἀρχὰς ἀναγκαῖον ἀεὶ εἶναι ἀληθεστάτας· οὐ γάρ ποτε ἀληθεῖς, οὐδ' ἐκείναις αἴτιόν τί ἐστι τοῦ εἶναι, ἀλλ' ἐκεῖναι τοῖς ἄλλοις. ὥσθ' ἕκαστον ὡς ἔχει τοῦ εἶναι, οὕτω καὶ τῆς ἀληθείας.

2 Ἀλλὰ μὴν ὅτι γ' ἐστὶν ἀρχή τις καὶ οὐκ ἄπειρα τὰ 994a
37 αἴτια τῶν ὄντων, οὔτ' εἰς εὐθυωρίαν οὔτε κατ' εἶδος, δῆλον. οὔτε γὰρ ὡς ἐξ ὕλης τόδ' ἐκ τοῦδε δυνατὸν ἰέναι εἰς ἄπειρον, οἷον σάρκα μὲν ἐκ γῆς, γῆν δ' ἐξ ἀέρος, ἀέρα δ' ἐκ πυρός, καὶ τοῦτο μὴ ἵστασθαι· οὔτε ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, οἷον τὸν μὲν ἄνθρωπον ὑπὸ τοῦ ἀέρος κινηθῆναι, τοῦτον δ' ὑπὸ τοῦ ἡλίου, τὸν δὲ ἥλιον ὑπὸ τοῦ νείκους, καὶ τούτου μηδὲν εἶναι πέρας. ὁμοίως δὲ οὐδὲ τὸ οὗ ἕνεκα εἰς ἄπειρον οἷόν τε ἰέναι, βάδισιν μὲν ὑγιείας ἕνεκεν, ταύτην δ' εὐδαιμονίας, τὴν δ' εὐδαιμονίαν ἄλλου, καὶ οὕτως ἀεὶ ἄλλο ἄλλου ἕνεκεν εἶναι. καὶ ἐπὶ

16. φρένις $E^b$. | 17. δὲ om *S*. | τῶν περὶ τῆς] περὶ τῶν $A^bE^b$. | 19. τούτοις τε $E^b$. | δὴ *ETa*. | ἔχει om $A^bF^b$. | καλέσαι $ESTB^bC^b$*ias*. | 20. τὴν κατὰ φ. $A^b$. idem et *as* post ἀληθείας add θεωρητικήν. | 21. ἂν $A^b$ $E^b$. | 22. ἔχη *EQS*. | οὐ τὸ αἴτιον *EQSi* et γρ Alex, οὐ γὰρ αἴτιον *Tas*, οὗ τὸ αἴτιον οὐ $E^b$, οὐκ ἀΐδιον Alex. | post ἀΐδιον add καθ' αὑτό ceteri omnes et γρ Alex, praeter $A^b$ Alex. | γρ «οὐ τὸ αἴτιον καθ' αὑτό» καὶ «οὐ τὸ ἀΐδιον» *E* mg. | 23. τῆς om Alex. | 24. καθὼς *S*. | 27. modo ἀληθέστερον, modo ἀληθέστατον Alex. | 28. αἰεὶ *QT*. | alterum ἀεὶ om *i*. | 29. ἐκείνων $A^bE^b$ Alex. | τί ἐστι om Alex. | ἐστι om $A^b$.

994 *a* 1. γ' om $F^b$. | τις ἀρχὴ $F^b$. | 2. ἐπ' $A^bE^b$, κατ' Alex. | εὐθεωρίαν $E^b$. | 3. εἶναι ἐπ' ἄπειρον $EQSTE^b$, ἰέναι ἐπ' ἄπειρον c. | 4. ἐκ τοῦ ἀέρος *as*. | 8. οὐδὲ] καὶ $A^b$. | ἀπ. οὐχ οἷόν τε εἶναι $A^b$. | 9. ἕνεκεν $A^b$: ceteri ἕνεκα. | δ'] δι' *T*. | 10. ἄλλου ἕνεκεν καὶ $A^b$.



Digitized by Google

τοῦ τί ἦν εἶναι δ' ὡσαύτως. τῶν γὰρ μέσων, ὧν ἐστὶν ἔξω τι ἔσχατον καὶ πρότερον, ἀναγκαῖον εἶναι τὸ πρότερον αἴτιον τῶν μετ' αὐτό. εἰ γὰρ εἰπεῖν ἡμᾶς δέοι τί τῶν τριῶν αἴτιον, τὸ πρῶτον ἐροῦμεν· οὐ γὰρ δὴ τόγ' ἔσχατον, οὐδενὸς γὰρ τὸ τελευταῖον· ἀλλὰ μὴν οὐδὲ τὸ μέσον, ἑνὸς γάρ. οὐθὲν δὲ διαφέρει ἓν ἢ πλείω εἶναι, οὐδ' ἄπειρα ἢ πεπερασμένα· τῶν δ' ἀπείρων τοῦτον τὸν τρόπον καὶ ὅλως τοῦ ἀπείρου πάντα τὰ μόρια μέσα ὁμοίως μέχρι τοῦ νῦν· ὥστ' εἴπερ μηθέν ἐστι πρῶτον, ὅλως αἴτιον οὐθέν ἐστιν. ἀλλὰ μὴν οὐδ' ἐπὶ τὸ κάτω οἷόν τ' ἐπ' ἄπειρον ἰέναι, τοῦ ἄνω ἔχοντος ἀρχήν, ὥστ' ἐκ πυρὸς μὲν ὕδωρ, ἐκ δὲ τούτου γῆν, καὶ οὕτως ἀεὶ ἄλλο τι γίγνεσθαι γένος. διχῶς γὰρ γίγνεται τόδε ἐκ τοῦδε, μὴ ὡς τόδε λέγεται μετὰ τόδε, οἷον ἐξ Ἰσθμίων Ὀλύμπια, ἢ ὡς ἐκ παιδὸς ἀνὴρ μεταβάλλοντος, ἢ ἐξ ὕδατος ἀήρ. ὡς μὲν οὖν ἐκ παιδὸς ἄνδρα γίγνεσθαί φαμεν, ὡς ἐκ τοῦ γιγνομένου τὸ γεγονὸς ἢ ἐκ τοῦ ἐπιτελουμένου τὸ τετελεσμένον· ἀεὶ γάρ ἐστι μεταξύ, ὥσπερ τοῦ εἶναι καὶ μὴ εἶναι γένεσις, 38
οὕτω καὶ τὸ γιγνόμενον τοῦ ὄντος καὶ μὴ ὄντος. ἔστι δ' ὁ μανθάνων γιγνόμενος ἐπιστήμων, καὶ τοῦτ' ἐστὶν ὃ λέγεται, ὅτι γίγνεται ἐκ μανθάνοντος ἐπιστήμων. τὸ δ' ὡς ἐξ ἀέρος ὕδωρ, φθειρομένου θατέρου. διὸ ἐκεῖνα μὲν οὐκ ἀνακάμπτει εἰς ἄλληλα, οὐδὲ γίγνεται ἐξ ἀνδρὸς παῖς· οὐ γὰρ γίγνεται
994b ἐκ τῆς γενέσεως τὸ γιγνόμενον, ἀλλὰ μετὰ τὴν γένεσιν. οὕτω γὰρ καὶ ἡμέρα ἐκ τοῦ πρωΐ, ὅτι μετὰ τοῦτο· διὸ οὐδὲ τὸ

11. τοῦ *ias* Alex, τῶν *cb*. | δ' om *as*. | 11. 12. ἔξω τι om $A^bF^b$, τι ἔξω *T*. | 13. τῶ *ET*. | μεθ' αὐτὸ $A^b$, μέσων $F^b$. | ἡμᾶς εἰπεῖν $A^b$. | τί *ias* Alex, τι *cb*. | 14. γε τὸ $A^b$. | τὸ] τότε *Q*, τό γε $EB^bC^b$*as*. | 15. δὲ] γὰρ *ias*. | 16. ἢ πεπ.] οὐδὲ πεπ. $E^b$. | 17. ὅλως] ἄλλως τε δὴ $H^b$. | 18. ὁμοίως om $H^b$. | ἐστι τὸ πρῶτον $STB^bC^bE^b$*as*. | 19. οἷόν τ' ἐπ' $F^b$ et Alex, οἷόν τ' εἰς $A^b$*b*: ceteri et *c* οἷόν τ' ἐστὶν ἐπ'. | ἀπιέναι $A^b$, προιέναι $F^b$. | ἔχοντος τοῦ ἄνω $F^b$. | 21. τούτου] τοῦ ὕδατος $H^b$. | 22. γίγνεται] λέγεται μετὰ *Q*. | μὴ] ἢ $ETA^bE^b$ γρ *Ecb*: ceteri et Alex p. 114, 9. 14. Ascl γρ *E* μή. | 23. μετὰ τόδε] κατὰ τοῦδε *c*. | ἢ ὡς de coniect. scripsi secutus Alex, ἢ οὐχ οὕτως ἀλλ' ὡς $A^b$*cb*, οὔτ' ἀλλ' ὡς *S*, ἀλλ' ὡς ἢ *i* et γρ *E*: ceteri ἤ. | 24. μεταβάλλοντος ἀνήρ $E^b$. | ἢ ὡς ἐξ $A^b$. | μὲν — 25. φαμεν om *E*. | 25. ἀνὴρ $QSC^bE^b$. | γενέσθαι $F^b$. | 26. ἐκ om Alex. | 27. μεταξύ] τι μεταξύ $H^b$, μεταξύ τι $STB^bC^b$*ias*. | 28. δ'] γὰρ $A^b$*c* et fort. Alex. | 29. καὶ — 30. ἐπιστήμων om $A^b$. | 30. ὅτι γίγνεται om *T*. | 31. οὐκ ἀνακάμπτει μὲν ἐκεῖνα *Q*. | 32. εἰς] πρὸς $SB^bC^b$*as*. | γὰρ] δὲ $A^b$.

994*b* 1. ἀλλὰ $F^bH^b$ Alex *c*: ceteri et *b* ἀλλ' ἔστι. | 2. καὶ ἡ ἡμέρα *T*, ἡ ἡμέρα omisso καὶ *as*. | μετὰ] κατὰ *c*. | τὸ om $A^b$.

Digitized by Google

*πρωῒ ἐξ ἡμέρας. θάτερα δὲ ἀνακάμπτει. ἀμφοτέρως δὲ ἀδύνατον εἰς ἄπειρον ἰέναι. τῶν μὲν γὰρ ὄντων μεταξὺ ἀνάγκη τέλος εἶναι, τὰ δ' εἰς ἄλληλα ἀνακάμπτει· ἡ γὰρ θατέρου φθορὰ θατέρου ἐςὶ γένεσις. ἅμα δὲ καὶ ἀδύνατον τὸ πρῶτον ἀΐδιον ὂν φθαρῆναι· ἐπεὶ γὰρ οὐκ ἄπειρος ἡ γένεσις ἐπὶ τὸ ἄνω, ἀνάγκη, ἐξ οὗ φθαρέντος πρώτου τι ἐγένετο, μὴ ἀΐδιον εἶναι. ἔτι δὲ τὸ οὗ ἕνεκα τέλος, τοιοῦτον δὲ ὃ μὴ ἄλλου ἕνεκα, ἀλλὰ τἆλλα ἐκείνου· ὥστ' εἰ μὲν ἔσται τοιοῦτόν τι ἔσχατον, οὐκ ἔςαι ἄπειρον, εἰ δὲ μηθὲν τοιοῦτον, οὐκ ἔςαι τὸ οὗ ἕνεκα. ἀλλ' οἱ τὸ ἄπειρον ποιοῦντες λανθάνουσιν ἐξαιροῦντες τὴν τοῦ ἀγαθοῦ φύσιν. καίτοι οὐθεὶς ἂν ἐγχειρήσειεν οὐθὲν πράττειν μὴ μέλλων ἐπὶ πέρας ἥξειν, οὐδ' ἂν εἴη νοῦς ἐν τοῖς τοιούτοις· ἕνεκα γάρ τινος ἀεὶ πράττει ὅ γε νοῦν ἔχων· τοῦτο γάρ ἐςι πέρας· τὸ γὰρ τέλος πέρας ἐςίν. ἀλλὰ μὴν οὐδὲ τὸ τί ἦν εἶναι ἐνδέχεται ἀνάγεσθαι εἰς ἄλλον ὁρισμὸν πλεονάζοντα τῷ λόγῳ. ἀεί τε γάρ ἐςιν ὁ ἔμπροσθεν μᾶλ-*
39 *λον, ὁ δ' ὕςερος οὐκ ἔςιν· οὗ δὲ τὸ πρῶτον μὴ ἔςιν, οὐδὲ τὸ ἐχόμενόν ἐςιν. ἔτι τὸ ἐπίςασθαι ἀναιροῦσιν οἱ οὕτως λέγοντες· οὐ γὰρ οἷόν τε εἰδέναι πρὶν ἢ εἰς τὰ ἄτομα ἐλθεῖν. καὶ τὸ γιγνώσκειν οὐκ ἔστιν· τὰ γὰρ οὕτως ἄπειρα πῶς ἐνδέχεται νοεῖν; οὐ γὰρ ὅμοιον ἐπὶ τῆς γραμμῆς, ἣ κατὰ τὰς διαιρέσεις μὲν οὐχ ἵςαται, νοῆσαι δ' οὐκ ἔςι μὴ ςήσαντα· διόπερ οὐκ ἀριθμήσει τὰς τομὰς ὁ τὴν ἄπειρον διεξιών. ἀλλὰ καὶ τὴν ὕλην ἐν κινουμένῳ νοεῖν ἀνάγκη, καὶ ἀπείρῳ οὐθενὶ ἔςιν εἶναι· εἰ δὲ μή, οὐκ ἄπειρόν γ' ἐςὶ τὸ ἀπείρῳ εἶναι. ἀλλὰ μὴν καὶ εἰ ἄπειρά γ' ἦσαν πλήθει τὰ εἴδη τῶν αἰτίων, οὐκ ἂν ἦν οὐδ' οὕτω τὸ γιγνώσκειν· τότε γὰρ εἰδέναι οἰόμεθα, ὅταν τὰ αἴτια γνωρίσωμεν· τὸ δ' ἄπειρον κατὰ τὴν πρόσθεσιν οὐκ ἔςιν ἐν πεπερασμένῳ διεξελθεῖν.*

3. θάτερον $A^b$c. | ἀμφοτέρας $E^b$. | 4. γὰρ om $E^b$. | 5. ἀνακάμπτειν $A^b$. | 6. ἑτέρου γένεσίς ἐστιν Alex. | 7. πρῶτον αἴτιον ἀΐδιον $F^b$. | ἐπεὶ — 9. εἶναι om pr $E^b$: ἐπειδὴ rc $E^b$. | 7. ἡ om $A^b$. | 8. ἐπὶ τῶν ἄνω as. | 9. post εἶναι add τοῦτο δὲ ἀδύνατον as. | ἔτι] ἐπεὶ $A^b$ Alex. | 10. τι de coniect. scripsi secutus Alex, τὸ ascb. | 13. ἐγχειρίσειεν S. | 14. πράσσειν $EE^b$. | ante οὐδ' punctum b. | 15. τοῖς om E. | τοιούτοις] οὖσιν $A^b$ Alex c. | 16. πέρας τέλος $SA^b$. | 17. εἶναι Q. | 18. τε om T. | 20. ἐστιν om $A^b$. | 21. ἢ om $TA^bF^b$as. | ἔλθῃ $A^b$. | 23. ἢ $SE^b$. | 25. ἀριθμεῖ $A^b$ et fort. Alex. | 26. ἐν κινουμένῳ iasb et γρ Alex, κινουμένην γρ Alex, κινουμένῳ videtur interpretari Alex. | οὐδὲν $STA^bB^bC^bE^b$as. | 27. γ'] δ' $A^b$. | τοῦ $E^b$. | 28. εἰ om S. | 30. πρόθεσιν $SA^b$.

Digitized by Google

3 *Αἱ δ' ἀκροάσεις κατὰ τὰ ἔθη συμβαίνουσιν· ὡς γὰρ*
995*a* *εἰώθαμεν, ὅτως ἀξιῦμεν λέγεσθαι, καὶ τὰ παρὰ ταῦτα ὀχ ὅμοια φαίνεται ἀλλὰ διὰ τὴν ἀσυνήθειαν ἀγνωςότερα καὶ ξενικώτερα· τὸ γὰρ σύνηθες γνωριμώτερον. ἡλίκην δὲ ἰσχὺν ἔχει τὸ σύνηθες οἱ νόμοι δηλοῦσιν, ἐν οἷς τὰ μυθώδη καὶ παιδαριώδη μεῖζον ἰσχύει τῦ γινώσκειν περὶ αὐτῶν διὰ τὸ ἔθος. οἱ μὲν ὖν, ἐὰν μὴ μαθηματικῶς λέγῃ τις, ὀχ ἀποδέχονται τῶν λεγόντων, οἱ δ', ἂν μὴ παραδειγματικῶς, οἱ δὲ μάρτυρα ἀξιῦσιν ἐπάγεσθαι ποιητήν. καὶ οἱ μὲν πάντα ἀκριβῶς, τοὺς δὲ λυπεῖ τὸ ἀκριβὲς ἢ διὰ τὸ μὴ δύνασθαι συνείρειν ἢ διὰ τὴν μικρολογίαν· ἔχει γάρ τι τὸ ἀκριβὲς τοιοῦτον, ὥστε καθάπερ ἐπὶ τῶν συμβολαίων, καὶ ἐπὶ τῶν λόγων ἀνελεύθερον εἶναί τισι δοκεῖ. διὸ δεῖ πεπαιδεῦσθαι* 40
*πῶς ἕκαστα ἀποδεκτέον, ὡς ἄτοπον ἅμα ζητεῖν ἐπιστήμην καὶ τρόπον ἐπιςήμης· ἔστι δ' οὐδέτερον ῥᾴδιον λαβεῖν. τὴν δ' ἀκριβολογίαν τὴν μαθηματικὴν οὐκ ἐν ἅπασιν ἀπαιτητέον ἀλλ' ἐν τοῖς μὴ ἔχουσιν ὕλην. διόπερ οὐ φυσικὸς ὁ τρόπος· ἅπασα γὰρ ἴσως ἡ φύσις ἔχει ὕλην. διὸ σκεπτέον πρῶτον τί ἐςιν ἡ φύσις· ὅτω γὰρ καὶ περὶ τίνων ἡ φυσικὴ δῆλον ἔςαι. [καὶ εἰ μιᾶς ἐπιςήμης ἢ πλειόνων τὰ αἴτια καὶ τὰς ἀρχὰς θεωρῆσαί ἐςιν.]*

# *B.*

*Ἀνάγκη πρὸς τὴν ἐπιζητϐμένην ἐπιςήμην ἐπελθεῖν ἡμᾶς πρῶτον, περὶ ὧν ἀπορῆσαι δεῖ πρῶτον· ταῦτα δ' ἐστὶν ὅσα τε περὶ αὐτῶν ἄλλως ὑπειλήφασί τινες, κἂν εἴ τι χωρὶς τϐτων τυγχάνοι παρεωραμένον. ἔςι δὲ τοῖς εὐπορῆσαι βϐλομένοις προὔργου τὸ διαπορῆσαι καλῶς· ἡ γὰρ ὕστερον εὐπορία λύσις τῶν πρότερον ἀπορουμένων ἐςί, λύειν δ' οὐκ*

32. *συμβαίνουσαι* $F^b$, sed idem deinde p. 127, 14. *συμβαίνουσιν*.

995*a* 1. *ἀξιοῦμεν ἔτι τὸ λ.* Alex. | 2. *ἀγνωριστότερα* **T.** | 3. *γνώριμον* $A^b$. | 4. *τὰ] περὶ τὰ* $A^b$. | 5. *διὰ* om $A^bc$. | 8. *μετάγεσθαι* **Q.** | 11. *συμβόλων* $E^b$. | 12. *δοκεῖ τισι* $A^b$. | *πεπαιδεῦθαι* **E.** | 14. *δὲ θάτερον* $A^b$. | 17. *τρόπος* **iascb** *γρ* Alex, *λόγος* Alex. | 18. *ἡ* om **EQS.** | *τίνων* $A^b$ Alex **c**, *τίνος* **iasb.** | 19. *καὶ εἰ* — 20. *ἐστιν* codices Ascl **iascb**, sed omittenda esse docet Alex p. 130, 24. | 24. *ζητουμένην* $A^bcb$: ceteri et Alex *ἐπιζητουμένην.* | *ἀπελθεῖν* $F^ba$. | 25. *πρῶτον* ante *περὶ* om $A^bF^b$. | 27. *τυγχάνῃ* **ES** $TA^bB^bC^bc$. | *τυγχ. πρῶτον παρ.* **as.** | 29. *προειρημένων ἀπόρων* Alex.

ἔστιν ἀγνοοῦντας τὸν δεσμόν. ἀλλ' ἡ τῆς διανοίας ἀπορία δηλοῖ τοῦτο περὶ τοῦ πράγματος· ᾗ γὰρ ἀπορεῖ, ταύτῃ παραπλήσιον πέπονθε τοῖς δεδεμένοις· ἀδύνατον γὰρ ἀμφοτέρως προελθεῖν εἰς τὸ πρόσθεν. διὸ δεῖ τὰς δυσχερείας τεθεωρηκέναι πάσας πρότερον, τούτων τε χάριν καὶ διὰ τὸ τοὺς ζητοῦντας ἄνευ τοῦ διαπορῆσαι πρῶτον ὁμοίους εἶναι τοῖς ποῖ δεῖ βαδίζειν ἀγνοοῦσι, καὶ πρὸς τούτοις οὐδ' εἴ ποτε τὸ ζητούμενον 995b εὕρηκεν ἢ μὴ γινώσκειν· τὸ γὰρ τέλος τούτῳ μὲν οὐ δῆλον, τῷ δὲ προηπορηκότι δῆλον. ἔτι δὲ βέλτιον ἀνάγκη ἔχειν πρὸς τὸ κρῖναι τὸν ὥσπερ ἀντιδίκων καὶ τῶν ἀμφισβητούντων λόγων ἀκηκοότα πάντων. ἔστι δ' ἀπορία πρώτη μὲν περὶ ὧν ἐν τοῖς πεφροιμιασμένοις διηπορήσαμεν, πότερον μιᾶς ἢ πολλῶν ἐπιστημῶν θεωρῆσαι τὰς αἰτίας, καὶ πότερον τὰς τῆς οὐσίας ἀρχὰς τὰς πρώτας ἐστὶ τῆς ἐπιστήμης ἰδεῖν μόνον, ἢ καὶ περὶ τῶν ἀρχῶν ἐξ ὧν δεικνύουσιν ἅπαντες, οἷον πότερον ἐνδέχεται ταὐτὸ καὶ ἓν ἅμα φάναι καὶ ἀποφάναι ἢ οὔ, καὶ περὶ τῶν ἄλλων τῶν τοιούτων. εἴτ' ἔστι περὶ τὴν οὐσίαν, πότερον μία περὶ πάσας ἢ πλείονές εἰσι, κἂν εἰ πλείονες, πότερον ἅπασαι συγγενεῖς, ἢ τὰς μὲν σοφίας τὰς δ' ἄλλο τι λεκτέον αὐτῶν. καὶ τοῦτο δ' αὐτὸ τῶν ἀναγκαίων ἐστὶ ζητῆσαι, πότερον τὰς αἰσθητὰς οὐσίας εἶναι μόνον φατέον ἢ καὶ παρὰ ταύτας ἄλλας, καὶ πότερον μοναχῶς ἢ πλείονα γένη τῶν οὐσιῶν, οἷον οἱ ποιοῦντες τά τε εἴδη καὶ τὰ μαθηματικὰ μεταξὺ τούτων τε καὶ τῶν αἰσθητῶν. περί τε τούτων οὖν, καθάπερ φαμέν, ἐπισκεπτέον, καὶ πότερον περὶ τὰς οὐσίας ἡ θεωρία μόνον ἐστὶν ἢ καὶ περὶ τὰ συμβεβηκότα καθ' αὑτὰ ταῖς οὐσίαις. πρὸς δὲ τούτοις περὶ ταὐτοῦ καὶ ἑτέρου καὶ ὁμοίου καὶ ἀνομοίου καὶ ταυτότητος καὶ ἐναντιότητος, καὶ περὶ προτέρου καὶ ὑστέρου καὶ τῶν ἄλλων ἁπάντων τῶν τοιούτων, περὶ ὅσων οἱ διαλεκτικοὶ πειρῶνται σκοπεῖν ἐκ τῶν ἐνδόξων μόνον ποιούμενοι τὴν σκέψιν, τίνος ἐστὶ θεωρῆσαι περὶ πάντων. ἔτι δὲ τούτοις αὐτοῖς ὅσα καθ'

30. ἀγνοοῦντα $ESTB^bC^b$*as*. | 31. ἡ γὰρ ἀπορία $A^b$. | 33. τὸ ἔμπροσθεν *as*. | 36. οὐδέποτε τὸ ζητούμενον εἰ εὕρηκεν $A^b$*c*.

995*b* 1. εὕρηκεν] *invenerint i*. | 2. δὲ καλῶς προηπορηκότι $SB^bC^b$*as*. | δὲ post ἔτι om $A^b$. | 5. πεπροιμιασμένοις *E*. | 6. πολλῶν ἐστιν ἐπιστημῶν $STB^bC^b$*as*. | 8. πάντες $A^bG^bI^b$. | 9. καὶ ἀποφάναι om *E*. | 11. εἰσι om $F^b$. | 12. κἂν] καὶ $G^bI^b$*b*: ceteri et *c* κἂν. cf. 995*a* 26, 996*a* 14, *b* 32. | 16. πλεοναχῶς τὰ γένη $A^b$. | 19. περὶ] ἐπὶ $G^bI^b$. | μόνον ἡ θεωρία $F^b$. | 21. καὶ ταυτότητος] καὶ ἐναντίου $TF^b$, om $EA^bG^bI^b$*ic*. | 24. μόνων $A^b$.

Digitized by Google

αὐτὰ συμβέβηκεν, καὶ μὴ μόνον τί ἐστι τούτων ἕκαστον, ἀλλὰ καὶ εἰ ἄρα ἓν ἑνὶ ἐναντίον. καὶ πότερον αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα τὰ γένη ἐστὶν ἢ εἰς ἃ διαιρεῖται ἐνυπάρχοντα 42
ἕκαςον· καὶ εἰ τὰ γένη, πότερον ὅσα ἐπὶ τοῖς ἀτόμοις λέγεται τελευταῖα ἢ τὰ πρῶτα, οἷον πότερον ζῷον ἢ ἄνθρωπος ἀρχή τε καὶ μᾶλλόν ἐστι παρὰ τὸ καθ' ἕκαστον. μάλιςα δὲ ζητητέον καὶ πραγματευτέον, πότερον ἔστι τι παρὰ τὴν ὕλην αἴτιον καθ' αὑτὸ ἢ ὔ, καὶ τῦτο χωριςὸν ἢ ὔ, καὶ πότερον ἓν ἢ πλείω τὸν ἀριθμόν. καὶ πότερον ἔςι τι παρὰ τὸ σύνολον (λέγω δὲ τὸ σύνολον, ὅταν κατηγορηθῇ τι τῆς ὕλης) ἢ οὐθέν, ἢ τῶν μὲν τῶν δ' οὔ, καὶ ποῖα ταῦτα τῶν ὄντων.
996*a* ἔτι αἱ ἀρχαὶ πότερον ἀριθμῷ ἢ εἴδει ὡρισμέναι, καὶ αἱ ἐν τοῖς λόγοις καὶ αἱ ἐν τῷ ὑποκειμένῳ· καὶ πότερον τῶν φθαρτῶν καὶ ἀφθάρτων αἱ αὐταὶ ἢ ἕτεραι· καὶ πότερον ἄφθαρτοι πᾶσαι, ἢ τῶν φθαρτῶν φθαρταί. ἔτι δὲ τὸ πάντων χαλεπώτατον καὶ πλείστην ἀπορίαν ἔχον, πότερον τὸ ἓν καὶ τὸ ὄν, καθάπερ οἱ Πυθαγόρειοι καὶ Πλάτων ἔλεγεν, ὐχ ἕτερόν τί ἐςιν ἀλλ' ὐσία τῶν ὄντων, ἢ ὔ, ἀλλ' ἕτερόν τι τὸ ὑποκείμενον, ὥσπερ Ἐμπεδοκλῆς φησὶ φιλίαν, ἄλλος δέ τις πῦρ, ὁ δὲ ὕδωρ, ὁ δὲ ἀέρα. καὶ πότερον αἱ ἀρχαὶ καθόλου εἰσὶν ἢ ὡς τὰ καθ' ἕκαστα τῶν πραγμάτων, καὶ δυνάμει ἢ ἐνεργείᾳ. ἔτι πότερον ἄλλως ἢ κατὰ κίνησιν· καὶ γὰρ ταῦτα ἀπορίαν ἂν παράσχοι πολλήν. πρὸς δὲ τούτοις πότερον οἱ ἀριθμοὶ καὶ τὰ μήκη καὶ τὰ σχήματα καὶ αἱ ςιγμαὶ ὐσίαι τινές εἰσιν ἢ οὔ, κἂν εἰ ὐσίαι, πότερον κεχωρισμέναι τῶν αἰσθητῶν ἢ ἐν τύτοις. περὶ γὰρ τούτων ἁπάντων οὐ μόνον χαλεπὸν τὸ εὐπορῆσαι τῆς ἀληθείας, ἀλλ' ὐδὲ τὸ διαπορῆσαι τῷ λόγῳ ῥᾴδιον καλῶς.

27. εἰ ἄρα] ἆρα $EA^bcb$: ceteri et Ascl et fort. Alex Syr εἰ ἄρα. | 28. τὰ ante γένη om $G^bI^b$. | 29. εἰ om *E*. | 31. τὸν $G^bI^b$. | μᾶλλον $A^b$. | 32. τι om $G^bI^b$. | 33. αἴτια $F^b$. | καθ' αὑτὸ ἢ οὔ om $A^b$. | καὶ τοῦτο χωριστὸν om *E*. | 34. τι om *as*. | 36. ποῖα ταῦτα $G^bI^b$, ὁπόσα ταῦτα Alex: ceteri et *c* ποῖα τοιαῦτα.

996*a* 1. αἱ post ἔτι om $A^b$. | πότερον ἐν ἀριθμῷ *c*. | 2. αἱ add *E* $B^bC^bG^bI^b$ et fort. Alex. | 3. αἱ om *S*. | 4. ἔστι $G^bI^b$. | τὸ] τῶν $I^b$. | 5. πότερον om $F^b$. | τὸ] καὶ τὸ $G^b$. | 6. ἔλεγον $G^bI^b$, om $F^b$. | 7. τί ante ἐστιν om $I^b$. | οὐσίαι Alex. | 8. τὸ om $B^bC^b$. | φησὶ om $I^b$. | 9. ὁ δὲ ἀέρα $A^b$: ceteri ἢ ἀέρα. | 10. καὶ δυνάμει ἢ ἐνεργείᾳ om $A^b$. | 12. ἂν om $F^b$. | 14. εἰ οὐσίαι] εἰ οὐσία $A^b$, δὲ οὐσίαι *as*. | 15. post ἢ add ἐνυπάρχουσαι $A^bcb$: ceteri et Alex om.

Digitized by Google

2 Πρῶτον μὲν οὖν περὶ ὧν πρῶτον εἴπομεν, πότερον μιᾶς
43 ἢ πλειόνων ἐστὶν ἐπιστημῶν θεωρῆσαι πάντα τὰ γένη τῶν αἰτίων. μιᾶς μὲν γὰρ ἐπιστήμης πῶς ἂν εἴη μὴ ἐναντίας οὔσας τὰς ἀρχὰς γνωρίζειν; ἔτι δὲ πολλοῖς τῶν ὄντων οὐχ ὑπάρχουσι πᾶσαι. τίνα γὰρ τρόπον οἷόν τε κινήσεως ἀρχὴν εἶναι τοῖς ἀκινήτοις ἢ τὴν τἀγαθοῦ φύσιν, εἴπερ ἅπαν, ὃ ἂν ᾖ ἀγαθὸν καθ' αὑτὸ καὶ διὰ τὴν αὑτοῦ φύσιν, τέλος ἐστὶν καὶ οὕτως αἴτιον, ὅτι ἐκείνου ἕνεκα καὶ γίγνεται καὶ ἔστι τἆλλα, τὸ δὲ τέλος καὶ τὸ οὗ ἕνεκα πράξεώς τινός ἐστι τέλος, αἱ δὲ πράξεις πᾶσαι μετὰ κινήσεως· ὥστ' ἐν τοῖς ἀκινήτοις οὐκ ἂν ἐνδέχοιτο ταύτην εἶναι τὴν ἀρχὴν οὐδ' εἶναί τι αὐτοαγαθόν. διὸ καὶ ἐν τοῖς μαθήμασιν οὐθὲν δείκνυται διὰ ταύτης τῆς αἰτίας, οὐδ' ἔστιν ἀπόδειξις οὐδεμία διότι βέλτιον ἢ χεῖρον, ἀλλ' οὐδὲ τὸ παράπαν μέμνηται οὐθεὶς οὐθενὸς τῶν τοιούτων. ὥστε διὰ ταῦτα τῶν σοφιστῶν τινὲς οἷον Ἀρίστιππος προεπηλάκιζεν αὐτάς· ἐν μὲν γὰρ ταῖς ἄλλαις τέχναις, καὶ ταῖς βαναύσοις, οἷον ἐν τεκτονικῇ καὶ σκυτικῇ, διότι βέλτιον ἢ χεῖρον λέγεσθαι πάντα, τὰς δὲ μαθηματικὰς οὐθένα ποιεῖσθαι λόγον περὶ ἀγαθῶν καὶ κακῶν. ἀλλὰ μὴν εἴ γε πλείους ἐπιστῆμαι τῶν αἰτίων εἰσὶ καὶ ἑτέρα ἑτέρας ἀρχῆς, τίνα τούτων φατέον εἶναι τὴν ζητουμένην, ἢ τίνα μάλιστα τοῦ πράγματος τοῦ ζητουμένου ἐπιστήμονα τῶν ἐχόντων αὐτάς; ἐνδέχεται γὰρ τῷ αὐτῷ πάντας τοὺς τρόπους τῶν αἰτίων ὑπάρχειν, οἷον οἰκίας, ὅθεν μὲν ἡ κίνησις, ἡ τέχνη καὶ ὁ οἰκοδόμος, οὗ δ' ἕνεκα, τὸ ἔργον, ὕλη δὲ γῆ καὶ λίθοι, τὸ δ' εἶδος ὁ λόγος. ἐκ μὲν οὖν τῶν πάλαι διωρισμένων,
44 τίνα χρὴ καλεῖν τῶν ἐπιστημῶν σοφίαν, ἔχει λόγον ἑκάστην προσαγορεύειν. ᾗ μὲν γὰρ ἀρχικωτάτη καὶ ἡγεμονικωτάτη, καὶ ᾗ ὥσπερ δούλας οὐδ' ἀντειπεῖν τὰς ἄλλας ἐπιστήμας δίκαιον, ἡ τοῦ τέλους καὶ τἀγαθοῦ τοιαύτη (τούτου γὰρ ἕνεκα

19. ἐπιστήμης $A^b$. | 21. οὔσης $G^b$. | 22. ὑπ. πᾶσι πᾶσαι *ESias*. | οἷόν τε τρόπον $G^bI^b$. | οἷόν τε] οἴονται τῆς *as*. | 23. ἀγαθοῦ $SA^b$. | ὅπερ *S*. | ὃ] ἢ *T*. | 24. αὐτοῦ Alex *ac*. | 25. ἔστι καὶ τἆλλα $A^bc$. | 31. οὐθενὸς om *T*. | 34. βαναύσοις αὐταῖς οἷον $SA^bB^bC^bias$.

996b 1. καλῶν $A^b$. | 2. πλείους εἴγε $F^b$. | ἑτέρα *ETi* Alex p. 139, 9 sqq. 25: ἕτεραι *ascb*. | 4. τοῦ ζητουμένου om $A^b$. | 5. τοὺς τρόπους τῶν] τοὺς τρόπους τοὺς τῶν $EA^bcb$: ceteri et Alex τοὺς τρόπους τῶν. | 9. ἔχει $ETG^bI^bi$ Alex: ceteri οὐδαμῶς ἔχει. | 10. ᾗ $EG^bia$ Alex: ceteri ἡ. | ἡ γενικωτάτη $A^b$. | 11. δούλας om $G^bI^b$. | ἀντιτείνειν $I^b$. | 12. ἢ $G^b$. | ἀγαθοῦ $A^b$. | τούτου $EA^bG^bI^bia$ Alex: ceteri τούτων.

Digitized by Google

τἆλλα)· ἡ δὲ τῶν πρώτων αἰτίων καὶ τοῦ μάλιςα ἐπιςητοῦ διωρίσθη εἶναι, ἡ τῆς οὐσίας ἂν εἴη τοιαύτη. πολλαχῶς γὰρ ἐπισταμένων τὸ αὐτὸ μᾶλλον μὲν εἰδέναι φαμὲν τὸν τῷ εἶναι γνωρίζοντα τί τὸ πρᾶγμα ἢ τῷ μὴ εἶναι, αὐτῶν δὲ τούτων ἕτερον ἑτέρου μᾶλλον, καὶ μάλιςα τὸν τί ἐςιν, ἀλλ' οὐ τὸν πόσον ἢ ποῖον ἢ τί ποιεῖν ἢ πάσχειν πέφυκεν. ἔτι δὲ καὶ ἐν τοῖς ἄλλοις τὸ εἰδέναι ἕκαστον, καὶ ὧν ἀποδείξεις εἰσί, τότ' οἰόμεθα ὑπάρχειν, ὅταν εἰδῶμεν τί ἐστιν, οἷον τί ἐςι τὸ τετραγωνίζειν, ὅτι μέσης εὕρεσις· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. περὶ δὲ τὰς γενέσεις καὶ τὰς πράξεις καὶ περὶ ἅπασαν μεταβολήν, ὅταν εἰδῶμεν τὴν ἀρχὴν τῆς κινήσεως· τοῦτο δ' ἕτερον καὶ ἀντικείμενον τῷ τέλει. ὥστ' ἄλλης ἂν δόξειεν ἐπιςήμης εἶναι τὸ θεωρῆσαι τῶν αἰτίων τούτων ἕκαςον. ἀλλὰ μὴν καὶ περὶ τῶν ἀποδεικτικῶν ἀρχῶν, πότερον μιᾶς ἐςὶν ἐπιςήμης ἢ πλειόνων, ἀμφισβητήσιμόν ἐςιν. λέγω δὲ ἀποδεικτικὰς τὰς κοινὰς δόξας, ἐξ ὧν ἅπαντες δεικνύουσιν, οἷον ὅτι πᾶν ἀναγκαῖον ἢ φάναι ἢ ἀποφάναι, καὶ ἀδύνατον ἅμα εἶναι καὶ μὴ εἶναι, καὶ ὅσαι ἄλλαι τοιαῦται προτάσεις, πότερον μία τούτων ἐπιςήμη καὶ τῆς οὐσίας ἢ ἑτέρα, κἂν εἰ μὴ μία, ποτέραν χρὴ προσαγορεύειν τὴν ζητουμένην νῦν. μιᾶς μὲν οὖν οὐκ εὔλογον εἶναι· τί γὰρ μᾶλλον γεωμετρίας ἢ ὁποιασοῦν περὶ τούτων ἐςὶν ἴδιον τὸ ἐπαΐειν; εἴπερ οὖν ὁμοίως μὲν ὁποιασοῦν ἐςίν, ἁπασῶν δὲ μὴ ἐνδέχε- 45
997a ται, ὥσπερ οὐδὲ τῶν ἄλλων οὕτως οὐδὲ τῆς γνωριζούσης τὰς οὐσίας ἴδιόν ἐςι τὸ γινώσκειν περὶ αὐτῶν. ἅμα δὲ καὶ τίνα τρόπον ἔσται αὐτῶν ἐπιστήμη; τί μὲν γὰρ ἕκαστον τούτων τυγχάνει ὂν καὶ νῦν γνωρίζομεν· χρῶνται γοῦν ὡς γιγνωσκομένοις αὐτοῖς καὶ ἄλλαι τέχναι. εἰ δὲ ἀποδεικτικὴ περὶ αὐτῶν ἐστί, δεήσει τι γένος εἶναι ὑποκείμενον, καὶ τὰ μὲν

13. ἡ $EF^bG^bI^bi$ Alex: ceteri ἥ. | 14. διώρισται $F^b$. | 15. μὲν om $F^b$. | 17. τὸν *Ei* Alex p. 140, 28, τὸ $G^b$, τὸν τὸ $I^b$: vulgo τῶν. | 18. τὸν $EG^bI^bi$ Alex: ceteri τῶν. | 19. καὶ ἐν] κἂν ἐν $G^bI^b$. | 20. ἰδῶμεν *a*. | οἷον τί ἐστι om *T*. | 23. πᾶσαν $A^bG^bI^b$. | post κινήσεως punctum *b*. | 24. ante ὥστε colon *cb*. | ἄλλης] ἂν ἄλλης *T*, οὐκ ἄλλης coniicit Alex. | 26. καὶ om *i*. | περὶ om $F^b$. | 28. τὰς $EA^bI^bi$: ceteri καὶ τὰς. | 29. πᾶν] τὸ $G^b$. | 32. κἂν εἰ] καὶ ἂν εἴη $A^b$. | 33. νῦν add $ETA^bG^bI^bi$. | 34. περὶ] τῶν περὶ $A^b$. | ἴδιόν ἐστι $G^bI^b$. | 35. μὴ] μηδὲ $G^b$.

997*a* 1. οὕτως] ὥσπερ *T*. | 2. καί τινα *a*. | 3. αὐτῶν ἐπιστήμη] αὐτοῖς ἡ γνῶσις Alex. | 4. γοῦν $ETA^bI^b$ et fort. Alex p. 144, 2: ceteri οὖν. | 5. εἰ] ἢ *T*. | 6. modo εἶναι τὸ ὑποκ., modo εἶναι ὑποκ. Alex.

Digitized by Google

πάθη τὰ δ' ἀξιώματ' αὐτῶν (περὶ πάντων γὰρ ἀδύνατον ἀπόδειξιν εἶναι)· ἀνάγκη γὰρ ἔκ τινων εἶναι καὶ περί τι καὶ τινῶν τὴν ἀπόδειξιν· ὥστε συμβαίνει πάντων εἶναι γένος ἕν τι τῶν δεικνυμένων· πᾶσαι γὰρ αἱ ἀποδεικτικαὶ χρῶνται τοῖς ἀξιώμασιν. ἀλλὰ μὴν εἰ ἑτέρα ἡ τῆς οὐσίας καὶ ἡ περὶ τούτων, ποτέρα κυριωτέρα καὶ προτέρα πέφυκεν αὐτῶν; καθόλου γὰρ μάλιστα καὶ πάντων ἀρχαὶ τὰ ἀξιώματά ἐστιν. εἴτ' ἐστὶ μὴ τοῦ φιλοσόφου, τίνος ἔσται περὶ αὐτῶν ἄλλου τὸ θεωρῆσαι τὸ ἀληθὲς καὶ τὸ ψεῦδος; ὅλως τε τῶν οὐσιῶν πότερον μία πασῶν ἐστὶν ἢ πλείους ἐπιστῆμαι; εἰ μὲν οὖν μὴ μία, ποίας οὐσίας θετέον τὴν ἐπιστήμην ταύτην; τὸ δὲ μίαν πασῶν οὐκ εὔλογον· καὶ γὰρ ἂν ἀποδεικτικὴ μία περὶ πάντων εἴη τῶν καθ' αὑτὸ συμβεβηκότων, εἴπερ πᾶσα ἀποδεικτικὴ περί τι ὑποκείμενον θεωρεῖ τὰ καθ' αὑτὰ συμβεβηκότα ἐκ τῶν κοινῶν δοξῶν. περὶ οὖν τὸ αὐτὸ γένος τὰ συμβεβηκότα καθ' αὑτὰ τῆς αὐτῆς ἐστὶ θεωρῆσαι ἐκ τῶν αὐτῶν δοξῶν. περί τε γὰρ ὃ μιᾶς, καὶ ἐξ ὧν μιᾶς, εἴτε τῆς αὐτῆς εἴτε ἄλλης· ὥστε καὶ τὰ συμβεβηκότα, εἴτ' αὗται θεωροῦσιν, εἴτ' ἐκ τούτων μία. ἔτι δὲ πότερον περὶ τὰς οὐσίας ἡ θεωρία μόνον ἐστὶν ἢ καὶ περὶ τὰ συμβεβηκότα ταύταις· λέγω δ'
46 οἷον, εἰ τὸ στερεὸν οὐσία τίς ἐστι καὶ γραμμαὶ καὶ ἐπίπεδα, πότερον τῆς αὐτῆς ταῦτα γνωρίζειν ἐπιστήμης καὶ τὰ συμβεβηκότα περὶ ἕκαστον γένος, περὶ ὧν αἱ μαθηματικαὶ δεικνύουσιν, ἢ ἄλλης. εἰ μὲν γὰρ τῆς αὐτῆς, ἀποδεικτική τις ἂν εἴη καὶ ἡ τῆς οὐσίας· οὐ δοκεῖ δὲ τοῦ τί ἐστιν ἀπόδειξις εἶναι. εἰ δ' ἑτέρας, τίς ἔσται ἡ θεωροῦσα περὶ τὴν οὐσίαν τὰ συμβεβηκότα; τοῦτο γὰρ ἀποδοῦναι παγχάλεπον. ἔτι δὲ πότερον τὰς αἰσθητὰς οὐσίας μόνας εἶναι φατέον ἢ καὶ παρὰ ταύτας ἄλλας· καὶ πότερον μοναχῶς ἢ

7. post αὐτῶν punctum *cb*. | ἀπόδειξιν εἶναι ἀδύνατον $G^bI^b$. | 9. ἕν om $A^b$. | 14. τοῦ φιλοσόφου] τοῦτο σοφοῦ *as*. | 15. τὸ post καὶ om $EB^bC^b I^b$. | 17. ῥητέον $G^bI^b$. | 18. πάντων ἂν εἴη $A^b$. | 19. καθ' αὑτὸ add $SB^b C^b$*as* Alex: ceteri et *cb* om. | 20. θεωρεῖται καθ' *Tas*. | 22. θεωρῆσαι ἔστι $A^b$. | 23. ὃ $A^bF^b$*ic* Alex: ceteri et Syr et *b* τὸ ὅτι. | ἄλλοις $C^b$, τῆς ἄλλης $G^b$*a*. | 24. εἴτ' αὗται $F^b$ p. 147, 26 *cb*, εἴτε αὗται *ias* Alex p. 148, 22. 149, 25. Syr, εἴτε αἱ αὐταὶ γρ Alex. | θεωροῦσιν $A^bF^b$ Alex: ceteri et *cb* θεωρήσουσιν. | 25. μόνον ἡ θεωρία $A^b$*cb*: ceteri et Alex ἡ θεωρία μόνον. cf. p. 998 *a* 11. | 26. καὶ om $C^b$. | περὶ om $F^b$. | 27. οὐσίαι τι *T*. | 28. γνωρίζειν ἐστὶν ἐπιστ. $A^b$. | 31. τις om Alex. | 32. ἐστιν *S*. | 33. χαλεπόν $G^b$. | 34. δὲ om $G^b$.

Digitized by Google

997*b* πλείω γένη τετύχηκεν ὄντα τῶν ουσιῶν, οἷον οἱ λέγοντες τά τε εἴδη καὶ τὰ μεταξύ, περὶ ἃ τὰς μαθηματικὰς εἶναί φασιν ἐπιστήμας. ὡς μὲν οὖν λέγομεν τὰ εἴδη αἴτιά τε καὶ ουσίας εἶναι καθ' αὑτὰς εἴρηται ἐν τοῖς πρώτοις λόγοις περὶ αὐτῶν· πολλαχῇ δ' ἐχόντων δυσκολίαν, ουθενὸς ἧττον ἄτοπον τὸ φάναι μὲν εἶναί τινας φύσεις παρὰ τὰς ἐν τῷ ουρανῷ, ταύτας δὲ τὰς αὐτὰς φάναι τοῖς αἰσθητοῖς πλὴν ὅτι τὰ μὲν ἀΐδια τὰ δὲ φθαρτά. αὐτὸ γὰρ ἄνθρωπόν φασιν εἶναι καὶ ἵππον καὶ ὑγίειαν, ἄλλο δ' οὐδέν, παραπλήσιον ποιοῦντες τοῖς θεοὺς μὲν εἶναι φάσκουσιν, ἀνθρωποειδεῖς δέ· οὔτε γὰρ ἐκεῖνοι οὐθὲν ἄλλο ἐποίουν ἢ ἀνθρώπους ἀϊδίους, οὔθ' οὗτοι τὰ εἴδη ἀλλ' ἢ αἰσθητὰ ἀΐδια. ἔτι δὲ εἴ τις παρὰ τὰ εἴδη καὶ τὰ αἰσθητὰ τὰ μεταξὺ θήσεται, πολλὰς ἀπορίας ἕξει. δῆλον γὰρ ὡς ὁμοίως γραμμαί τε παρ' αὐτὰς καὶ τὰς αἰσθητὰς ἔσονται καὶ ἕκαστον τῶν ἄλλων γενῶν· ὥστ' ἐπείπερ ἡ ἀστρολογία μία τούτων ἐστίν, ἔσται τις καὶ οὐρανὸς παρὰ τὸν αἰσθητὸν οὐρανὸν καὶ ἥλιος καὶ σελήνη καὶ τἆλλα ὁμοίως τὰ κατὰ τὸν οὐρανόν. καίτοι πῶς δεῖ πιστεῦ- 47
σαι τούτοις; οὐδὲ γὰρ ἀκίνητον εὔλογον εἶναι, κινούμενον δὲ καὶ παντελῶς ἀδύνατον. ὁμοίως δὲ καὶ περὶ ὧν ἡ ὀπτικὴ πραγματεύεται καὶ ἡ ἐν τοῖς μαθήμασιν ἁρμονική· καὶ γὰρ ταῦτα ἀδύνατον εἶναι παρὰ τὰ αἰσθητὰ διὰ τὰς αὐτὰς αἰτίας· εἰ γάρ ἐστιν αἰσθητὰ μεταξὺ καὶ αἰσθήσεις, δῆλον ὅτι καὶ ζῷα ἔσονται μεταξὺ αὐτῶν τε καὶ τῶν φθαρτῶν. ἀπορήσειε δ' ἄν τις καὶ παρὰ ποῖα τῶν ὄντων δεῖ ζητεῖν ταύτας τὰς ἐπιστήμας. εἰ γὰρ τούτῳ διοίσει τῆς γεωδαισίας ἡ γεωμετρία μόνον, ὅτι ἡ μὲν τούτων ἐστὶν ὧν αἰσθανόμεθα ἡ δ' οὐκ αἰσθητῶν, δῆλον ὅτι καὶ παρ' ἰατρικὴν ἔσται τις ἐπιστήμη καὶ παρ' ἑκάστην τῶν ἄλλων μεταξὺ αὐτῆς τε ἰατρι-

997*b* 1. ὄντα τῶν οὐσιῶν om *as*. | 2. ἃ om *A^b*. | 3. καὶ] τῆς *G^b*. | 5. πολλὰς δ' ἐχόντων δυσκολίας *F^b* et Alex. | 7. ὅτι] τί *A^b*. | 9. καὶ αὐτὸ ἵππον *Tias*. | παραπλήσιον μὲν ποιοῦντες *Tas*. | 10. δέ] δ' εἶναι *A^b*. | 11. ποιοῦσιν *I^b*. | 12. ἀλλ' ἢ] fort. ἄλλο ἤ, cf. Alex p. 153, 10. | 13. τὰ post αἰσθητὰ om *F^b*. | τίθεται *F^b*. | 14. παρὰ ταύτας *A^b*. | 17. ἥλιός τε καὶ *EA^bcb*: ceteri et Alex ἥλιος καὶ. | 21. μαθηματικοῖς *Tas*. | 22. ἀδύνατα *S*. | περὶ *G^b*. | 23. ante καὶ αἰσθήσεις apodosin orditur Alex. | 25. παρὰ *E* Alex, περὶ an παρὰ dubium *F^b*: ceteri et *cb* περὶ. | 26. τοῦτο *as*. | γεωδεσίας *G^b*. | τῆς γεωδ. ἡ γεωμ. μόνον] τῆς γεωμετρίας μόνον *as*, *a geometria geodaesia i*. | 27. ἃ *ESTB^bC^bG^bI^b*. | 28. δῆλον οὖν ὅτι καὶ *SB^b*, δῆλον καὶ *G^b*. | ἔσται] οὐκ ἔσται *G^b*. | 29. ἑκάστης *G^b*. | αὐτῆς] τῆς *G^bI^b*.

Digitized by Google

κῆς καὶ τῆσδε τῆς ἰατρικῆς. καίτοι πῶς τȣ̃το δυνατόν; καὶ γὰρ ἂν ὑγιείν᾽ ἄττα εἴη παρὰ τὰ αἰσθητὰ καὶ αὐτὸ τὸ ὑγιεινόν. ἅμα δὲ οὐδὲ τοῦτο ἀληθές, ὡς ἡ γεωδαισία τῶν αἰσθητῶν ἐστὶ μεγεθῶν καὶ φθαρτῶν· ἐφθείρετο γὰρ ἂν φθειρομένων. ἀλλὰ μὴν ȣ̓δὲ τῶν αἰσθητῶν ἂν εἴη μεγεθῶν ȣ̓δὲ περὶ τὸν ȣ̓ρανὸν ἡ ἀςρολογία τόνδε. ȣ̓́τε γὰρ αἱ αἰσθηταὶ γραμμαὶ τοιαῦταί εἰσιν οἵας λέγει ὁ γεωμέτρης· οὐθὲν 998*a*
γὰρ εὐθὺ τῶν αἰσθητῶν ȣ̔́τως ȣ̓δὲ ςρογγύλον· ἅπτεται γὰρ τȣ̃ κανόνος ȣ̓ κατὰ ςιγμὴν ὁ κύκλος, ἀλλ᾽ ὥσπερ Πρωταγόρας ἔλεγεν ἐλέγχων τȣ̀ς γεωμέτρας, ȣ̓́θ᾽ αἱ κινήσεις καὶ ἕλικες τȣ̃ ȣ̓ρανȣ̃ ὅμοιαι, περὶ ὧν ἡ ἀςρολογία ποιεῖται τοὺς λόγους, οὔτε τὰ σημεῖα τοῖς ἄςροις τὴν αὐτὴν ἔχει φύσιν. εἰσὶ δέ τινες οἵ φασιν εἶναι μὲν τὰ μεταξὺ ταῦτα λεγόμενα τῶν τε εἰδῶν καὶ τῶν αἰσθητῶν, ȣ̓ μὴν χωρίς γε τῶν αἰσθη-
48 τῶν ἀλλ᾽ ἐν τούτοις· οἷς τὰ συμβαίνοντα ἀδύνατα πάντα μὲν πλείονος λόγȣ διελθεῖν, ἱκανὸν δὲ καὶ τὰ τοιαῦτα θεωρῆσαι. οὔτε γὰρ ἐπὶ τȣ́των εὔλογον ἔχειν ȣ̔́τω μόνον, ἀλλὰ δῆλον ὅτι καὶ τὰ εἴδη ἐνδέχοιτ᾽ ἂν ἐν τοῖς αἰσθητοῖς εἶναι· τȣ̃ γὰρ αὐτȣ̃ λόγȣ ἀμφότερα ταῦτά ἐςιν. ἔτι δὲ δύο ςερεὰ ἐν τῷ αὐτῷ ἀναγκαῖον εἶναι τόπῳ, καὶ μὴ εἶναι ἀκίνητα ἐν κινουμένοις γε ὄντα τοῖς αἰσθητοῖς. ὅλως δὲ τίνος ἕνεκ᾽ ἄν τις θείη εἶναι μὲν αὐτά, εἶναι δ᾽ ἐν τοῖς αἰσθητοῖς; ταὐτὰ γὰρ συμβήσεται ἄτοπα τοῖς προειρημένοις· ἔςαι γὰρ ȣ̓ρανός τις παρὰ τὸν οὐρανόν, πλήν γ᾽ οὐ χωρὶς ἀλλ᾽ ἐν τῷ αὐτῷ τόπῳ· ὅπερ ἐςὶν ἀδυνατώτερον.

3 Περί τε τȣ́των ȣ̃ν ἀπορία πολλὴ πῶς δεῖ θέμενον τυχεῖν τῆς ἀληθείας, καὶ περὶ τῶν ἀρχῶν πότερον δεῖ τὰ γένη στοιχεῖα καὶ ἀρχὰς ὑπολαμβάνειν ἢ μᾶλλον ἐξ ὧν ἐνυ-

30. τῆσδε] τῆς τε $G^b$. | τῆς om *S*. | 31. ἂν om *T*. | ἄττα] τὰ $A^b$. | περὶ $G^b$. | 32. οὐδὲ add *ESTA*$^b$*G*$^b$*i* Alex. | ἡ om *T*. | 34. οὐδ᾽ αἰσθητῶν $A^b$. | 35. οὐδ᾽ ἡ περὶ τὸν οὐρανὸν ἀστρολογία $A^bG^b$. | αἱ om $A^b$.

998*a* 2. οὔτε $G^b$. | 4. τοὺς γεωμέτρας ἐλέγχων *T*. | καὶ] καὶ αἱ *E Sas*. | 5. τοῦ οὐρανοῦ om *S*. | ὅμοιαι et ἡ om $A^b$. | 6. τὰ om $G^b$. | φύσιν ἔχει *S*. | 7. φασι μὲν εἶναι *as*. | ταῦτα τὰ λεγόμενα *S*. | 8. γε χωρὶς $F^b$. | 9. οἷς] οἱ pr *E*. | συμβεβηκότα *T*. | 11. οὕτω om $SB^bC^b$. | μόνων $G^bI^b$. | 12. καὶ τὰ om *as*. | 13. τε *E*. | 14. ἀναγκαῖον ἐν τῷ αὐτῷ $G^b$ $I^b$. | 15. γε] τε *Ta*. | δὲ] δὲ καὶ *Tas*. | 17. ταῦτα *as*. | γὰρ καὶ συμβήσεται $G^b$. | ἄτοπον $SB^bas$. | εἰρημένοις $G^b$. | γὰρ] γοῦν *T*. | 19. περ om $A^b$. | 20. οὖν om $A^b$. | 21. πότερα *E*. | 22. ὑπαρχόντων $A^b$.

Digitized by Google

παρχόντων ἐστὶν ἕκαστον πρώτων, οἷον φωνῆς ςοιχεῖα καὶ ἀρχαὶ δοκοῦσιν εἶναι ταῦτ' ἐξ ὧν σύγκειται αἱ φωναὶ πᾶσαι πρώτων, ἀλλ' οὐ τὸ κοινὸν ἡ φωνή· καὶ τῶν διαγραμμάτων ταῦτα ςοιχεῖα λέγομεν, ὧν αἱ ἀποδείξεις ἐνυπάρχουσιν ἐν ταῖς τῶν ἄλλων ἀποδείξεσιν ἢ πάντων ἢ τῶν πλείςων. ἔτι δὲ τῶν σωμάτων καὶ οἱ πλείω λέγοντες εἶναι στοιχεῖα καὶ οἱ ἕν, ἐξ ὧν σύγκειται καὶ ἐξ ὧν συνέςηκεν ἀρχὰς λέγουσιν εἶναι, οἷον Ἐμπεδοκλῆς πῦρ καὶ ὕδωρ καὶ τὰ μετὰ τούτων ςοιχεῖά φησιν εἶναι ἐξ ὧν ἔςι τὰ ὄντα ἐνυπαρχόντων, ἀλλ' οὐχ ὡς γένη λέγει ταῦτα τῶν ὄντων. πρὸς δὲ 998b τούτοις καὶ τῶν ἄλλων εἴ τις ἐθέλει τὴν φύσιν ἀθρεῖν, οἷον κλίνην ἐξ ὧν μορίων συνέστηκε καὶ πῶς συγκειμένων, τότε γνωρίζει τὴν φύσιν αὐτῆς. ἐκ μὲν οὖν τούτων τῶν λόγων οὐκ 49 ἂν εἴησαν αἱ ἀρχαὶ τὰ γένη τῶν ὄντων· ᾗ δ' ἕκαστον μὲν γνωρίζομεν διὰ τῶν ὁρισμῶν, ἀρχαὶ δὲ τὰ γένη τῶν ὁρισμῶν εἰσίν, ἀνάγκη καὶ τῶν ὁριςῶν ἀρχὰς εἶναι τὰ γένη. κἂν εἰ ἔςι τὴν τῶν ὄντων λαβεῖν ἐπιςήμην τὸ τῶν εἰδῶν λαβεῖν καθ' ἃ λέγονται τὰ ὄντα, τῶν γε εἰδῶν ἀρχαὶ τὰ γένη εἰσίν. φαίνονται δέ τινες καὶ τῶν λεγόντων ςοιχεῖα τῶν ὄντων τὸ ἓν ἢ τὸ ὂν ἢ τὸ μέγα καὶ τὸ μικρὸν ὡς γένεσιν αὐτοῖς χρῆσθαι. ἀλλὰ μὴν οὐδὲ ἀμφοτέρως γε οἷόν τε λέγειν τὰς ἀρχάς. ὁ μὲν γὰρ λόγος τῆς οὐσίας εἷς· ἕτερος δ' ἔσται ὁ διὰ τῶν γενῶν ὁρισμὸς καὶ ὁ λέγων ἐξ ὧν ἔςιν ἐνυπαρχόντων. πρὸς δὲ τούτοις εἰ καὶ ὅτι μάλιςα ἀρχαὶ τὰ γένη εἰσί, πότερον δεῖ νομίζειν τὰ πρῶτα τῶν γενῶν ἀρχὰς ἢ τὰ ἔσχατα κατηγορούμενα ἐπὶ τῶν ἀτόμων; καὶ γὰρ τοῦτο ἔχει ἀμφισβήτησιν. εἰ μὲν γὰρ ἀεὶ τὰ καθόλου μᾶλλον ἀρχαί,

23. ἕκαστα $F^b$. | πρώτων rc $I^b$ et Alex p. 157, 26: ceteri et **cb** πρῶτον. | 24. ταῦτ' om $G^bI^b$. | σύγκειται $G^b$. | πᾶσαι om $A^bG^b$. | 25. πρῶτον $TA^b$**ias**, αὐτῶν $G^b$. | 26. τοιαῦτα $G^b$. | ἐνυπάρχοντα $A^b$. | 27. τῶν ἄλλων] τούτων $A^b$**cb**: ceteri τῶν ἄλλων. | 28. δὲ καὶ τῶν $G^b$. | 29. σύγκειται $G^bI^b$: ceteri σύγκεινται. | 30. μετὰ τούτων] μεταξὺ $A^b$, τοιαῦτα **S**. | 32. ταῦτα λέγει **Tas**.

998*b* 1. ἐθέλοι $TG^bI^b$ et fort. **i**, θέλει $A^b$. | 2. συνέστηκε $A^b$ Alex: ceteri ἐστὶ. | συγκειμένων καὶ τότε $A^b$. | 4. ᾗ] εἰ $A^bG^b$ Ascl. | 6. κἂν] καὶ $F^bG^bI^b$. | 7. τὴν om $F^bG^b$. | 8. καθὸ λέγονται $SA^b$. | τὰ γένη ἀρχαὶ $A^b$**cb**: ceteri et Alex ἀρχαὶ τὰ γένη. | 10. ἓν ἢ] ἓν καὶ $TA^b$. | τὸ post καὶ om $ESA^bG^bI^b$. | 11. γε om $F^b$. | 12. γὰρ] γὰρ ὁ $I^b$. | ἐστὶν pr $I^b$. | 13. γενῶν ὁ ὁρισμὸς $ETA^b$**s**. | 14. καὶ ὅτι] ἔτι καὶ $F^b$. | 15. πότερον $A^bG^bI^b$ Alex: vulgo πότερα. | 16. ἐπὶ om $G^b$. | 17. εἰ] ᾗ **E**. | ἀεὶ scripsi cum Alex p. 160, 5, δεῖ $A^b$: ceteri et **cb** ὅτι. | ἀρχὰς $A^b$.

Digitized by Google

φανερὸν ὅτι τὰ ἀνωτάτω τῶν γενῶν· ταῦτα γὰρ λέγεται κατὰ πάντων. τοσαῦται οὖν ἔσονται ἀρχαὶ τῶν ὄντων ὅσαπερ τὰ πρῶτα γένη, ὥστ' ἔσται τό τε ὂν καὶ τὸ ἓν ἀρχαὶ καὶ οὐσίαι· ταῦτα γὰρ κατὰ πάντων μάλιστα λέγεται τῶν ὄντων. οὐχ οἷόν τε δὲ τῶν ὄντων οὔτε τὸ ἓν οὔτε τὸ ὂν εἶναι γένος· ἀνάγκη μὲν γὰρ τὰς διαφορὰς ἑκάστου γένους καὶ εἶναι καὶ μίαν εἶναι ἑκάστην, ἀδύνατον δὲ κατηγορεῖσθαι ἢ τὰ εἴδη τοῦ γένους ἐπὶ τῶν οἰκείων διαφορῶν, ἢ τὸ γένος ἄνευ τῶν αὐτοῦ εἰδῶν· ὥστ' εἴπερ τὸ ἓν γένος ἢ τὸ ὄν, οὐδεμία διαφορὰ οὔτε ὂν οὔτε ἓν ἔσται. ἀλλὰ μὴν εἰ μὴ γένη, οὐδ' ἀρχαὶ ἔσονται, εἴπερ ἀρχαὶ τὰ γένη. ἔτι καὶ τὰ μεταξὺ συλλαμβανόμενα μετὰ τῶν διαφορῶν ἔσται γένη μέχρι τῶν ἀτόμων· νῦν δὲ τὰ μὲν δοκεῖ τὰ δ' οὐ δοκεῖ. πρὸς δὲ τούτοις ἔτι μᾶλλον αἱ διαφοραὶ ἀρχαὶ ἢ τὰ γένη· εἰ δὲ καὶ αὗται ἀρχαί, ἄπειροι ὡς εἰπεῖν ἀρχαὶ γίγνονται, ἄλλως τε κἄν τις τὸ πρῶτον γένος ἀρχὴν τιθῇ. 999a ἀλλὰ μὴν καὶ εἰ μᾶλλόν γε ἀρχοειδὲς τὸ ἕν ἐστιν, ἓν δὲ τὸ ἀδιαίρετον, ἀδιαίρετον δὲ ἅπαν ἢ κατὰ τὸ ποσὸν ἢ κατὰ τὸ εἶδος, πρότερον δὲ τὸ κατ' εἶδος, τὰ δὲ γένη διαιρετὰ εἰς εἴδη, μᾶλλον ἂν ἓν τὸ ἔσχατον εἴη κατηγορούμενον· οὐ γάρ ἐστι γένος ὁ ἄνθρωπος τῶν τινῶν ἀνθρώπων. ἔτι ἐν οἷς τὸ πρότερον καὶ ὕστερόν ἐστιν, οὐχ οἷόν τε τὸ ἐπὶ τούτων εἶναί τι παρὰ ταῦτα· οἷον εἰ πρώτη τῶν ἀριθμῶν ἡ δυάς, οὐκ ἔσται τις ἀριθμὸς παρὰ τὰ εἴδη τῶν ἀριθμῶν· ὁμοίως δὲ οὐδὲ σχῆμα παρὰ τὰ εἴδη τῶν σχημάτων. εἰ δὲ μὴ τούτων, σχολῇ τῶν γε ἄλλων ἔσται τὰ γένη παρὰ τὰ εἴδη· τούτων γὰρ δοκεῖ μάλιστα εἶναι γένη. ἐν δὲ τοῖς ἀτόμοις οὐκ ἔστι τὸ μὲν πρότερον τὸ δ' ὕστε-

19. ἀρχαὶ ἔσονται $G^bI^b$. | 20. ἓν καὶ τὸ ὂν Alex. | 21. μάλιστα λέγεται κατὰ πάντων Alex. | 22. τῶν ὄντων om $A^b$. | οὔτε τὸ ἓν — γένος $A^b$*i*: ceteri ἓν εἶναι γένος οὔτε τὸ ἓν οὔτε τὸ ὄν, fort. recte. | 24. ἑκάστην εἶναι *T*. | δὲ] γὰρ $G^bI^b$. | εἴδη ἄνευ τοῦ $EG^bI^b$. | 25. ἐπὶ $A^b$ Alex, καὶ $EG^bI^b$, om *as*. | post γένος add *esse i*. | ἄνευ τούτων τῶν $A^bI^b$. | 26. ὡς $I^b$. | 26. 27. οὔτε ἓν οὔτε ὂν $ESTB^bC^b$, οὔτε τὸ ὂν οὔτε τὸ ἓν *as*. | 27. οὐκ $F^b$. | 28. τὰ post καὶ om *T*. | 31. αὐταὶ *E*.

999*a* 1. τιθῇ ὡς ἀρχήν $G^bI^b$. | γε om $F^b$. | 3. τὸ om $I^b$. | κατ' εἶδος $A^b$ et fort. Alex. | 4. τὰ γένη δὲ *as*. | διαιρεῖται $I^b$. | ἓν ἂν *Tas*. | ἓν τὸ om $G^b$. | εἴη τὸ ἔσχατον *T*. | 5. ἐστι] ἐστι τὸ *E*, om Alex. | ὁ add $A^b$ $G^bI^b$*cb*, sed fort. omittendum cum ceteris et Alex. | 6. τὸ om $C^b$. | 7. ἐστι ante 6. τὸ $F^b$. | 8. ἔστι *S*. | 9. τῶν] τὰ τῶν $A^b$, τούτων τῶν $G^b$. | οὐδὲ om $A^b$. | σχήματα *Tas*.

Digitized by Google

ρον. ἔτι ὅπου τὸ μὲν βέλτιον τὸ δὲ χεῖρον, ἀεὶ τὸ βέλτιον πρότερον· ὥς' οὐδὲν τούτων ἂν εἴη γένος. ἐκ μὲν οὖν τούτων μᾶλλον φαίνεται τὰ ἐπὶ τῶν ἀτόμων κατηγορούμενα ἀρχαὶ εἶναι τῶν γενῶν. πάλιν δὲ πῶς αὖ δεῖ ταύτας ἀρχὰς ὑπολαβεῖν οὐ ῥᾴδιον εἰπεῖν. τὴν μὲν γὰρ ἀρχὴν δεῖ καὶ τὴν αἰτίαν εἶναι παρὰ τὰ πράγματα ὧν ἀρχή, καὶ δύνασθαι εἶναι χωριζομένην αὐτῶν· τοιοῦτον δέ τι παρὰ τὸ καθ' ἕκαςον εἶναι διὰ τί ἂν τις ὑπολάβοι, πλὴν ὅτι καθόλου κατηγορεῖται καὶ κατὰ πάντων; ἀλλὰ μὴν εἰ διὰ τοῦτο, τὰ μᾶλλον καθόλου μᾶλλον θετέον ἀρχάς· ὥςε ἀρχαὶ τὰ πρῶτ' 51 ἂν εἴησαν γένη.

4 Ἔςι δ' ἐχομένη τε τούτων ἀπορία καὶ πασῶν χαλεπωτάτη καὶ ἀναγκαιοτάτη θεωρῆσαι, περὶ ἧς ὁ λόγος ἐφέςηκε νῦν. εἴτε γὰρ μὴ ἔςι τι παρὰ τὰ καθ' ἕκαστα, τὰ δὲ καθ' ἕκαςα ἄπειρα, τῶν [δ'] ἀπείρων πῶς ἐνδέχεται λαβεῖν ἐπιςήμην; ᾗ γὰρ ἕν τι καὶ ταὐτόν, καὶ ᾗ καθόλου τι ὑπάρχει, ταύτῃ πάντα γνωρίζομεν. ἀλλὰ μὴν εἰ τοῦτο ἀναγκαῖόν ἐςι, καὶ δεῖ τι εἶναι παρὰ τὰ καθ' ἕκαςα, ἀναγκαῖον ἂν εἴη τὰ γένη εἶναι παρὰ τὰ καθ' ἕκαστα, ἤτοι τὰ ἔσχατα ἢ τὰ πρῶτα· τοῦτο δ' ὅτι ἀδύνατον ἄρτι διηπορήσαμεν. ἔτι εἰ ὅτι μάλιςα ἔςι τι παρὰ τὸ σύνολον, ὅταν κατηγορηθῇ τι τῆς ὕλης, πότερον, εἰ ἔστιν [εἶδός τι], παρὰ πάντα δεῖ εἶναί τι, ἢ παρὰ μὲν ἔνια εἶναι παρὰ δ' ἔνια μή 999*b* εἶναι, ἢ παρ' οὐθέν; εἰ μὲν οὖν μηθέν ἐςι παρὰ τὰ καθ' ἕκαστα, οὐθὲν ἂν εἴη νοητὸν ἀλλὰ πάντα αἰσθητὰ καὶ ἐπιςήμη οὐθενός, εἰ μή τις εἶναι λέγει τὴν αἴσθησιν ἐπιςήμην. ἔτι οὐδ' ἀΐδιον οὐθὲν οὐδ' ἀκίνητον· τὰ γὰρ αἰσθητὰ πάντα φθείρεται καὶ ἐν κινήσει ἐςίν. ἀλλὰ μὴν εἴ γε ἀΐδιον οὐθὲν ἐςιν, οὐδὲ γένεσιν εἶναι δυνατόν· ἀνάγκη γὰρ εἶναί τι τὸ γιγνό-

13. τὸ βέλτιον ἀεὶ *S*. | 14. οὐδὲ $ESA^b$. | 16. ταῦτα $C^bG^bs$. | ὑπολαβεῖν ἀρχὰς $A^b as$. | 17. εἰπεῖν om $A^b$. | 18. εἶναι ante 17. δεῖ $A^b$. | 20. διὰ] διὸ $C^bG^bI^bs$. | 24. τε om $F^b$. | 25. ὁ om *s*. | 26. εἰ $A^b$. | τὰ δὲ — 27. ἄπειρα om *S*. | 27. δ' *cb*, nulla notata e codd. var. lect., om *as*; vel omittendum est vel mutandum in γ'. | 28. ταυτό $A^b$. | ᾗ om *S*. | 30. ἀναγκαῖον ἂν — 31. καθ' ἕκαστα Ascl *ias* et fort. Alex, om *c* et *b*, omnes suos ut videntur codices secuti. | 33. εἰ] δ' $A^b$, om $F^b$. | τι om $A^b$. | 34. κατηγορηθήσης τῆς $G^b$. | τῆς om *as*. | εἶδος om *E*. | τι om *S*, εἶδός τι om Alex p. 170, 25. 166, 30 sqq. *c*.

999*b* 3. λέγοι $I^b$. | post ἔτι add δ' $A^b cb$. | 5. μηθέν $EI^b as$.

μενον καὶ ἐξ οὗ γίγνεται καὶ τούτων τὸ ἔσχατον ἀγέννητον, εἴπερ ἵσταταί τε καὶ ἐκ μὴ ὄντος γίγνεσθαι ἀδύνατον. ἔτι δὲ γενέσεως οὔσης καὶ κινήσεως ἀνάγκη καὶ πέρας εἶναι· οὔτε γὰρ ἄπειρός ἐστιν οὐδεμία κίνησις ἀλλὰ πάσης ἔστι τέλος, γίγνεσθαί τε οὐχ οἷόν τε τὸ ἀδύνατον γενέσθαι· τὸ δὲ γεγονὸς ἀνάγκη εἶναι ὅτε πρῶτον γέγονεν. ἔτι δ' εἴπερ ἡ ὕλη ἔστι διὰ τὸ ἀγέννητος εἶναι, πολὺ ἔτι μᾶλλον εὔλογον εἶναι
52 τὴν οὐσίαν ὅ ποτε ἐκείνη γίγνεται· εἰ γὰρ μήτε τοῦτο ἔσται μήτε ἐκείνη, οὐθὲν ἔσται τὸ παράπαν. εἰ δὲ τοῦτο ἀδύνατον, ἀνάγκη τι εἶναι παρὰ τὸ σύνολον τὴν μορφὴν καὶ τὸ εἶδος. εἰ δ' αὖ τις τοῦτο θήσει, ἀπορία ἐπὶ τίνων τε θήσει τοῦτο καὶ ἐπὶ τίνων οὔ. ὅτι μὲν γὰρ ἐπὶ πάντων οὐχ οἷόν τε, φανερόν· οὐ γὰρ ἂν θείημεν εἶναί τινα οἰκίαν παρὰ τὰς τινὰς οἰκίας. πρὸς δὲ τούτοις πότερον ἡ οὐσία μία πάντων ἔσται, οἷον τῶν ἀνθρώπων; ἀλλ' ἄτοπον· ἓν γὰρ ἅπαντα ὧν ἡ οὐσία μία. ἀλλὰ πολλὰ καὶ διάφορα; ἀλλὰ καὶ τοῦτο ἄλογον. ἅμα δὲ καὶ πῶς γίγνεται ἡ ὕλη τούτων ἕκαστον καὶ ἔστι τὸ σύνολον ἄμφω ταῦτα; ἔτι δὲ περὶ τῶν ἀρχῶν καὶ τόδε ἀπορήσειεν ἄν τις. εἰ μὲν γὰρ εἴδει εἰσὶν ἕν, οὐθὲν ἔσται ἀριθμῷ ἕν, οὐδ' αὐτὸ τὸ ἓν καὶ τὸ ὄν. καὶ τὸ ἐπίστασθαι πῶς ἔσται, εἰ μή τι ἔσται ἓν ἐπὶ πάντων; ἀλλὰ μὴν εἰ ἀριθμῷ ἓν καὶ μία ἑκάστη τῶν ἀρχῶν, καὶ μὴ ὥσπερ ἐπὶ τῶν αἰσθητῶν ἄλλαι ἄλλων, οἷον τῆσδε τῆς συλλαβῆς τῷ εἴδει τῆς αὐτῆς οὔσης καὶ αἱ ἀρχαὶ εἴδει αἱ αὐταί· καὶ γὰρ αὗται ὑπάρχουσιν ἀριθμῷ ἕτεραι· εἰ δὲ μὴ οὕτως, ἀλλ' αἱ τῶν ὄντων ἀρχαὶ ἀριθμῷ ἕν εἰσιν, οὐκ ἔσται παρὰ τὰ στοιχεῖα οὐθὲν ἕτερον· τὸ γὰρ ἀριθμῷ ἓν ἢ τὸ καθ' ἕκαστον λέγειν διαφέρει οὐθέν· οὕτω γὰρ λέγομεν τὸ καθ' ἕκαστον

7. τοῦτο $G^b$. | 8. γίγνεσθαι $F^b$ et Alex, γενέσθαι *ascb*. | 8. 9. ὅτι δὲ ἐκ γενέσεως *S*. | 9. καὶ γενέσεως $F^b$. | καὶ ante πέρας om *S*. | 10. ἀλλὰ καὶ *as*. | 12. ὅτε τὸ πρῶτον $G^bI^b$. | ἡ om *as*. | 13. μᾶλλον ἔτι $SB^bC^b$. | 14. ὅ ποτε *E* Alex, ὁπότε *iascb*. | γίγνεται] γίγνεται εἶναι $TA^bG^b$*as* et fort. *i*. | εἰ — 15. παράπαν om *S*. | 15. ἐκεῖνο $G^b$, modo ἐκεῖνο modo ἐκείνη Alex. | 16. τι om *T* Alex. | τὴν] τι τὴν *T*. | 17. αὖ τις] αὖθις $TG^b$*as*. | τοῦτο θήσει *T*. | 21. ἀλλ' ἄτοπον om $F^b$. | ἓν γὰρ $G^bI^b$ Alex Syr, οὐ γὰρ πάντων ἡ γρ Syr: ceteri οὐ γὰρ ἕν. | πάντα $I^b$. | ἡ om $A^b$. | 22. τούτοις $A^b$. | 23. ἡ] ποτε ἡ $A^b$. | τούτων] τούτων ἓν $G^bI^b$. | ἑκάστου *Ts*. | 24. περὶ — 25. τόδε om $A^b$. | 25. τόδε] τοῦτο $F^b$. | εἴδη $F^b$. | 26. αὐτὸ] αὖ $I^b$. | τὸ om $EG^b$. | τὸ ante ὂν om *ST*. | 27. ὅπως $F^b$. | 29. ἐπὶ add $ESA^b$. | 30. αἱ add $A^b$. | αἱ om *T*. | 32. ἀρχαὶ add $A^b$. | ἓν om $ESA^b$.



Digitized by Google

1000*a* τὸ ἀριθμῷ ἕν, καθόλου δὲ τὸ ἐπὶ τούτων. ὥσπερ οὖν εἰ τὰ τῆς φωνῆς ἀριθμῷ ἦν στοιχεῖα ὡρισμένα, ἀναγκαῖον ἦν τοσαῦτα εἶναι τὰ πάντα γράμματα ὅσαπερ τὰ στοιχεῖα, μὴ ὄντων γε δύο τῶν αὐτῶν μηδὲ πλειόνων.

Οὐθενὸς δ' ἐλάττων ἀπορία παραλέλειπται καὶ τοῖς νῦν καὶ τοῖς πρότερον, πότερον αἱ αὐταὶ τῶν φθαρτῶν καὶ 53 τῶν ἀφθάρτων ἀρχαί εἰσιν ἢ ἕτεραι. εἰ μὲν γὰρ αἱ αὐταί εἰσι, πῶς τὰ μὲν φθαρτὰ τὰ δὲ ἄφθαρτα, καὶ διὰ τίν' αἰτίαν; οἱ μὲν οὖν περὶ Ἡσίοδον καὶ πάντες ὅσοι θεολόγοι μόνον ἐφρόντισαν τοῦ πιθανοῦ τοῦ πρὸς αὐτούς, ἡμῶν δ' ὠλιγώρησαν· θεοὺς γὰρ ποιοῦντες τὰς ἀρχὰς καὶ ἐκ θεῶν γεγονέναι, τὰ μὴ γευσάμενα τοῦ νέκταρος καὶ τῆς ἀμβροσίας θνητὰ γενέσθαι φασίν, δῆλον ὡς ταῦτα τὰ ὀνόματα γνώριμα λέγοντες αὑτοῖς. καίτοι περὶ αὐτῆς τῆς προσφορᾶς τῶν αἰτίων τούτων ὑπὲρ ἡμᾶς εἰρήκασιν. εἰ μὲν γὰρ χάριν ἡδονῆς αὐτῶν θιγγάνουσιν, οὐθὲν αἴτια τοῦ εἶναι τὸ νέκταρ καὶ ἡ ἀμβροσία· εἰ δὲ τοῦ εἶναι, πῶς ἂν εἶεν ἀΐδιοι δεόμενοι τροφῆς; ἀλλὰ περὶ μὲν τῶν μυθικῶς σοφιζομένων οὐκ ἄξιον μετὰ σπουδῆς σκοπεῖν· παρὰ δὲ τῶν δι' ἀποδείξεως λεγόντων δεῖ πυνθάνεσθαι διερωτῶντας τί δή ποτ' ἐκ τῶν αὐτῶν ὄντα τὰ μὲν ἀΐδια τὴν φύσιν ἐστὶ τὰ δὲ φθείρεται τῶν ὄντων. ἐπεὶ δ' οὔτε αἰτίαν λέγουσιν οὔτε εὔλογον οὕτως ἔχειν, δῆλον ὡς οὐχ αἱ αὐταὶ ἀρχαὶ οὐδὲ αἰτίαι ἂν αὐτῶν εἶεν. καὶ γὰρ ὅνπερ οἰηθείη λέγειν ἄν τις μάλιστα ὁμολογουμένως αὑτῷ, Ἐμπεδοκλῆς, καὶ οὗτος ταὐτὸν πέπονθεν· τίθησι μὲν γὰρ ἀρχήν τινα αἰτίαν τῆς φθορᾶς τὸ νεῖκος, δόξειε δ' ἂν οὐθὲν ἧττον καὶ τοῦτο

1000*a* 1. τὸ ἀρ.] τῷ ἀρ. *ST*. | οὖν] fort. ἄν, quod iam Fonseca coniecit, ita quidem ut verba τὸ γὰρ ἀριθμῷ — τὸ ἐπὶ τούτων parenthesi includantur; Alex οὖν habet et deesse apodosin monet p. 173, 21. 26. | 2. φωνῆς ἐν ἀριθμῷ *EST*$G^b$$I^b$*ias*. | ὡρισμένῳ $A^b$. | ἦν ἂν τ. *ES*. | 3. ὅσαπερ — 4. πλειόνων om *T*. | 3. τὰ om $A^b$. | 8. εἰσι om $A^b$. | ἄφθαρτα τὰ δὲ φθαρτά *ET*$G^b$*as*. | 10. τοῦ μόνον ἐφρόντισαν πιθανοῦ *as*. | τοῦ ante πρὸς om $G^b$ $I^b$. | 11. ἐκ τῶν θεῶν *E*$G^b$*as*. | 13. ὡς] δὲ ὡς *Sas*. | 14. αὐτοῖς Alex. | καίτοι καὶ περὶ *E*. | προφορᾶς *EST*$A^b$*as*. | 16. ἡδονῆς περὶ αὐτῶν *ES Tas*. | ἐριγγάνουσιν $G^b$. | 17. ἀΐδιον *T*, ἀΐδια $I^b$. | 18. δεόμενα $I^b$. | μὲν om *S*. | μυθικῶν $A^b$. | 19. περὶ *STas*. | 20. δὴ om *T*. | 24. αὐτῶν ἂν $A^b$*cb*: ceteri ἂν αὐτῶν. | 25. αὐτῷ *as*. | 26. ταὐτὸν $A^b$: ceteri ταὐτό. | 27. δόξειε δ' ἂν οὐθὲν] ὡς δόξειεν ἄν, οὐθὲν δὲ $A^b$.

Digitized by Google

γεννᾶν ἔξω τοῦ ἑνός· ἅπαντα γὰρ ἐκ τούτου τἆλλά ἐστι πλὴν ὁ θεός. λέγει γοῦν «ἐξ ὧν πάνθ' ὅσα τ' ἦν ὅσα τ' ἔσθ' ὅσα τ' ἔσται ὀπίσσω, δένδρεά τ' ἐβλάστησε καὶ ἀνέρες ἠδὲ γυναῖκες, θῆρές τ' οἰωνοί τε καὶ ὑδατοθρέμμονες ἰχθῦς, καί τε θεοὶ δολιχαίωνες.» καὶ χωρὶς δὲ τούτων δῆ-
54 λον· εἰ γὰρ μὴ ἦν τὸ νεῖκος ἐν τοῖς πράγμασιν, ἓν ἂν 1000 b
ἦν ἅπαντα, ὥς φησιν· ὅταν γὰρ συνέλθῃ, τότε ἔσχατον ἵστατο νεῖκος. διὸ καὶ συμβαίνει αὐτῷ τὸν εὐδαιμονέστατον θεὸν ἧττον φρόνιμον εἶναι τῶν ἄλλων· οὐ γὰρ γνωρίζει τὰ στοιχεῖα πάντα· τὸ γὰρ νεῖκος οὐκ ἔχει, ἡ δὲ γνῶσις τοῦ ὁμοίου τῷ ὁμοίῳ. «γαίῃ μὲν γάρ,» φησι, «γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ, αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον, στοργὴν δὲ στοργῇ, νεῖκος δέ τε νείκεϊ λυγρῷ.» ἀλλ' ὅθεν δὴ ὁ λόγος, τοῦτό γε φανερόν, ὅτι συμβαίνει αὐτῷ τὸ νεῖκος μηθὲν μᾶλλον φθορᾶς ἢ τοῦ εἶναι αἴτιον. ὁμοίως δ' οὐδ' ἡ φιλότης τοῦ εἶναι· συνάγουσα γὰρ εἰς τὸ ἓν φθείρει τἆλλα. καὶ ἅμα δὲ αὐτῆς τῆς μεταβολῆς αἴτιον οὐθὲν λέγει, ἀλλ' ἢ ὅτι οὕτως πέφυκεν· «ἀλλ' ὅτε δὴ μέγα νεῖκος ἐνὶ μελέεσσιν ἐθρέφθη, εἰς τιμάς τ' ἀνόρουσε τελειομένοιο χρόνοιο, ὅς σφιν ἀμοιβαῖος πλατέος παρελήλαται ὅρκου,» ὡς ἀναγκαῖον μὲν ὂν μεταβάλλειν· αἰτίαν δὲ τῆς ἀνάγκης οὐδεμίαν δηλοῖ. ἀλλ' ὅμως τοσοῦτόν γε μόνον λέγει ὁμολογουμένως· οὐ γὰρ τὰ μὲν φθαρτὰ τὰ δὲ ἄφθαρτα ποιεῖ τῶν ὄντων, ἀλλὰ πάντα φθαρτὰ πλὴν τῶν στοιχείων. ἡ δὲ νῦν λεγομένη ἀπορία

28. γεννᾷ $A^b$. | ἔξω — 29. θεός] Alex fort. ἐκ γὰρ τοῦ ἑνὸς ἅπαντα καὶ ἐκ τούτου τὰ ἄλλα ἐστὶ πλὴν θεός p. 175, 13. | 28. ἔξω] ἐξ αὐτοῦ $G^b$as. | τἆλλα om *T*. | 30. ὅσα τ' ἔστιν $A^b$ et *E* mg, om $SB^bC^b$ et pr *E*. | ὀπίσσω om $A^b$. | ἀνέρες τ' ἠδὲ $A^b$. | 32. καί] κἄν $STA^b$asc.

1000 b 1. εἰ] εἰ μὲν *T*. | μὴ ἓν ἦν τὸ νεῖκος $G^b$as, μὴ ἓν ἦν $ESB^bC^b$, μὴ ἦν $A^b$c, ἐνῆν *T*: scribendum videtur μὴ ἐνῆν τὸ νεῖκος cum *i*. | 2. συνέλθωσι $A^b$. | post τότε add δ' $A^b$b. | 3. ἵστατο $A^b$, *statuitur i*: ceteri ἱστᾷ τὸ. | διὸ] ὧ $A^b$. | 4. θεὸν] βίον $G^b$as. | 5. τὰ στοιχεῖα om $A^b$. | ἅπαντα $A^bC^b$. | 6. γαίῃ μ. γ. φ. γαίην *a*. | 7. αἰθέρι — 8. ἀΐδηλον om $ESTB^b$. | 7. θεῖον $A^b$. | 7. 8. ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον om $A^b$a. | 8. στοργῇ τε στοργὴν $STB^bC^b$ia, στοργῇ δὲ στοργὴν s. | τε] τι $B^bC^b$, om *a*. | 9. ἄλλοθεν *a*. | δὴ] δὲ as. | 11. αἴτιον om $A^b$. | 12. μεταβολῆς τὸ αἴτιον $A^b$. | 13. ἢ add $ETA^bB^bC^b$. | ὅτι om *T*. | 14. εἰς] ἐπὶ $G^bI^b$. | 15. τελειομένοις χρόνοις $G^b$. | ὃς] ὧ *a*. | 16. παρελήλατο $ETC^b$asc, παρήλατο $SB^b$, fort. παρ' ἐλήλαται. | 17. τῆς $TA^b$: ceteri ἐξ. | 20. ἡ post λεγ. transponit *a*.



Digitized by Google

ἐςὶ διὰ τί τὰ μὲν τὰ δ' ὔ, εἴπερ ἐκ τῶν αὐτῶν ἐςίν. ὅτι μὲν ὖν ὐκ ἂν εἴησαν αἱ αὐταὶ ἀρχαί, τοσαῦτα εἰρήσθω. εἰ δὲ ἕτεραι ἀρχαί, μία μὲν ἀπορία πότερον ἄφθαρτοι καὶ αὐταὶ ἔσονται ἢ φθαρταί. εἰ μὲν γὰρ φθαρταί, δῆλον ὡς ἀναγκαῖον καὶ ταύτας ἔκ τινων εἶναι· ἅπαντα γὰρ φθείρεται εἰς ταῦτ' ἐξ ὧν ἔστιν· ὥςε συμβαίνει τῶν ἀρχῶν ἑτέρας ἀρχὰς εἶναι προτέρας· τοῦτο δ' ἀδύνατον, καὶ εἰ 55
ἵςαται καὶ εἰ βαδίζει εἰς ἄπειρον. ἔτι δὲ πῶς ἔσται τὰ φθαρτά, εἰ αἱ ἀρχαὶ ἀναιρεθήσονται; εἰ δὲ ἄφθαρτοι, διὰ τί ἐκ μὲν τύτων ἀφθάρτων ὐσῶν φθαρτὰ ἔςαι, ἐκ δὲ τῶν ἑτέρων ἄφθαρτα; τῦτο γὰρ ὐκ εὔλογον, ἀλλ' ἢ ἀδύνατον ἢ πολλῦ λόγυ δεῖται. ἔτι δὲ ὐδ' ἐγκεχείρηκεν ὐδεὶς ἑτέ-
1001a ρας λέγειν, ἀλλὰ τὰς αὐτὰς ἁπάντων λέγουσιν ἀρχάς. ἀλλὰ τὸ πρῶτον ἀπορηθὲν ἀποτρώγουσιν ὥσπερ τῦτο μικρόν τι λαμβάνοντες.

*Πάντων* δὲ καὶ θεωρῆσαι χαλεπώτατον καὶ πρὸς τὸ γνῶναι τἀληθὲς ἀναγκαιότατον, πότερόν ποτε τὸ ὂν καὶ τὸ ἓν ὐσίαι τῶν ὄντων εἰσί, καὶ ἑκάτερον αὐτῶν ὐχ ἕτερόν τι ὂν τὸ μὲν ἓν τὸ δὲ ὂν ἐςιν, ἢ δεῖ ζητεῖν τί ποτ' ἐστὶ τὸ ὂν καὶ τὸ ἓν ὡς ὑποκειμένης ἄλλης φύσεως. οἱ μὲν γὰρ ἐκείνως, οἱ δ' οὕτως οἴονται τὴν φύσιν ἔχειν. Πλάτων μὲν γὰρ καὶ οἱ Πυθαγόρειοι οὐχ ἕτερόν τι τὸ ὂν ὐδὲ τὸ ἕν, ἀλλὰ τῦτο αὐτῶν τὴν φύσιν εἶναι, ὡς ὔσης τῆς ὐσίας αὐτὸ τὸ ἓν εἶναι καὶ ὄν τι. οἱ δὲ περὶ φύσεως, οἷον Ἐμπεδοκλῆς, ὡς εἰς γνωριμώτερον ἀνάγων λέγει ὅ τι τὸ ἓν [ὄν] ἐςιν. δόξειε γὰρ ἂν λέγειν τῦτο τὴν φιλίαν εἶναι· αἰτία γοῦν ἐςὶν αὕτη τοῦ ἓν εἶναι πᾶσιν. ἕτεροι δὲ πῦρ, οἱ δ' ἀέρα φασὶν εἶναι τὸ ἓν τοῦτο καὶ τὸ ὄν, ἐξ οὗ τὰ ὄντα εἶναί τε καὶ γεγονέναι. ὡς δ' αὔτως καὶ οἱ πλείω τὰ ςοιχεῖα τιθέμενοι· ἀνάγκη γὰρ καὶ τύτοις τοσαῦτα λέγειν

22. οὖν om *S*. | 24. αὗται *E*. | 25. πάντα $A^b$. | 27. ἀρχὰς fort. om Alex p. 177, 18. 10. | 28. τὰ om $TA^b$. | 30. μὲν] μὲν οὖν *S*. | 32. ἢ om *T*. | ἐγκεχείρηκεν] fort. in hoc vocabulo latet εἴρηκεν vel τὴν ἀρχὴν εἴρηκεν (cf. Alex p. 178, 4.), quum p. 1001 *a*1 codd fere omnes omittant λέγειν.

1001*a* 1. λέγειν add $A^b$*i*. | λέγουσιν ἁπάντων $A^b$. | 2. ἀποῤῥηθὲν *a*. | 4. καὶ post δὲ om $G^bI^b$. | 5. ποτε] τε $G^b$. | 7. ante τὸ μὲν add **sed** *i*. | τὸ μὲν ἓν om *S*. | 8. ἓν καὶ τὸ ὂν Alex. | 12. αὐτὸ τὸ $F^b$, αὐτοῦ τὸ $A^b$: ceteri ταὐτό: fort. αὐτοῦ τοῦ ἑνὶ εἶναι καὶ τοῦ ὄντι. Obs. p. 41. | ὄν τι] ὄντι *a*. | 13. ὅ τι *c*, ὅτι *iasb*. | τὸ ἓν] ποτε τὸ ἓν $A^b$*c*. | ὂν omittendum cum $A^b$*c* et fort. Alex. | 14. τοῦτο] ὅτι τοῦτο *S*, τοῦτό τι $A^b$.

Digitized by Google

τὸ ὂν καὶ τὸ ἓν ὅσας περ ἀρχὰς εἶναί φασιν. συμβαίνει δέ, εἰ μέν τις μὴ θήσεται εἶναί τινα οὐσίαν τὸ ἓν καὶ τὸ ὄν, μηδὲ τῶν ἄλλων εἶναι τῶν καθόλου μηθέν· ταῦτα γάρ
56 ἐστι καθόλου μάλιστα πάντων. εἰ δὲ μὴ ἔστι τι ἓν αὐτὸ μηδ' αὐτὸ ὄν, σχολῇ τῶν γε ἄλλων τι ἂν εἴη παρὰ τὰ λεγόμενα καθ' ἕκαστα. ἔτι δὲ μὴ ὄντος τοῦ ἑνὸς οὐσίας, δῆλον ὅτι οὐδ' ἂν ἀριθμὸς εἴη ὡς κεχωρισμένη φύσις τις τῶν ὄντων· ὁ μὲν γὰρ ἀριθμὸς μονάδες, ἡ δὲ μονὰς ὅπερ ἕν τί ἐστιν. εἰ δ' ἔστι τι αὐτὸ ἓν καὶ ὄν, ἀναγκαῖον οὐσίαν αὐτῶν εἶναι τὸ ἓν καὶ τὸ ὄν· οὐ γὰρ ἕτερόν τι καθ' οὗ κατηγορεῖται, ἀλλὰ ταῦτα αὐτά. ἀλλὰ μὴν εἴ γ' ἔσται τι αὐτὸ ὂν καὶ αὐτὸ ἕν, πολλὴ ἀπορία πῶς ἔσται τι παρὰ ταῦτα ἕτερον, λέγω δὲ πῶς ἔσται πλείω ἑνὸς τὰ ὄντα. τὸ γὰρ ἕτερον τοῦ ὄντος οὐκ ἔστιν, ὥστε κατὰ τὸν Παρμενίδου συμβαίνειν ἀνάγκη λόγον ἓν ἅπαντα εἶναι τὰ ὄντα καὶ τοῦτο εἶναι τὸ ὄν. ἀμφοτέρως δὲ δύσκολον· ἄν τε γὰρ μὴ ᾖ τὸ ἓν οὐσία ἄν τε ᾖ τι αὐτὸ ἕν, ἀδύνατον τὸν ἀριθμὸν οὐσίαν εἶναι. ἐὰν μὲν οὖν μὴ ᾖ, εἴρηται πρότερον δι' ὅ· ἐὰν δὲ ᾖ, ἡ αὐτὴ ἀπορία καὶ περὶ τοῦ ὄντος. ἐκ τίνος γὰρ καὶ παρὰ τὸ ἓν ἔσται αὐτὸ ἄλλο ἕν; ἀνάγκη γὰρ μὴ ἓν εἶναι· ἅπαντα δὲ τὰ ὄντα ἢ ἓν ἢ πολλά, ὧν ἓν ἕκαστον. ἔτι εἰ ἀδιαίρετον αὐτὸ τὸ ἕν, κατὰ μὲν τὸ Ζήνωνος ἀξίωμα οὐθὲν ἂν εἴη. ὃ γὰρ μήτε προστιθέμενον μήτε ἀφαιρούμενον ποιεῖ τι μεῖζον μηδὲ ἔλαττον, οὔ φησιν εἶναι τοῦτο τῶν ὄντων, ὡς δῆλον ὅτι ὄντος μεγέθους τοῦ ὄντος. καὶ εἰ μέγεθος,

19. ἓν καὶ τὸ ὂν $A^b cb$: ceteri et Alex p. 179, 26. ὂν καὶ τὸ ἕν. | 20. τινας οὐσίας $SA^b$. | τινος οὐσίαν λέγει γρ Alex. | 22. δὲ] γὰρ $A^b$. | αὐτοὲν μηδ' αὐτοόν Alex. | 24. ὅτι $G^b I^b$. | 25. ὅτι om $G^b$. | συγκεχωρισμένη S, omisso ὡς. | τις φύσις $A^b cb$. | 27. τι αὐτὸ] τὸ αὐτὸ $G^b$. | καὶ] καὶ αὐτὸ $TI^b as$. | οὐσίας Alex. | 28. εἶναι αὐτῶν $G^b$. | ὂν καὶ τὸ ἓν *ESTasc*. | καθ' οὗ de coniect. scripsi, Obs. p. 114: vulgo et Alex Syr *cb* καθόλου, om $G^b I^b$. | 29. αὐτὰ ταῦτα Alex. | 30. ἓν καὶ αὐτὸ ὂν $F^b a$. | 33. λόγον συμβαίνειν ἀνάγκη $G^b I^b b$, ἀνάγκη συμβαίνειν λόγον $A^b c$: vulgo συμβαίνειν ἀνάγκη λόγον.

1001 *b* 1. δύσκαλον *E*. | ἐάν $A^b G^b I^b$. | 2. τε ᾖ] τε μὴ ᾖ $G^b$. | τι $A^b G^b I^b$: ceteri τὸ, fort. recte. | 3. οὖν et ᾖ om $G^b$. | 4. καὶ post γὰρ om $A^b cb$, καὶ et ἔσται αὐτὸ dubito an omittat Alex p. 182, 10. | 5. γὰρ] δὲ $G^b I^b$, *profecto i*. | μὴ ἓν $A^b$ Alex: ceteri μηδέν. | 6. ἕκαστον ἓν $G^b$. | 7. μὲν οὖν τὸ *T*. | 9. ποιεῖ μεῖζον $EA^b cb$ et fort. Ascl: ceteri et fort. Alex p. 182, 25. ποιεῖ τι μ. | μηδὲ ἔλαττον add $A^b$ Alex. | φησιν $ESA^b$ Alex Ascl: vulgo φασιν.

Digitized by Google

σωματικόν· τοῦτο γὰρ πάντῃ ὄν. τὰ δὲ ἄλλα πῶς μὲν προστιθέμενα ποιήσει μεῖζον, πῶς δ᾽ οὐθέν, οἷον ἐπίπεδον καὶ γραμμή· ϛιγμὴ δὲ καὶ μονὰς οὐδαμῶς. ἀλλ᾽ ἐπειδὴ οὗτος θεωρεῖ φορτικῶς, καὶ ἐνδέχεται εἶναι ἀδιαίρετόν τι ὥϛε καὶ οὕτως καὶ πρὸς ἐκεῖνόν τιν᾽ ἔχει ἀπολογίαν (μεῖ- 57 ζον μὲν γὰρ οὐ ποιήσει, πλεῖον δὲ προϛιθέμενον τὸ τοιοῦτον)· ἀλλὰ πῶς δὴ ἐξ ἑνὸς τοιούτου ἢ πλειόνων τοιούτων ἔσται μέγεθος; ὅμοιον γὰρ καὶ τὴν γραμμὴν ἐκ στιγμῶν εἶναι φάσκειν. ἀλλὰ μὴν καὶ εἴ τις οὕτως ὑπολαμβάνει ὥϛε γενέσθαι, καθάπερ λέγουσί τινες, ἐκ τοῦ ἑνὸς αὐτοῦ καὶ ἄλλου μὴ ἑνός τινος τὸν ἀριθμόν, οὐθὲν ἧττον ζητητέον διὰ τί καὶ πῶς ὁτὲ μὲν ἀριθμὸς ὁτὲ δὲ μέγεθος ἔϛαι τὸ γενόμενον, εἴπερ τὸ μὴ ἓν ἡ ἀνισότης καὶ ἡ αὐτὴ φύσις ἦν. οὔτε γὰρ ὅπως ἐξ ἑνὸς καὶ ταύτης, οὔτε ὅπως ἐξ ἀριθμοῦ τινὸς καὶ ταύτης γένοιτ᾽ ἂν τὰ μεγέθη, δῆλον.

5 Τούτων δ᾽ ἐχομένη ἀπορία, πότερον οἱ ἀριθμοὶ καὶ τὰ σώματα καὶ τὰ ἐπίπεδα καὶ αἱ ϛιγμαὶ οὐσίαι τινές εἰσιν ἢ οὔ. εἰ γὰρ μή εἰσιν, διαφεύγει τί τὸ ὂν καὶ τίνες αἱ οὐσίαι τῶν ὄντων. τὰ μὲν γὰρ πάθη καὶ αἱ κινήσεις καὶ τὰ πρός τι καὶ αἱ διαθέσεις καὶ οἱ λόγοι οὐθενὸς δοκοῦσιν οὐσίαν σημαίνειν· λέγονται γὰρ πάντα καθ᾽ ὑποκειμένου τινός, καὶ οὐθὲν τόδε τι. ἃ δὲ μάλιστ᾽ ἂν δόξειε σημαίνειν οὐσίαν, ὕδωρ καὶ γῆ καὶ πῦρ, ἐξ ὧν τὰ σύν- 1002*a* θετα σώματα συνέϛηκε, τούτων θερμότητες μὲν καὶ ψυχρότητες καὶ τὰ τοιαῦτα πάθη, οὐκ οὐσίαι, τὸ δὲ σῶμα τὸ ταῦτα πεπονθὸς μόνον ὑπομένει ὥς ὄν τι καὶ οὐσία τις οὖσα. ἀλλὰ μὴν τό γε σῶμα ἧττον οὐσία τῆς ἐπιφανείας, καὶ αὕτη τῆς γραμμῆς, καὶ αὕτη τῆς μονάδος καὶ τῆς στιγμῆς· τούτοις γὰρ ὥρισαι τὸ σῶμα. καὶ τὰ μὲν ἄνευ

12. προστιθεμένων $A^b$. | 14. οὗτος *ETi*: ceteri et Ascl οὕτως. | καὶ οὐκ ἐνδέχεται *ES*$G^b$*as*. | τι om *ES*. | 15. καὶ ante πρὸς om *i* et fort. Alex p. 183, 18. | ἀπολογίαν ἔχει $A^b$*cb*, ἔχειν ἀπολογίαν *S*, fort. recte: ceteri ἔχει ἀπολογίαν. | 16. γὰρ add *EST*$A^b$*i* Alex Ascl. | 17. δεῖ $G^b$. | τούτου $G^b$. | τοιούτων add $A^b$ Alex. | 19. ὑπολαμβάνοι *as*. | 20. γίνεσθαι *Tas*. | 23. ἡ post ἓν fort. om Alex p. 184, 10. 11. | ante καὶ comma *cb*. | 24. οὔτε ὅπως — 25. ταύτης om *T*. | 27. καὶ τὰ ἐπίπεδα om $F^b$ et omissa esse testatur Alex, fort. recte. | 28. μὴ γάρ $G^b I^b$. | 32. ἂν μάλιστα $G^b$*as*. | 33. post πῦρ add καὶ ἀήρ $A^b$*cb*.

1002*a* 1. τούτων δὲ θ. $G^b$*as*. | 4. γε] τε $A^b G^b$*as*. | ἥττων *E*. | 5. αὕτη τ. μ.] ἡ γραμμὴ τ. μ. $A^b$*cb*: ceteri et fort. Alex αὕτη τ. μ.

Digitized by Google

σώματος ἐνδέχεσθαι δοκεῖ εἶναι, τὸ δὲ σῶμα ἄνευ τού-
58 των εἶναι ἀδύνατον. διόπερ οἱ μὲν πολλοὶ καὶ οἱ πρότε-
ρον τὴν οὐσίαν καὶ τὸ ὂν ᾤοντο τὸ σῶμα εἶναι, τὰ δὲ
ἄλλα τούτου πάθη, ὥστε καὶ τὰς ἀρχὰς τὰς τῶν σωμάτων
τῶν ὄντων εἶναι ἀρχάς· οἱ δ' ὕστερον καὶ σοφώτεροι τού-
των εἶναι δόξαντες ἀριθμούς. καθάπερ οὖν εἴπομεν, εἰ μή
ἐστιν οὐσία ταῦτα, ὅλως οὐδεμία ἐστὶν οὐσία οὐδὲ ὂν οὐθέν· οὐ
γὰρ δὴ τά γε συμβεβηκότα τούτοις ἄξιον ὄντα καλεῖν.
ἀλλὰ μὴν εἰ τοῦτο μὲν ὁμολογεῖται, ὅτι μᾶλλον οὐσία τὰ
μήκη τῶν σωμάτων καὶ αἱ στιγμαί, ταῦτα δὲ μὴ ὁρῶμεν
ποίων ἂν εἶεν σωμάτων (ἐν γὰρ τοῖς αἰσθητοῖς ἀδύνατον
εἶναι), οὐκ ἂν εἴη οὐσία οὐδεμία. ἔτι δὲ φαίνεται ταῦτα
πάντα διαιρέσεις ὄντα τοῦ σώματος, τὸ μὲν εἰς πλάτος,
τὸ δ' εἰς βάθος, τὸ δ' εἰς μῆκος. πρὸς δὲ τούτοις ὁμοίως
ἔνεστιν ἐν τῷ στερεῷ ὁποιονοῦν σχῆμα· ὥστ' εἰ μηδ' ἐν
τῷ λίθῳ Ἑρμῆς, οὐδὲ τὸ ἥμισυ τοῦ κύβου ἐν τῷ κύβῳ
οὕτως ὡς ἀφωρισμένον. οὐκ ἄρα οὐδ' ἐπιφάνεια· εἰ γὰρ
ὁποιαοῦν, κἂν αὕτη ἂν ἦν ἡ ἀφορίζουσα τὸ ἥμισυ. ὁ δ'
αὐτὸς λόγος καὶ ἐπὶ γραμμῆς καὶ στιγμῆς καὶ μονάδος.
ὥστ' εἰ μάλιστα μὲν οὐσία τὸ σῶμα, τούτου δὲ μᾶλλον
ταῦτα, μὴ ἔστι δὲ ταῦτα μηδ' οὐσίαι τινές, διαφεύγει τί
τὸ ὂν καὶ τίς ἡ οὐσία τῶν ὄντων. πρὸς γὰρ τοῖς εἰρημένοις
καὶ τὰ περὶ τὴν γένεσιν καὶ τὴν φθορὰν συμβαίνει ἄλογα.
δοκεῖ μὲν γὰρ ἡ οὐσία, ἐὰν μὴ οὖσα πρότερον νῦν ᾖ ἢ πρό-
τερον οὖσα ὕστερον μὴ ᾖ, μετὰ τοῦ γίγνεσθαι καὶ φθείρεσθαι
ταῦτα πάσχειν· τὰς δὲ στιγμὰς καὶ τὰς γραμμὰς καὶ
59 τὰς ἐπιφανείας οὐκ ἐνδέχεται οὔτε γίγνεσθαι οὔτε φθείρεσθαι,
ὁτὲ μὲν οὔσας ὁτὲ δὲ οὐκ οὔσας. ὅταν γὰρ ἅπτηται ἢ δι-
αιρῆται τὰ σώματα, ἅμα ὁτὲ μὲν μία ἁπτομένων, ὁτὲ δὲ 1002b

8. εἶναι om *ES*. | 9. τὸ ante σῶμα add $EA^b$. | τὰ δὲ ἄλλα $A^b$: vulgo τἆλλα δέ. | 11. καὶ οἱ σ. $A^b$. | 13. οὐδεμία] οὐδὲν $A^b$. | ἐστὶν] fort. ἔσται: εἴη ἂν Alex. | 14. δὴ] ἂν $A^b$. | γε om *S*. | 15. μᾶλλον] μᾶλλόν ἐστιν $TG^bas$. | οὐσίαι *S*. | τῶν σωμάτων τὰ μήκη $G^bI^b$. | 18. δὲ add $A^b G^bI^b$. | 19. τοῦ om $G^bI^b$. | 21. ἔνεστιν *i* et coni. Brd, ἕν ἐστιν *asb*, ἔστιν Alex. | post σχῆμα add ἢ οὐθέν $A^bG^bI^bcb$: ceteri et Alex om. | 22. λίθω ὁ ἑρμῆς $I^b$. | 24. κἂν] καὶ *as*. | αὕτη ἂν] αὐτὴ $G^b$. | ἦν] εἴη $G^bI^b$. | 25. καὶ ἐπὶ στ. $ESTG^bas$. | 30. μὲν om $A^b$. | ἐὰν — 31. μὴ ᾖ scripsi cum *b* ex coniectura Brandisii, qui Alex et *i* auctoritatem secutus videtur. | 30. ἐὰν add $A^b$. | οὖσα τὸ πρ. $A^b$. | νῦν ᾖ *cb*, om $A^b$: ceteri νῦν εἶναι. | 31. ᾖ add $A^b$. | τοῦ] τοῦτο $TG^bas$.

Digitized by Google

*δύο διαιρουμένων γίγνονται· ὥστ' οὔτε συγκειμένων ἔστιν ἀλλ' ἔφθαρται, διῃρημένων τε εἰσὶν αἱ πρότερον οὐκ οὖσαι. οὐ γὰρ δὴ ἥ γ' ἀδιαίρετος στιγμὴ διῃρέθη εἰς δύο. εἴ τε γίγνονται καὶ φθείρονται, ἔκ τινος γίγνονται. παραπλησίως δ' ἔχει καὶ περὶ τὸ νῦν τὸ ἐν τῷ χρόνῳ· οὐδὲ γὰρ τοῦτο ἐνδέχεται γίγνεσθαι καὶ φθείρεσθαι, ἀλλ' ὅμως ἕτερον ἀεὶ δοκεῖ εἶναι, οὐκ οὐσία τις οὖσα. ὁμοίως δὲ δῆλον ὅτι ἔχει καὶ περὶ τὰς στιγμὰς καὶ τὰς γραμμὰς καὶ τὰ ἐπίπεδα· ὁ γὰρ αὐτὸς λόγος· ἅπαντα γὰρ ὁμοίως ἢ πέρατα ἢ διαιρέσεις εἰσίν.*

6 *Ὅλως δ' ἀπορήσειεν ἄν τις διὰ τί καὶ δεῖ ζητεῖν ἄλλ' ἄττα παρά τε τὰ αἰσθητὰ καὶ τὰ μεταξύ, οἷον ἃ τίθεμεν εἴδη. εἰ γὰρ διὰ τοῦτο, ὅτι τὰ μὲν μαθηματικὰ τῶν δεῦρο ἄλλῳ μέν τινι διαφέρει, τῷ δὲ πόλλ' ἄττα ὁμοειδῆ εἶναι οὐθὲν διαφέρει· ὥστ' οὐκ ἔσονται αὐτῶν αἱ ἀρχαὶ ἀριθμῷ ἀφωρισμέναι, ὥσπερ οὐδὲ τῶν ἐνταῦθα γραμμάτων ἀριθμῷ μὲν πάντων οὐκ εἰσὶν αἱ ἀρχαὶ ὡρισμέναι, εἴδει δέ, ἐὰν μὴ λαμβάνῃ τις τησδὶ τῆς συλλαβῆς ἢ τησδὶ τῆς φωνῆς, τούτων δ' ἔσονται καὶ ἀριθμῷ ὡρισμέναι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν μεταξύ· ἄπειρα γὰρ κἀκεῖ τὰ ὁμοειδῆ· ὥστ' εἰ μὴ ἔστι παρὰ τὰ αἰσθητὰ καὶ τὰ μαθηματικὰ ἕτερ' ἄττα, οἷα λέγουσι τὰ εἴδη τινές, οὐκ ἔσται μία ἀριθμῷ καὶ εἴδει οὐσία, οὐδ' αἱ ἀρχαὶ τῶν ὄντων ἀριθμῷ ἔσονται ποσαί τινες ἀλλὰ εἴδει· εἰ οὖν τοῦτο ἀναγκαῖον, καὶ τὰ εἴδη ἀναγκαῖον διὰ τοῦτο εἶναι. καὶ γὰρ εἰ μὴ καλῶς διαρθροῦσιν οἱ λέγοντες, ἀλλ' ἔστι γε τοῦθ' ὃ βούλονται, καὶ ἀνάγκη ταῦτα λέγειν αὐτοῖς, ὅτι τῶν εἰδῶν οὐσία τις ἕκαστόν ἐστι, καὶ οὐθὲν κατὰ συμβε-* 60

1002*b* 2. *γίγνεται* Alex. | *συγκειμένου* $A^b$. | 3. *ἔφθαρτο* *E*. | 4. *δ'* *S*. | 6. *τῷ* om $G^b I^b$. | *οὐδὲν* *a*. | 7. *δοκεῖ* ante *ἀεὶ* $G^b$*as*, post *εἶναι* *S*. | *εἶναι* om $A^b$. | 8. *καὶ τὰ περὶ* $G^b$*as*. | 9. *γραμμὰς καὶ στιγμὰς* *T*, *τὰς* add $A^b$: ceteri et *c* om. | *καὶ περὶ τὰ* $G^b$*as*. | 10. *διαίρεσις* *E*. | 13. *ἄλλα τοιαῦτα* $A^b I^b$, *ἄλλα τὰ τοιαῦτα* $F^b$, *ἄλλα τοιαῦτα ἄλλ' ἄττα* $G^b$. | *τε* add $A^b G^b I^b$*cb*: ceteri et Alex om, fort. recte. | *τὰ* post *καὶ* om *E*. | 14. *τίθεται μὲν* $G^b$. | 15. *πολλὰ τὰ* $A^b$. | 16. post *διαφέρει* punctum *c*. | 17. *ἀφωρισμέναι ἀριθμῶ* *S*. | 18. *ἀριθμῶν* $A^b$. | *πάντων* om Alex. | 21. post *ὡρισμέναι* et 22. post *ὁμοειδῆ* et 25. post *εἴδει* punctum *cb*. | 24. *καὶ*] *καὶ τῷ* Alex, idem pro *καὶ* recte coniicit scribendum *ἀλλὰ*. | ante *οὐσία* add *ὡς ἀρχὴ* Alex. | 25. *ἀριθμῶ ἓν ἔσ.* $A^b$. | *εἴδει*] *εἴδη* *a*. | 26. post *εἶναι* add *τιθέναι* $A^b$*cb*. | 27. *γε* add $A^b$. | 28. *ταῦτα* om *S*. | *αὐτούς* $A^b$. | 29. *ἑκάστων* *T*$G^b$*s*.

Digitized by Google

*βηκός. ἀλλὰ μὴν εἴ γε θήσομεν τά τε εἴδη εἶναι, καὶ ἓν ἀριθμῷ τὰς ἀρχὰς ἀλλὰ μὴ εἴδει, εἰρήκαμεν ἃ συμβαίνειν ἀναγκαῖον ἀδύνατα. σύνεγγυς δὲ τούτων ἐστὶ τὸ διαπορῆσαι πότερον δυνάμει ἐστὶ τὰ στοιχεῖα ἤ τιν' ἕτερον τρόπον. εἰ μὲν γὰρ ἄλλως πως, πρότερόν τι ἔσται τῶν ἀρχῶν ἄλλο· πρότερον γὰρ ἡ δύναμις ἐκείνης τῆς αἰτίας,* 1003*a*
*τὸ δὲ δυνατὸν οὐκ ἀναγκαῖον ἐκείνως πᾶν ἔχειν. εἰ δ' ἔστι δυνάμει τὰ στοιχεῖα, ἐνδέχεται μηθὲν εἶναι τῶν ὄντων· δυνατὸν γὰρ εἶναι καὶ τὸ μήπω ὄν· γίγνεται μὲν γὰρ τὸ μὴ ὄν, οὐθὲν δὲ γίγνεται τῶν εἶναι ἀδυνάτων. ταύτας τε οὖν τὰς ἀπορίας ἀναγκαῖον ἀπορῆσαι περὶ τῶν ἀρχῶν, καὶ πότερον καθόλου εἰσὶν ἢ ὡς λέγομεν τὰ καθ' ἕκαστα. εἰ μὲν γὰρ καθόλου, οὐκ ἔσονται οὐσίαι· οὐθὲν γὰρ τῶν κοινῶν τόδε τι σημαίνει, ἀλλὰ τοιόνδε, ἡ δ' οὐσία τόδε τι. εἰ δ' ἔσται τόδε τι καὶ ἐκθέσθαι τὸ κοινῇ κατηγορούμενον, πολλὰ ἔσται ζῷα ὁ Σωκράτης, αὐτός τε καὶ ὁ ἄνθρωπος καὶ τὸ ζῷον, εἴπερ σημαίνει ἕκαστον τόδε τι καὶ ἕν. εἰ μὲν οὖν καθόλου αἱ ἀρχαί, ταῦτα συμβαίνει· εἰ δὲ μὴ καθόλου ἀλλ' ὡς τὰ καθ' ἕκαστα, οὐκ ἔσονται ἐπιστηταί· καθόλου γὰρ αἱ ἐπιστῆμαι πάντων. ὥστ' ἔσονται ἀρχαὶ ἕτεραι πρότεραι τῶν ἀρχῶν, αἱ καθόλου κατηγορούμεναι, ἄνπερ μέλλῃ ἔσεσθαι αὐτῶν ἐπιστήμη.*

# Γ.

*Ἔστιν ἐπιστήμη τις ἣ θεωρεῖ τὸ ὂν ᾗ ὂν καὶ τὰ τούτῳ*
61 *ὑπάρχοντα καθ' αὑτό. αὕτη δ' ἐστὶν οὐδεμιᾷ τῶν ἐν μέρει λεγομένων ἡ αὐτή· οὐδεμία γὰρ τῶν ἄλλων ἐπισκοπεῖ καθόλου περὶ τοῦ ὄντος ᾗ ὄν, ἀλλὰ μέρος αὐτοῦ τι ἀποτεμόμεναι περὶ τούτου θεωροῦσι τὸ συμβεβηκός, οἷον αἱ μαθηματικαὶ τῶν ἐπιστημῶν. ἐπεὶ δὲ τὰς ἀρχὰς καὶ τὰς ἀκρο-*

30. τε add $A^b$. | 31. ἓν] ἐν *a*, om *ES*. | μὴ] μὴν *a*. | 32. ἀδύνατα πρότερον. σύνεγγυς $A^b$. | τούτω *T*, τούτῳ *as*. | 33. ἤ τιν' *i* et Alex, ἤ τίν' *ascb*. | 34. ἄλλως πως, πρότερόν *ia* Alex, ἄλλως, πῶς πρότερόν *scb*, signo interrogandi posito post ἄλλο.

1003*a* 1. πότερον *a*. | 5. τε om *S*. | 10. ἐστὶ $TG^b$, ἔστι *as*. | 14. ἐπιστηταί] ἐπιστῆμαι $A^b$. | 15. ἡ ἐπιστήμη $A^b$. | 16. αἱ add $A^b$. | καθόλου ante ἀρχῶν *T*. | 21. αὑτῷ $F^b$. | 22. αὐτά $F^b$ Alex. | 24. ἀποτεμνόμεναι *c*. | 25. περὶ τοῦτο θεωροῦσι *ET*, θεωροῦσι περὶ τοῦτο $SG^b as$.

Digitized by Google

τάτας αἰτίας ζητοῦμεν, δῆλον ὡς φύσεώς τινος αὐτὰς ἀναγκαῖον εἶναι καθ' αὑτήν. εἰ οὖν καὶ οἱ τὰ στοιχεῖα τῶν ὄντων ζητοῦντες ταύτας τὰς ἀρχὰς ἐζήτουν, ἀνάγκη καὶ τὰ στοιχεῖα τοῦ ὄντος εἶναι μὴ κατὰ συμβεβηκός, ἀλλ' ᾗ ὄντα· διὸ καὶ ἡμῖν τοῦ ὄντος ᾗ ὂν τὰς πρώτας αἰτίας ληπτέον.

2 Τὸ δὲ ὂν λέγεται μὲν πολλαχῶς, ἀλλὰ πρὸς ἓν καὶ μίαν τινὰ φύσιν, καὶ οὐχ ὁμωνύμως, ἀλλ' ὥσπερ καὶ τὸ ὑγιεινὸν ἅπαν πρὸς ὑγίειαν, τὸ μὲν τῷ φυλάττειν, τὸ δὲ τῷ ποιεῖν, τὸ δὲ τῷ σημεῖον εἶναι τῆς ὑγιείας, τὸ δ' ὅτι
1003b δεκτικὸν αὐτῆς, καὶ τὸ ἰατρικὸν πρὸς ἰατρικήν (τὸ μὲν γὰρ τῷ ἔχειν ἰατρικὴν λέγεται ἰατρικόν, τὸ δὲ τῷ εὐφυὲς εἶναι πρὸς αὐτήν, τὸ δὲ τῷ ἔργον εἶναι τῆς ἰατρικῆς), ὁμοιοτρόπως δὲ καὶ ἄλλα ληψόμεθα λεγόμενα τούτοις· οὕτω δὲ καὶ τὸ ὂν λέγεται πολλαχῶς μέν, ἀλλ' ἅπαν πρὸς μίαν ἀρχήν· τὰ μὲν γὰρ ὅτι οὐσίαι, ὄντα λέγεται, τὰ δ' ὅτι πάθη οὐσίας, τὰ δ' ὅτι ὁδὸς εἰς οὐσίαν, ἢ φθοραὶ ἢ στερήσεις ἢ ποιότητες ἢ ποιητικὰ ἢ γεννητικὰ οὐσίας ἢ τῶν πρὸς τὴν οὐσίαν λεγομένων, ἢ τούτων τινὸς ἀποφάσεις ἢ οὐσίας· διὸ καὶ τὸ μὴ ὂν εἶναι μὴ ὄν φαμεν. καθάπερ οὖν καὶ τῶν ὑγιεινῶν ἁπάντων μία ἐπιστήμη ἐστίν, ὁμοίως τοῦτο καὶ ἐπὶ τῶν ἄλλων. οὐ γὰρ μόνον τῶν καθ' ἓν λεγομένων ἐπιστήμης ἐστὶ θεωρῆσαι μιᾶς, ἀλλὰ καὶ τῶν πρὸς μίαν λεγομένων φύσιν· καὶ γὰρ ταῦτα τρόπον τινὰ λέγεται καθ' ἕν. δῆλον οὖν ὅτι καὶ τὰ ὄντα μιᾶς θεωρῆσαι 62
ᾗ ὄντα. πανταχοῦ δὲ κυρίως τοῦ πρώτου ἡ ἐπιστήμη, καὶ ἐξ οὗ τὰ ἄλλα ἤρτηται, καὶ δι' ὃ λέγονται. εἰ οὖν τοῦτ' ἐστὶν ἡ οὐσία, τῶν οὐσιῶν ἂν δέοι τὰς ἀρχὰς καὶ τὰς αἰτίας ἔχειν τὸν φιλόσοφον. ἅπαντος δὲ γένους καὶ αἴσθησις μία ἑνὸς καὶ ἐπιστήμη, οἷον ἡ γραμματικὴ μία οὖσα πάσας θεωρεῖ

28. καθ' αὑτήν] modo καθ' αὑτάς modo καθ' αὑτό Alex p. 194, 26. 195, 9. 16. 23. 196, 6. 7. | 31. ὄντα] ὄντας *A^b*, fort. ὄν. | διὸ — τὰς om *A^b*. | 33. μὲν om *F^b*. | 34. καὶ post φύσιν add *ETA^bi*. | ἀλλ' om *A^b*.

1003 b 1. post αὐτῆς et 4. post ἰατρικῆς et 5. post τούτοις puncto distinxit *b*, post 5. τούτοις *c*. | 2. τὴν ἰατρικὴν λ. *A^bcb*: ceteri et Alex ἰατρικὴν λ. | 3. τὴν ἰατρικὴν *A^b*. | 4. ὁμοίως *STG^bas*. | 5. ἀλλ' ἅπαν *A^b*: vulgo ἀλλὰ πᾶν. | 6. οὐσία *SA^bG^bas*. | 7. ὁδοὶ Alex. | 8. φθορὰ ἢ στέρησις *A^b*. | 9. post οὐσίας comma *cb*, om *i* et Alex. | τινῶν *T*. | 10. ἀπόφασις *A^b*. | 13. ἐπιστήμη *a*. | 15. λέγονται *A^b*. | 19. ἑνὸς αἴσθησις μία *F^b*. | 20. ἡ add *A^b* Alex.

Digitized by Google

*τὰς φωνάς. διὸ καὶ τοῦ ὄντος ὅσα εἴδη θεωρῆσαι μιᾶς ἐστὶν ἐπιστήμης τῷ γένει, τὰ δὲ εἴδη τῶν εἰδῶν. εἰ δὴ τὸ ὂν καὶ τὸ ἓν ταὐτὸν καὶ μία φύσις, τῷ ἀκολουθεῖν ἀλλήλοις ὥσπερ ἀρχὴ καὶ αἴτιον, ἀλλ' οὐχ ὡς ἑνὶ λόγῳ δηλούμενα — διαφέρει δ' οὐθὲν οὐδ' ἂν ὁμοίως ὑπολάβωμεν, ἀλλὰ καὶ πρὸ ἔργου μᾶλλον. ταὐτὸ γὰρ εἷς ἄνθρωπος καὶ ὢν ἄνθρωπος καὶ ἄνθρωπος, καὶ οὐχ ἕτερόν τι δηλοῖ κατὰ τὴν λέξιν ἐπαναδιπλούμενον τὸ εἷς ἐστὶν ἄνθρωπος καὶ ἔστιν ἄνθρωπος· δῆλον δ' ὅτι οὐ χωρίζεται οὔτ' ἐπὶ γενέσεως οὔτ' ἐπὶ φθορᾶς. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ ἑνός. ὥστε φανερὸν ὅτι ἡ πρόσθεσις ἐν τούτοις ταὐτὸ δηλοῖ, καὶ οὐθὲν ἕτερον τὸ ἓν παρὰ τὸ ὄν. ἔτι δ' ἡ ἑκάστου οὐσία ἕν ἐστιν οὐ κατὰ συμβεβηκός, ὁμοίως δὲ καὶ ὅπερ ὄν τι — ὥσθ' ὅσα περ τοῦ ἑνὸς εἴδη, τοσαῦτα καὶ τοῦ ὄντος ἐστίν· περὶ ὧν τὸ τί ἐστι τῆς αὐτῆς ἐπιστήμης τῷ γένει θεωρῆσαι, λέγω δ' οἷον περὶ ταὐτοῦ καὶ ὁμοίου καὶ τῶν ἄλλων τῶν τοιούτων καὶ τῶν τούτοις ἀντικειμένων. σχεδὸν δὲ πάντα ἀνάγεται τἀναντία εἰς* 1004*a* *τὴν ἀρχὴν ταύτην. τεθεωρήσθω δ' ἡμῖν ταῦτα ἐν τῇ ἐκλογῇ τῶν ἐναντίων. καὶ τοσαῦτα μέρη φιλοσοφίας ἐστὶν ὅσαι περ αἱ οὐσίαι· ὥστε ἀναγκαῖον εἶναι πρώτην τινὰ καὶ ἐχομένην* 63 *αὐτῶν. ὑπάρχει γὰρ εὐθὺς γένη ἔχοντα τὸ ὂν καὶ τὸ ἕν· διὸ καὶ αἱ ἐπιστῆμαι ἀκολουθήσουσι τούτοις. ἔστι γὰρ ὁ φιλόσοφος ὥσπερ ὁ μαθηματικὸς λεγόμενος· καὶ γὰρ αὕτη ἔχει*

21. ὅσα] ἢ ὂν ὅσα $A^b$, τὰ Alex p. 207, 6. sch $A^b$, sed alibi Alex ὅσα vel πόσα. | 22. τὰ δὲ Alex p. 201, 13. 207, 6. sch $A^b$: vulgo et *cb* τά τε. | 23. ἓν καὶ τὸ ὂν $A^b$*cb*: ceteri et plerumque Alex ὂν καὶ τὸ ἕν. | 25. post δηλούμενα et 33. post ὄν τι signa posui sive interruptae orationis sive longioris parenthesis: *b* illic puncto, hic colo distinxit, *c* utrobique colo. | 25. δ'] *quidem i.* | 26. ταὐτὸν Alex. | 28. τάξιν $C^b$. | τὸ] τί *E.* | 28. 29. εἷς ἐστὶν ἄνθρωπος καὶ ἔστιν ἄνθρωπος $A^b$, εἷς ἐστὶν ἄνθρωπος καὶ ἔστιν ἄνθρωπος ἄνθρωπος Alex, fort. recte, ἔστιν εἷς ἄνθρωπος καὶ ἄνθρωπος καὶ ὂν ἄνθρωπος Ascl: vulgo ἔστιν ὁ ἄνθρωπος, καὶ ἄνθρωπος καὶ εἷς ἄνθρωπος. | 29. οὐχ ὁρίζεται *ST*$G^b$*as.* | post χωρίζεται add *ens i.* | 31. πρόθεσις *a.* | οὐδὲν ἔτι ἕτερον $A^b$. | 32. ἐστιν] ἐστι καὶ $F^b$. | 33. ὄν τι] ὄντι *as.* | περὶ τοῦ *T.* | 36. καὶ τοῦ ὁμοίου *S*$G^b$*as.* | καὶ τῶν τούτοις ἀντικειμένων add *S*$G^b$*as* Alex: ceteri et *cb* om.

1004*a* 2. τεθεωρήσθω $A^b$ et Alex p. 208, 4: ceteri τεθεώρηται, sed *T* haec τεθ. — 3. ἐναντίων om. | 2. δὲ τοῦτο ἡμῖν Alex. | 3. εἰσὶν $F^b$. | ὅσα *T.* | 4. τινὰ πρώτην *ESTas.* | 5. ἔχον $A^b$ γρ Alex *c.* | ὂν καὶ τὸ ἓν *EST*$G^b$ Alex Ascl sch $A^b$*as*: ceteri et *cb* ἓν καὶ τὸ ὄν. | 6. αἱ add $A^b$, dubito num recte: ceteri et *c* om. | 6. 7. φιλ. οὕτως ὥσπερ $A^b$.

Digitized by Google

μέρη, καὶ πρώτη τις καὶ δευτέρα ἐςὶν ἐπιςήμη καὶ ἄλλαι ἐφεξῆς ἐν τοῖς μαθήμασιν. ἐπεὶ δὲ μιᾶς τἀντικείμενα θεωρῆσαι, τῷ δ' ἑνὶ ἀντίκειται πλῆθος, ἀπόφασιν δὲ καὶ ςέρησιν μιᾶς ἐστὶ θεωρῆσαι διὰ τὸ ἀμφοτέρως θεωρεῖσθαι τὸ ἕν, ὗ ἡ ἀπόφασις ἢ ἡ ςέρησις (ἢ γὰρ ἁπλῶς λέγομεν ὅτι οὐχ ὑπάρχει ἐκεῖνο ἤ τινι γένει· ἔνθα μὲν οὖν τῷ ἑνὶ ἡ διαφορὰ πρόσεςι παρὰ τὸ ἐν τῇ ἀποφάσει, ἀπουσία γὰρ ἡ ἀπόφασις ἐκείνου ἐστίν, ἐν δὲ τῇ στερήσει καὶ ὑποκειμένη τις φύσις γίγνεται, καθ' ἧς λέγεται ἡ στέρησις), τῷ δ' ἑνὶ πλῆθος ἀντίκειται· ὥστε καὶ τἀντικείμενα τοῖς εἰρημένοις, τό τε ἕτερον καὶ ἀνόμοιον καὶ ἄνισον, καὶ ὅσα ἄλλα λέγεται ἢ κατὰ ταῦτα ἢ κατὰ πλῆθος καὶ τὸ ἕν, τῆς εἰρημένης γνωρίζειν ἐπιςήμης· ὧν ἐστὶ καὶ ἡ ἐναντιότης· διαφορὰ γάρ τις ἡ ἐναντιότης, ἡ δὲ διαφορὰ ἑτερότης. ὥς' ἐπειδὴ πολλαχῶς τὸ ἓν λέγεται, καὶ ταῦτα πολλαχῶς μὲν λεχθήσεται, ὅμως δὲ μιᾶς ἅπαντά ἐςι γνωρίζειν· ὐ γὰρ εἰ πολλαχῶς, ἑτέρας, ἀλλ' εἰ μήτε καθ' ἓν μήτε πρὸς ἓν οἱ λόγοι ἀναφέρονται. ἐπεὶ δὲ πάντα πρὸς τὸ πρῶτον ἀναφέρεται, οἷον ὅσα ἓν λέγεται πρὸς τὸ πρῶτον ἕν, ὡσαύτως φατέον καὶ περὶ ταὐτῦ καὶ ἑτέρυ καὶ τῶν ἐναντίων ἔχειν· ὥςε διελόμενον ποσαχῶς λέγεται ἕκαςον ὕτως ἀποδοτέον πρὸς τὸ πρῶτον ἐν ἑκάςῃ κατηγορίᾳ, πῶς πρὸς ἐκεῖνο λέγεται· τὰ μὲν γὰρ τῷ ἔχειν ἐκεῖνα, τὰ δὲ τῷ ποιεῖν, τὰ δὲ κατ' ἄλλους λεχθήσεται τοιούτους τρόπους. φανερὸν οὖν, ὅπερ ἐν ταῖς ἀπορίαις ἐλέχθη, ὅτι μιᾶς περὶ τού- 64
των καὶ τῆς οὐσίας ἐστὶ λόγον ἔχειν (τοῦτο δ' ἦν ἓν τῶν ἐν τοῖς ἀπορήμασιν), καὶ ἔςι τῦ φιλοσόφυ περὶ πάν-
1004b των· δύνασθαι θεωρεῖν. εἰ γὰρ μὴ τῦ φιλοσόφυ, τίς ἔςαι

8. ἄλλη *SG*$^b$*as*. | 9. ἐπεὶ δὲ] *ceterum i*. | 12. ἡ post ἢ om *S*. | ἢ γὰρ ἁπλῶς λέγομεν Alex p. 209, 2, ἡ ἁπλῶς λεγομένη *TA*$^b$*cb*: ceteri ἢ ἁπλῶς λεγομένη. | 13. ὑπάρξει *SG*$^b$*as*. | ἐκεῖνο *G*$^b$ Alex *as*: ceteri et *cb* ἐκείνῳ. | 16. post στέρησις punctum *b*. | 18. καὶ τὸ ἀνόμοιον *SG*$^b$*as*. | 19. ταῦτα *T* Alex, ταὐτὰ *EA*$^b$*iac*: ceteri αὐτὰ. | κατὰ τὸ πλῆθός τε καὶ τὸ ἓν Alex. | 20. τοῖς εἰρημένοις *E*. | ἐστὶ] ἕν τι *ESTG*$^b$*ias*, *ESG*$^b$*ias* addito ἐστί post ἐναντιότης. | 21. δὲ διαφορὰ] δὲ ἐναντιότης *A*$^b$. | 22. τὸ ἓν πολλαχῶς *T*. | 23. γνωρίζειν ἐστὶ *ESTG*$^b$*as*. | 25. post ἀναφέρονται add τότε ἑτέρας *E SG*$^b$*ias*. | ἐπεὶ — 26. ἀναφέρεται om *T*. | 26. ἀναφέρετε *E*, ἀναφέρονται *A*$^b$. | πρώτως *A*$^b$. | 30. ἐκεῖνο *TA*$^b$. | 32. ὅπερ — ἐλέχθη om *A*$^b$*c* et fort. Alex, ἔν τισι λείπει τὸ ὅπερ ἐν ταῖς ἀπορίαις ἐλέχθη *E* mg. | 33. post ἔχειν et 34. post ἀπορήμασιν punctum *iascb*.

1004*b* 1. ἔστιν *F*$^b$.

Digitized by Google

ὁ ἐπισκεψόμενος εἰ ταὐτὸ Σωκράτης καὶ Σωκράτης καθήμενος, ἢ εἰ ἓν ἑνὶ ἐναντίον, ἢ τί ἐστι τὸ ἐναντίον, ἢ ποσαχῶς λέγεται; ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων τῶν τοιούτων. ἐπεὶ οὖν τοῦ ἑνὸς ᾗ ἓν καὶ τοῦ ὄντος ᾗ ὂν ταῦτα καθ' αὑτά ἐστι πάθη, ἀλλ' οὐχ ᾗ ἀριθμοὶ ἢ γραμμαὶ ἢ πῦρ, δῆλον ὡς ἐκείνης τῆς ἐπιστήμης καὶ τί ἐστι γνωρίσαι καὶ τὰ συμβεβηκότ' αὐτοῖς. καὶ οὐ ταύτῃ ἁμαρτάνουσιν οἱ περὶ αὐτῶν σκοπούμενοι ὡς οὐ φιλοσοφοῦντες, ἀλλ' ὅτι πρότερον ἡ οὐσία, περὶ ἧς οὐθὲν ἐπαΐουσιν, ἐπεὶ ὥσπερ ἔστι καὶ ἀριθμοῦ ᾗ ἀριθμὸς ἴδια πάθη, οἷον περιττότης ἀρτιότης, συμμετρία ἰσότης, ὑπεροχὴ ἔλλειψις, καὶ ταῦτα καὶ καθ' αὑτοὺς καὶ πρὸς ἀλλήλους ὑπάρχει τοῖς ἀριθμοῖς· ὁμοίως δὲ καὶ στερεῷ καὶ ἀκινήτῳ καὶ κινουμένῳ ἀβαρεῖ τε καὶ βάρος ἔχοντι ἔστιν ἕτερα ἴδια· οὕτω καὶ τῷ ὄντι ᾗ ὂν ἔστι τινὰ ἴδια, καὶ ταῦτ' ἐστὶ περὶ ὧν τοῦ φιλοσόφου ἐπισκέψασθαι τἀληθές. σημεῖον δέ· οἱ γὰρ διαλεκτικοὶ καὶ σοφισταὶ ταὐτὸν μὲν ὑποδύονται σχῆμα τῷ φιλοσόφῳ· ἡ γὰρ σοφιστικὴ φαινομένη μόνον σοφία ἐστί, καὶ οἱ διαλεκτικοὶ διαλέγονται περὶ ἁπάντων, κοινὸν δὲ πᾶσι τὸ ὄν ἐστιν· διαλέγονται δὲ περὶ τούτων δῆλον ὅτι διὰ τὸ τῆς φιλοσοφίας εἶναι αὐτὰ οἰκεῖα. περὶ μὲν γὰρ τὸ αὐτὸ γένος στρέφεται ἡ σοφιστικὴ καὶ ἡ διαλεκτικὴ τῇ φιλοσοφίᾳ, ἀλλὰ διαφέρει τῆς μὲν τῷ τρόπῳ τῆς δυνάμεως, τῆς δὲ τοῦ βίου τῇ προαιρέσει. ἔστι δὲ ἡ διαλεκτικὴ πειραστικὴ περὶ ὧν ἡ
65 φιλοσοφία γνωριστική, ἡ δὲ σοφιστικὴ φαινομένη, οὖσα δ' οὔ. ἔτι τῶν ἐναντίων ἡ ἑτέρα συστοιχία στέρησις, καὶ πάντα ἀνάγεται εἰς τὸ ὂν καὶ τὸ μὴ ὄν, καὶ ἓν καὶ πλῆθος, οἷον στάσις τοῦ ἑνός, κίνησις δὲ τοῦ πλήθους. τὰ δ' ὄντα καὶ τὴν οὐσίαν ὁμολογοῦσιν ἐξ ἐναντίων σχεδὸν ἅπαντες συγκεῖσθαι· πάντες γοῦν τὰς ἀρχὰς ἐναντίας λέγουσιν. οἱ μὲν γὰρ περιττὸν καὶ ἄρτιον, οἱ δὲ θερμὸν καὶ ψυχρόν, οἱ δὲ πέρας

2. ταυτὸν $F^b$. | 6. ᾗ ἀριθμὸς $A^b$ Alex, οἱ ἀριθμοὶ *T*. | γραμμὴ $A^b$. | 12. ἑαυτοὺς plerique. | 14. ἀβαρεῖ τε] καὶ ἀβαρεῖ $A^b$. | 15. οὕτω — 16. ἴδια om $A^b$. | 17. καὶ οἱ σοφ. $F^b$. | 18. ἡ — 20. ἁπάντων parenthesi includunt et post 20. ὄν ἐστιν punctum ponunt *cb*. | 22. ταῦτα εἶναι $A^b$. | στρ. καὶ ἡ $F^b$. | 23. ἡ post καὶ om *E*. | 25. τῇ om $A^b$. | πειρ.] ἡ πειρ. *T*. | 27. ἅπαντα $F^b$. | 28. τὸ ante μὴ om $F^b$ Alex. | ἓν] εἰς ἓν $ESG^b$*as*, εἰς τὸ ἓν *T*. | 30. σχεδὸν ἅπαντες ἐξ ἐναντίων Alex, sed postea ἐξ ἐν. σχ. ἅπαντες. | συγκεῖσθαι· πάντες om *as*. | 31. γοῦν om *T*. | ἀρχὰς om *as*. | γὰρ om *s*.

Digitized by Google

καὶ ἄπειρον, οἱ δὲ φιλίαν καὶ νεῖκος. πάντα δὲ καὶ τἆλλα ἀναγόμενα φαίνεται εἰς τὸ ἓν καὶ πλῆθος· εἰλήφθω γὰρ 1005a ἡ ἀναγωγὴ ἡμῖν. αἱ δ᾽ ἀρχαὶ καὶ παντελῶς αἱ παρὰ τῶν ἄλλων ὡς εἰς γένη ταῦτα πίπτȣσιν. φανερὸν οὖν καὶ ἐκ τȣ́των ὅτι μιᾶς ἐπιϛήμης τὸ ὂν ᾗ ὂν θεωρῆσαι. πάντα γὰρ ἢ ἐναντία ἢ ἐξ ἐναντίων, ἀρχαὶ δὲ τῶν ἐναντίων τὸ ἓν καὶ πλῆθος, ταῦτα δὲ μιᾶς ἐπιϛήμης, εἴτε καθ᾽ ἓν λέγεται εἴτε μή, ὥσπερ ἴσως ἔχει τἀληθές. ἀλλ᾽ ὅμως εἰ καὶ πολλαχῶς λέγεται τὸ ἕν, πρὸς τὸ πρῶτον τἆλλα λεχθήσεται καὶ τὰ ἐναντία ὁμοίως. καὶ διὰ τȣ̃το καὶ εἰ μή ἐστι τὸ ὂν ἢ τὸ ἓν καθόλου καὶ ταὐτὸ ἐπὶ πάντων ἢ χωριϛόν, ὥσπερ ἴσως ȣ̓κ ἔϛιν, ἀλλὰ τὰ μὲν πρὸς ἓν τὰ δὲ τῷ ἐφεξῆς, καὶ διὰ τȣ̃το οὐ τοῦ γεωμέτρȣ θεωρῆσαι τί τὸ ἐναντίον ἢ τέλειον ἢ ὂν ἢ ἓν ἢ ταὐτὸν ἢ ἕτερον, ἀλλ᾽ ἢ ἐξ ὑποθέσεως. ὅτι μὲν οὖν μιᾶς ἐπιστήμης τὸ ὂν ᾗ ὂν θεωρῆσαι, καὶ τὰ ὑπάρχοντα αὐτῷ ᾗ ὄν, δῆλον, καὶ ὅτι οὐ μόνον τῶν οὐσιῶν ἀλλὰ καὶ τῶν ὑπαρχόντων ἡ αὐτὴ θεωρητική, τῶν τε εἰρημένων καὶ περὶ προτέρȣ καὶ ὑϛέρου, καὶ γένους καὶ εἴδȣς, καὶ ὅλȣ καὶ μέρȣς καὶ τῶν ἄλλων τῶν τοιȣ́των.

3 Λεκτέον δὲ πότερον μιᾶς ἢ ἑτέρας ἐπιϛήμης περί τε τῶν ἐν τοῖς μαθήμασι καλουμένων ἀξιωμάτων καὶ περὶ 66 τῆς ȣ̓σίας. φανερὸν δὴ ὅτι μιᾶς τε καὶ τῆς τȣ̃ φιλοσόφȣ καὶ ἡ περὶ τούτων ἐϛὶ σκέψις· ἅπασι γὰρ ὑπάρχει τοῖς ȣ̓̃σιν, ἀλλ᾽ ȣ̓ γένει τινὶ χωρὶς ἰδίᾳ τῶν ἄλλων. καὶ χρῶνται μὲν πάντες, ὅτι τȣ̃ ὄντος ἐϛὶν ᾗ ὄν, ἕκαϛον δὲ τὸ γένος ὄν. ἐπὶ τοσȣ̃τον δὲ χρῶνται, ἐφ᾽ ὅσον αὐτοῖς ἱκανόν, τȣ̃το δ᾽ ἐϛίν, ὅσον ἐπέχει τὸ γένος περὶ οὗ φέρȣσι τὰς ἀποδεί-

33. ἅπαντα $A^b$c. | 34. φαίνεται ἀναγόμενα $A^b$c. | καὶ τὸ πλῆθος Tas. | γὰρ] autem i.

1005a 1. ἡμῖν] ἡμῖν ἐν τῶ πρώτω περὶ ἀγαθοῦ Tas. | αἱ παρὰ] καὶ παρὰ Tas. | 2. εἰς γένη εἰς τ. $A^b$. | 3. ᾗ ὂν om Tas. | 4. δὲ καὶ τῶν as. | τὸ ἓν om T. | 5. καὶ τὸ πλῆθος Tas. | post πλῆθος punctum cb. | δὲ καὶ μιᾶς $A^b$. | 6. post ἔχει add καὶ $A^b$b. | 7. τὸ ἓν λέγεται $A^b$. | ἄλλο S. | 8. ἀναχθήσεται Tas. | καὶ διὰ τοῦτο om $A^b$. | καὶ om S. | 9. ἢ καὶ τὸ $A^b$. | 10. τὸ μὲν — τὸ δὲ E. | πρὸς τὸ ἓν as. | 11. τῷ] modo ὡς modo τῷ Alex, om ST. | post ἐφεξῆς punctum c. | 12. ἓν ἢ ὂν ESas. | ἀλλ᾽ ἐξ Alex. | 17. καὶ ὅλου καὶ εἴδους S. | 21. τοῦ] τούτου S. | 22. καὶ ἡ περὶ τούτων om i. | ἐστὶ σκέψις] ἐπίσκεψις $A^b$. | τοῖς οὖσιν ὑπάρχει S. | 24. ὄντως E. | 25. ὂν] οὗ Tas, ἓν $A^b$. | 25. 26. τουτέστιν ὅσον Alex.

Digitized by Google

ξεις. ὥστ᾿ ἐπεὶ δῆλον ὅτι ᾗ ὄντα ὑπάρχει πᾶσι (τοῦτο γὰρ αὐτοῖς τὸ κοινόν), τοῦ περὶ τὸ ὂν ᾗ ὂν γνωρίζοντος καὶ περὶ τούτων ἐστὶν ἡ θεωρία. διόπερ οὐθεὶς τῶν κατὰ μέρος ἐπισκοπούντων ἐγχειρεῖ λέγειν τι περὶ αὐτῶν, εἰ ἀληθῆ ἢ μή, οὔτε γεωμέτρης οὔτ᾿ ἀριθμητικός, ἀλλὰ τῶν φυσικῶν ἔνιοι, εἰκότως τοῦτο δρῶντες· μόνοι γὰρ ᾤοντο περί τε τῆς ὅλης φύσεως σκοπεῖν καὶ περὶ τοῦ ὄντος. ἐπεὶ δ᾿ ἔστιν ἔτι τοῦ φυσικοῦ τις ἀνωτέρω (ἓν γάρ τι γένος τοῦ ὄντος ἡ φύσις), τοῦ καθόλου καὶ τοῦ περὶ τὴν πρώτην οὐσίαν θεωρητικοῦ καὶ ἡ περὶ τούτων ἂν εἴη σκέψις. ἔστι δὲ σοφία τις καὶ ἡ φυ- 1005b σική, ἀλλ᾿ οὐ πρώτη. ὅσα δ᾿ ἐγχειροῦσι τῶν λεγόντων τινὲς περὶ τῆς ἀληθείας, ὃν τρόπον δεῖ ἀποδέχεσθαι, δι᾿ ἀπαιδευσίαν τῶν ἀναλυτικῶν τοῦτο δρῶσιν· δεῖ γὰρ περὶ τούτων ἥκειν προεπισταμένους, ἀλλὰ μὴ ἀκούοντας ζητεῖν. ὅτι μὲν οὖν τοῦ φιλοσόφου καὶ τοῦ περὶ πάσης τῆς οὐσίας θεωροῦντος ᾗ πέφυκεν, καὶ περὶ τῶν συλλογιστικῶν ἀρχῶν ἐστὶν ἐπισκέψασθαι, δῆλον. προσήκει δὲ τὸν μάλιστα γνωρίζοντα 67 περὶ ἕκαστον γένος ἔχειν λέγειν τὰς βεβαιοτάτας ἀρχὰς τοῦ πράγματος, ὥστε καὶ τὸν περὶ τῶν ὄντων ᾗ ὄντα τὰς πάντων βεβαιοτάτας. ἔστι δ᾿ οὗτος ὁ φιλόσοφος. βεβαιοτάτη δ᾿ ἀρχὴ πασῶν περὶ ἣν διαψευσθῆναι ἀδύνατον· γνωριμωτάτην τε γὰρ ἀναγκαῖον εἶναι τὴν τοιαύτην (περὶ γὰρ ἃ μὴ γνωρίζουσιν, ἀπατῶνται πάντες) καὶ ἀνυπόθετον. ἣν γὰρ ἀναγκαῖον ἔχειν τὸν ὁτιοῦν ξυνιέντα τῶν ὄντων, τοῦτο οὐχ ὑπόθεσις· ὃ δὲ γνωρίζειν ἀναγκαῖον τῷ ὁτιοῦν γνωρίζοντι, καὶ ἥκειν ἔχοντα ἀναγκαῖον. ὅτι μὲν οὖν ἡ τοιαύτη πασῶν βεβαιοτάτη ἀρχή, δῆλον· τίς δ᾿ ἐστὶν αὕτη, μετὰ ταῦτα λέγωμεν. τὸ γὰρ αὐτὸ ἅμα ὑπάρχειν τε καὶ μὴ ὑπάρχειν ἀδύνατον τῷ αὐτῷ καὶ κατὰ τὸ αὐτό (καὶ ὅσα

27. ὅτι om *T*. | 28. τὸ ὂν] τοῦ ὂν *S*. | 30. εἰ $SA^b$, εἰ ᾗ *E*: vulgo εἰ ᾗ. | ἢ] εἴτε *T*. | 32. τε om $A^b$. | 33. ἔτι om *S*. | 34. τις $ETA^b i$ Alex p. 222, 7: ceteri τι. | ἡ φύσις τοῦ ὄντος *S*. | 35. τοῦ post καὶ om *T*.

1005b 1. εἴη ἂν *S*. | τις σοφία $SA^b$. | 2. ὅσα δ᾿ ἐγχειροῦσι — 5. ζητεῖν Alex ponenda censet post 8. δῆλον, dubito num recte. | 2. τῶν λεγόντων om Alex. | 10. τὰς περὶ πάντων $A^b$. | 13. τε om *T*. | 15. γὰρ ἂν ἀναγκαῖον *T*. | ξυνιόντα $A^b$. | 16. ὑποθέσει $A^b$. | ὃ] οὐ *S*. | 17. ἔχοντι *ES* *Tas*. | 17. 18. βεβαιοτάτη ἡ τοιαύτη πασῶν ἀρχή $A^b$, ἡ τοιαύτη ἀρ. π. βεβ. *ST*. | 18. βεβαιοτάτη πασῶν $F^b$. | 19. λέγωμεν *ST* Ascl *ias*, λέγομεν *cb*. | τε add $A^bF^b$. | 20. τῷ αὐτῷ καὶ κατὰ om $C^b$, καὶ om *S* Alex *as*. | post αὐτό colon et 22. post δυσχερείας punctum *cb*.

Digitized by Google

ἄλλα προσδιορισαίμεθ' ἄν, ἔστω προσδιωρισμένα πρὸς τὰς λογικὰς δυσχερείας), αὕτη δὴ πασῶν ἐςὶ βεβαιοτάτη τῶν ἀρχῶν· ἔχει γὰρ τὸν εἰρημένον διορισμόν. ἀδύνατον γὰρ ὁντινοῦν ταὐτὸν ὑπολαμβάνειν εἶναι καὶ μὴ εἶναι, καθάπερ τινὲς οἴονται λέγειν Ἡράκλειτον· οὐκ ἔςι γὰρ ἀναγκαῖον, ἅ τις λέγει, ταῦτα καὶ ὑπολαμβάνειν. εἰ δὲ μὴ ἐνδέχεται ἅμα ὑπάρχειν τῷ αὐτῷ τἀναντία (προσδιωρίσθω δ' ἡμῖν καὶ ταύτῃ τῇ προτάσει τὰ εἰωθότα), ἐναντία δ' ἐστὶ δόξα δόξῃ ἡ τῆς ἀντιφάσεως, φανερὸν ὅτι ἀδύνατον ἅμα ὑπολαμβάνειν τὸν αὐτὸν εἶναι καὶ μὴ εἶναι τὸ αὐτό· ἅμα γὰρ ἂν ἔχοι τὰς ἐναντίας δόξας ὁ διεψευσμένος περὶ τούτου. διὸ πάντες οἱ ἀποδεικνύντες εἰς ταύτην ἀνάγουσιν ἐσχάτην δόξαν· φύσει γὰρ ἀρχὴ καὶ τῶν ἄλλων ἀξιωμάτων αὕτη πάντων.

4 Εἰσὶ δέ τινες οἵ, καθάπερ εἴπομεν, αὐτοί τε ἐνδέχε-
1006a σθαί φασι τὸ αὐτὸ εἶναι καὶ μὴ εἶναι, καὶ ὑπολαμβάνειν οὕτως. χρῶνται δὲ τῷ λόγῳ τούτῳ πολλοὶ καὶ τῶν 68
περὶ φύσεως. ἡμεῖς δὲ νῦν εἰλήφαμεν ὡς ἀδυνάτου ὄντος ἅμα εἶναι καὶ μὴ εἶναι, καὶ διὰ τούτου ἐδείξαμεν ὅτι βεβαιοτάτη αὕτη τῶν ἀρχῶν πασῶν. ἀξιοῦσι δὴ καὶ τοῦτο ἀποδεικνύναι τινὲς δι' ἀπαιδευσίαν· ἔςι γὰρ ἀπαιδευσία τὸ μὴ γιγνώσκειν τίνων δεῖ ζητεῖν ἀπόδειξιν καὶ τίνων οὐ δεῖ. ὅλως μὲν γὰρ ἁπάντων ἀδύνατον ἀπόδειξιν εἶναι· εἰς ἄπειρον γὰρ ἂν βαδίζοι, ὥςε μηδ' οὕτως εἶναι ἀπόδειξιν. εἰ δέ τινων μὴ δεῖ ζητεῖν ἀπόδειξιν, τίνα ἀξιοῦσιν εἶναι μᾶλλον τοιαύτην ἀρχὴν οὐκ ἂν ἔχοιεν εἰπεῖν. ἔςι δ' ἀποδεῖξαι ἐλεγκτικῶς καὶ περὶ τούτου ὅτι ἀδύνατον, ἂν μόνον τι λέγῃ ὁ ἀμφισβητῶν· ἂν δὲ μηθέν, γελοῖον τὸ ζητεῖν λόγον πρὸς τὸν μηθενὸς ἔχοντα λόγον, ᾗ μὴ ἔχει· ὅμοιος

21. προσδιωρισάμεθα, omisso ἄν, $A^b$ Alex *c*, fort. recte. | ἔστω] οὕτω τὰ $A^b$. | 22. δ' ἁπασῶν *ESTias*. | 24. εἶναί τε καὶ Alex. | 26. μὴ ἐνδέχεται μὴ ὑπάρχειν ἅμα *S*. | 27. τῷ αὐτῷ ὑπάρχειν $A^b c$. | προδιωρίσθω ἡμῖν $A^b$. | 28. ταῦτα $STA^b as$. | 29. ἅμα ἀδύνατον $A^b c$. | 31. διαψευσάμενος *E*. | 32. οἱ add $A^b$ Alex. | 35. αὐτοί τε om videtur Alex.

1006*a* 1. καὶ μὴ ὑπ. *T*. | 3. ὡς add $ESA^bF^b$. | post ὄντος add *de eodem i*. | 4. τοῦτο *S*. | 5. ἁπασῶν $A^b c$. | δὲ *Ts*. | 8. πάντων *A*. | ἀπόδειξιν ἀδύνατον *S*. | 10. ἀπόδειξιν om *T*. | μᾶλλον εἶναι *T*. | 11. ἀποδεῖξαι] δεῖξαι $F^b$. | 12. ἀδύνατον om *S*. | 13. ζητεῖν τὸν λόγον $C^b$. | 14. μὴ ἔχει $A^b$ Alex: ceteri μηθένα ἔχει (ἔχειν $B^b$) λόγον.

Digitized by Google

γὰρ φυτῷ ὁ τοιοῦτος ᾗ τοιοῦτος ἤδη. τὸ δ' ἐλεγκτικῶς ἀποδεῖξαι λέγω διαφέρειν καὶ τὸ ἀποδεῖξαι, ὅτι ὁ ἀποδεικνύων μὲν ἂν δόξειεν αἰτεῖσθαι τὸ ἐν ἀρχῇ, ἄλλου δὲ τοῦ τοιούτου αἰτίου ὄντος ἔλεγχος ἂν εἴη καὶ οὐκ ἀπόδειξις. ἀρχὴ δὲ πρὸς ἅπαντα τὰ τοιαῦτα οὐ τὸ ἀξιοῦν ἢ εἶναί τι λέγειν ἢ μὴ εἶναι (τοῦτο μὲν γὰρ τάχ' ἄν τις ὑπολάβοι τὸ ἐξ ἀρχῆς αἰτεῖν), ἀλλὰ τὸ σημαίνειν γέ τι καὶ αὑτῷ καὶ ἄλλῳ· τοῦτο γὰρ ἀνάγκη, εἴπερ λέγοι τι. εἰ γὰρ μή, οὐκ ἂν εἴη τῷ τοιούτῳ λόγος, οὔτ' αὐτῷ πρὸς αὑτὸν οὔτε πρὸς ἄλλον. ἂν δέ τις τοῦτο διδῷ, ἔσται ἀπόδειξις· ἤδη γάρ τι ἔσται ὡρισμένον. ἀλλ' αἴτιος οὐχ ὁ ἀποδεικνὺς ἀλλ' ὁ ὑπομένων· ἀναιρῶν γὰρ λόγον ὑπομένει λόγον. [ἔτι δὲ ὁ τοῦτο συγχωρήσας συγκεχώρηκέ τι ἀληθὲς εἶναι χωρὶς ἀποδείξεως, ὥστε οὐκ ἂν πᾶν οὕτως καὶ οὐχ οὕτως ἔχοι.] πρῶτον
69 μὲν οὖν δῆλον ὡς τοῦτό γ' αὐτὸ ἀληθές, ὅτι σημαίνει τὸ ὄνομα τὸ εἶναι ἢ μὴ εἶναι τοδί· ὥστ' οὐκ ἂν πᾶν οὕτως καὶ οὐχ οὕτως ἔχοι. ἔτι εἰ τὸ ἄνθρωπος σημαίνει ἕν, ἔστω τοῦτο τὸ ζῷον δίπουν. λέγω δὲ τὸ ἓν σημαίνειν τοῦτο· εἰ τοῦτ' ἔστιν ἄνθρωπος, ἂν ᾖ τι ἄνθρωπος, τοῦτ' ἔσται τὸ ἀνθρώπῳ εἶναι. διαφέρει δ' οὐθὲν οὐδ' εἰ πλείω τις φαίη σημαίνειν, μόνον δὲ ὡρισμένα· τεθείη γὰρ ἂν ἐφ' ἑκάστῳ λόγῳ 1006b
ἕτερον ὄνομα· λέγω δ' οἷον, εἰ μὴ φαίη τὸ ἄνθρωπος ἓν σημαίνειν, πολλὰ δέ, ὧν ἑνὸς μὲν εἷς λόγος, τὸ ζῷον δίπουν, εἰσὶ δὲ καὶ ἕτεροι πλείους, ὡρισμένοι δὲ τὸν ἀριθμόν· τεθείη γὰρ ἂν ἴδιον ὄνομα καθ' ἕκαστον τῶν λόγων. εἰ δὲ

15. ἤδη $A^b$ Alex, ἤδη ἐστίν *T*: ceteri om. | 16. ὁ om $A^b$. | 17. αἰτῆσθαι $SA^b$. | τοῦ om *T*. | 18. αἰτίου om $A^b$. | εἴη om $SB^bC^b$. | 19. οὐ γρ Alex *iascb*, οὐχὶ $A^b$, om Alex. | ἀξίωμα οὖν ᾖ $SB^bC^b$. | 20. γὰρ om γρ Alex. | τάχ' om *T*. | 21. τὸ om *c*. | τι] τοι *a*, om $A^b$. | ante αὑτῷ add ὡς *as*. | ἑαυτῷ $A^b$, αὐτῷ *as*. | 22. λέγει *as*. | εἰ] οὐ $SB^bC^b$. | 23. οὔτ' αὐτῷ $A^b$: ceteri et *c* οὐθ' αὐτῷ. | πρὸς αὐτὸν *a*. | 24. ἐὰν $A^b$. | ἔσται δή τι ὡρισμένον Alex p. 230, 25. | 26. ἔτι — 28. ἔχοι add $A^bF^bcb$, non interpretari videtur Alex. | 29. γ' om *as* et $F^b$, sed non om Alex. | 30. ἢ] καὶ $F^b$. | ἅπαν $A^b$. | 31. τὸ] γὰρ *as*. | ἔσται pr $F^b$. | post ἔστω add *autem i*. | τοῦτο om *T*. | 32. εἰ] τὸ εἰ $A^b$. | 33. ἄνθρωπος om $A^b$ et fort. Alex p. 233, 5. | ᾖ] εἰ $A^b$. | τι ὁ ἄνθρωπος *as*. | ἔσται $A^bF^b$ Alex: ceteri ἐστι. | 34. εἰ ἐπὶ πλείω $A^b$.

1006 *b* 1. post ἑκάστῳ add τῷ $A^bcb$. | 2. post ὄνομα punctum *cb*. | τὸν ἄνθρωπον *ESTas*. | 3. ὧν εἷς μὲν εἴη λόγος $A^b$. | τὸ ζῷον τὸ δίπουν *as*. | δίπουν om *E*. | 4. post δίπουν punctum *cb*. | εἰσὶ] εἶεν $A^bic$. | 5. τὸν λόγον $TA^b$.



Digitized by Google

*μὴ τεθείη ἀλλ' ἄπειρα σημαίνειν φαίη, φανερὸν ὅτι οὐκ ἂν εἴη λόγος· τὸ γὰρ μὴ ἕν τι σημαίνειν οὐθὲν σημαίνειν ἐστίν, μὴ σημαινόντων δὲ τῶν ὀνομάτων ἀνῄρηται τὸ διαλέγεσθαι πρὸς ἀλλήλους, κατὰ δὲ τὴν ἀλήθειαν καὶ πρὸς αὑτόν· οὐθὲν γὰρ ἐνδέχεται νοεῖν μὴ νοοῦντα ἕν. εἰ δ' ἐνδέχεται, τεθείη ἂν ὄνομα τούτῳ τῷ πράγματι ἕν. ἔστω δή, ὥσπερ ἐλέχθη κατ' ἀρχάς, σημαῖνόν τι τὸ ὄνομα καὶ σημαῖνον ἕν. οὐ δὴ ἐνδέχεται τὸ ἀνθρώπῳ εἶναι σημαίνειν ὅπερ μὴ εἶναι ἀνθρώπῳ, εἰ τὸ ἄνθρωπος σημαίνει μὴ μόνον καθ' ἑνὸς ἀλλὰ καὶ ἕν (οὐ γὰρ τοῦτο ἀξιοῦμεν τὸ ἓν σημαίνειν τὸ καθ' ἑνός, ἐπεὶ οὕτω γε κἂν τὸ μουσικὸν καὶ τὸ λευκὸν καὶ τὸ ἄνθρωπος ἓν ἐσήμαινεν, ὥστε ἓν ἅπαντα ἔσται· συνώνυμα γάρ), καὶ οὐκ ἔσται εἶναι καὶ μὴ εἶναι τὸ αὐτὸ ἀλλ' ἢ καθ' ὁμωνυμίαν, ὥσπερ ἂν εἰ ὃν ἡμεῖς ἄνθρωπον* 70 *καλοῦμεν, ἄλλοι μὴ ἄνθρωπον καλοῖεν. τὸ δ' ἀπορούμενον οὐ τοῦτό ἐστιν, εἰ ἐνδέχεται τὸ αὐτὸ ἅμα εἶναι καὶ μὴ εἶναι ἄνθρωπον τὸ ὄνομα, ἀλλὰ τὸ πρᾶγμα. εἰ δὲ μὴ σημαίνει ἕτερον τὸ ἄνθρωπος καὶ τὸ μὴ ἄνθρωπος, δῆλον ὅτι καὶ τὸ μὴ εἶναι ἀνθρώπῳ τοῦ εἶναι ἀνθρώπῳ· ὥστ' ἔσται τὸ ἀνθρώπῳ εἶναι μὴ ἀνθρώπῳ εἶναι· ἓν γὰρ ἔσται. τοῦτο γὰρ σημαίνει τὸ εἶναι ἕν, ὡς λώπιον καὶ ἱμάτιον, εἰ ὁ λόγος εἷς. εἰ δ' ἔσται ἕν, ἓν σημαίνει τὸ ἀνθρώπῳ εἶναι καὶ μὴ ἀνθρώπῳ. ἀλλ' ἐδέδεικτο ὅτι ἕτερον σημαίνει. ἀνάγκη τοίνυν, εἴ τι ἔστιν ἀληθὲς εἰπεῖν ὅτι ἄνθρωπος, ζῷον εἶναι δίπουν· τοῦτο γὰρ ἦν ὃ ἐσήμαινε τὸ ἄνθρωπος. εἰ δ' ἀνάγκη τοῦτο, οὐκ ἐνδέχεται μὴ εἶναι τὸ αὐτὸ ζῷον δίπουν· τοῦτο γὰρ*

7. *τι* om *ESTA^b c*. | 9. *δὲ* om *i*. | *αὐτόν is* Alex, *αὑτόν acb*. | 10. *οὐθὲν*] *οὐδὲ* fort. Alex. | *μὴ A^b* Alex: ceteri *μηθὲν*. | 11. *ἔσται* pr *F^b*. | *δὴ*] *ἄρα δὴ Tas*, *δὲ F^b*. | 12. *ἐλέχθη καὶ κατ' Eas*. | *σημαίνειν τι A^b*. | 13. *οὐ δὴ*] *οὐδ' εἰ as*. | *ἄνθρωπος S*. | *σημαίνει s*. | *σημαίνειν* — 14. *εἶναι*] *σημαίνειν ἀνθρώπῳ μὴ εἶναι A^b*, *σ. ὅπερ ἀνθ. μὴ εἶναι c*. | 14. *μὴ* om *S*. | 15. *ἀλλὰ καὶ μίαν φύσιν καὶ ἕν as*. | 16. *ἐπεὶ*] *ἐπεὶ εἰ as*. | *τὸ* ante *λευκὸν* add *A^b* Alex. | 17. *τὸ ἄνθρ.*] *ὁ ἄνθρ.* fort. Alex p. 236, 24, *τὸ* om *EST*. | 19. *ἂν* om *TF^b*. | 21. *ἅμα τὸ αὐτὸ ESTas*. | *εἶναι καὶ*] *καὶ εἶναι καὶ Sas*. | 24. *εἶναι* post *μὴ* om Alex. | 25. *μὴ ἀνθρώπῳ εἶναι*] *τὸ μὴ εἶναι ἀνθρώπω Sas*. | 26. *τὸ εἶναι ἕν*] *ἓν τὸ A^b*. | 29. post *ἄνθρωπος* commate distinxi cum Alex, post *εἰπεῖν* comma *cb*. | 30. *ἐσήμαινεν ὁ ἄνθ.* Alex. | 31. *τοῦτο EA^b*: ceteri *τότε*. | *τὸ A^b i*: ceteri *τότε*. scribendum videtur vel *εἰ δ' ἀνάγκη τοῦτο, οὐκ ἐνδέχεται μὴ εἶναι τότε τὸ αὐτὸ ζ. δ.* vel *εἰ δ' ἀνάγκη, τοῦτο οὐκ ἐνδέχεται μὴ εἶναι τότε ζ. δ.*

Digitized by Google

σημαίνει τὸ ἀνάγκη εἶναι, τὸ ἀδύνατον εἶναι μὴ εἶναι ἄνθρωπον. οὐκ ἄρα ἐνδέχεται ἅμα ἀληθὲς εἶναι εἰπεῖν τὸ αὐτὸ ἄνθρωπον εἶναι καὶ μὴ εἶναι ἄνθρωπον. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ μὴ εἶναι ἄνθρωπον· τὸ γὰρ ἀνθρώπῳ **1007*a*** εἶναι καὶ τὸ μὴ ἀνθρώπῳ εἶναι ἕτερον σημαίνει, εἴπερ καὶ τὸ λευκὸν εἶναι καὶ τὸ ἄνθρωπον εἶναι ἕτερον· πολὺ γὰρ ἀντίκειται ἐκεῖνο μᾶλλον, ὥϛε σημαίνειν ἕτερον. εἰ δὲ καὶ τὸ λευκὸν φήσει τὸ αὐτὸ καὶ ἓν σημαίνειν, πάλιν τὸ αὐτὸ ἐρȣ̃μεν ὅπερ καὶ πρότερον ἐλέχθη, ὅτι ἓν πάντα ἔσται καὶ ȣ̓ μόνον τὰ ἀντικείμενα. εἰ δὲ μὴ ἐνδέχεται τȣ̃το, συμβαίνει τὸ λεχθέν, ἂν ἀποκρίνηται τὸ ἐρωτώμενον. ἐὰν δὲ προϛιθῇ ἐρωτῶντος ἁπλῶς καὶ τὰς ἀποφάσεις, ȣ̓κ ἀποκρίνεται τὸ ἐρωτώμενον. ȣ̓θὲν γὰρ κωλύει εἶναι τὸ αὐτὸ καὶ ἄνθρωπον καὶ λευκὸν καὶ ἄλλα μυρία τὸ πλῆθος· ἀλλ' 71 ὅμως ἐρομένȣ εἰ ἀληθὲς εἰπεῖν ἄνθρωπον τοῦτο εἶναι ἢ οὔ, ἀποκριτέον τὸ ἓν σημαῖνον, καὶ ȣ̓ προσθετέον ὅτι καὶ λευκὸν καὶ μέγα. καὶ γὰρ ἀδύνατον ἄπειρά γ' ὄντα τὰ συμβεβηκότα διελθεῖν· ἢ οὖν ἅπαντα διελθέτω ἢ μηθέν. ὁμοίως τοίνυν εἰ καὶ μυριάκις ἐϛὶ τὸ αὐτὸ ἄνθρωπος καὶ ȣ̓κ ἄνθρωπος, ȣ̓ προσαποκριτέον τῷ ἐρομένῳ εἰ ἔϛιν ἄνθρωπος, ὅτι ἔστιν ἅμα καὶ οὐκ ἄνθρωπος, εἰ μὴ καὶ τἆλλα ὅσα συμβέβηκε προσαποκριτέον, ὅσα ἐϛὶν ἢ μή ἐϛιν· ἐὰν δὲ τȣ̃το ποιῇ, ȣ̓ διαλέγεται. ὅλως δ' ἀναιρȣ̃σιν οἱ τȣ̃το λέγοντες ȣ̓σίαν καὶ τὸ τί ἦν εἶναι. πάντα γὰρ ἀνάγκη συμβεβηκέναι φάσκειν αὐτοῖς, καὶ τὸ ὅπερ ἀνθρώπῳ εἶναι ἢ ζῴῳ εἶναι τί ἦν εἶναι μὴ εἶναι. εἰ γὰρ ἔϛαι τι ὅπερ ἀνθρώπῳ εἶναι, τοῦτο οὐκ ἔϛαι μὴ ἀνθρώπῳ εἶναι ἢ μὴ εἶναι ἀνθρώπῳ, καίτοι αὗται ἀποφάσεις τούτου· ἓν γὰρ ἦν ὃ ἐσήμηνε,

34. αὐτὸς δ' $A^bF^b$.

1007*a* 2. *μὴ εἶναι ἀνθρώπω T.* | 4. *σημαίνει* $A^b$. | 5. *φησι* $A^b$. | 6. *ἓν τὰ πάντα Sas.* | *ἔσται* Alex p. 240, 3, *ἐστὶ iascb.* | 9. *ἐρωτῶντός τινος ἁπλῶς STas.* | *τὰς ἀπὸ ἀντιφάσεως* $F^b$. | *ἀποκρινεῖται* fort. Alex. | 10. *τὸ αὐτὸ εἶναι* $A^b$. | 12. *ἐρωμένου E.* | 14. *γ'* om *Sas.* | 15. *οὖν τὰ ἄπειρα πάντα διελθετέον* $A^b$. | 17. *ἐρωμένω E.* | 18. *ἅμα] ἀλλὰ* $A^b$. | *εἰ μὴ] εἰ δὲ μὴ* Cas *γρ*, fort. recte. | *μὴ καὶ] καὶ μὴ Sas.* | ***nisi cetera — respondeat i***, *προσαποκρίνηται* Cas mg. | 20. post *τοῦτο* add ***non i.*** | 21. *εἶναι μὴ εἶναι πάντα* $A^b$. | 22. *τὸ μὴ ἢ* $C^b$. | *ἢ — 23. 24. ἀνθρώπῳ εἶναι* om *E.* | 23. *τί ἦν εἶναι μὴ εἶναι* Alex, *μὴ εἶναι τί ἦν εἶναι τινός* $A^b$: ceteri et Ascl *cb μὴ εἶναι.* | 25. *ἐσήμανε* $TA^b$, *ἐσήμαινε* Alex *as.*



Digitized by Google

*καὶ ἦν τοῦτο τινὸς οὐσία. τὸ δ' οὐσίαν σημαίνειν ἐστὶν ὅτι οὐκ ἄλλο τι τὸ εἶναι αὐτῷ. εἰ δ' ἔσται αὐτῷ τὸ ὅπερ ἀνθρώπῳ εἶναι ὅπερ μὴ ἀνθρώπῳ εἶναι ἢ ὅπερ μὴ εἶναι ἀνθρώπῳ, ἄλλο τι ἔσται. ὥστ' ἀναγκαῖον αὐτοῖς λέγειν ὅτι οὐθενὸς ἔσται τοιȣ̃τος λόγος, ἀλλὰ πάντα κατὰ συμβεβηκός· τȣ́τῳ γὰρ διώριϛαι ȣ̓σία καὶ τὸ συμβεβηκός· τὸ γὰρ λευκὸν τῷ ἀνθρώπῳ συμβέβηκεν, ὅτι ἔϛι μὲν λευκὸς ἀλλ' ȣ̓χ ὅπερ λευκόν. εἰ δὲ πάντα κατὰ συμβεβηκὸς λέγεται, ȣ̓θὲν ἔϛαι πρῶτον τὸ καθ' οὗ, εἰ ἀεὶ τὸ συμβεβηκὸς καθ' ὑποκειμένȣ τινὸς σημαίνει τὴν κατη-* 72
1007*b* *γορίαν. ἀνάγκη ἄρα εἰς ἄπειρον ἰέναι. ἀλλ' ἀδύνατον· ȣ̓δὲ γὰρ πλείω συμπλέκεται δυοῖν· τὸ γὰρ συμβεβηκὸς οὐ συμβεβηκότι συμβεβηκός, εἰ μὴ ὅτι ἄμφω συμβέβηκε ταὐτῷ. λέγω δ' οἷον τὸ λευκὸν μȣσικόν, καὶ τȣ̃το λευκόν, ὅτι ἄμφω τῷ ἀνθρώπῳ συμβέβηκεν. ἀλλ' ȣ̓χ ὁ Σωκράτης μȣσικὸς ȣ̔́τως, ὅτι ἄμφω συμβέβηκεν ἑτέρῳ τινί. ἐπεὶ τοίνυν τὰ μὲν οὕτως τὰ δ' ἐκείνως λέγεται συμβεβηκότα, ὅσα ȣ̔́τως λέγεται ὡς τὸ λευκὸν τῷ Σωκράτει, ȣ̓κ ἐνδέχεται ἄπειρα εἶναι ἐπὶ τὸ ἄνω, οἷον τῷ Σωκράτει τῷ λευκῷ ἕτερόν τι συμβεβηκός· ȣ̓ γὰρ γίγνεταί τι ἓν ἐξ ἁπάντων. ȣ̓δὲ δὴ τῷ λευκῷ ἕτερόν τι ἔϛαι συμβεβηκός, οἷον τὸ μȣσικόν· οὐθέν τε γὰρ μᾶλλον τοῦτο ἐκείνῳ ἢ ἐκεῖνο τούτῳ συμβέβηκεν. καὶ ἅμα διώριϛαι ὅτι τὰ μὲν ȣ̔́τω συμβέβηκε, τὰ δ' ὡς τὸ μουσικὸν Σωκράτει· ὅσα δ' οὕτως, οὐ συμβεβηκότι συμβέβηκε τὸ συμβεβηκός, ἀλλ' ὅσα ἐκείνως· ὥϛ' οὐ πάντα κατὰ συμβεβηκὸς λεχθήσεται. ἔσται ἄρα τι καὶ ὡς οὐσίαν σημαῖνον. εἰ δὲ τȣ̃το, δέδεικται ὅτι*

26. *οὐσία τῇδ' οὐσία* S. | *σημαίνειν δ' αὐτῆς ἐστὶν* $A^b$. | 27. *ἔστιν* $F^b$. | *αὐτῷ τὸ*] *αὐτῷ καὶ τὸ* **as**, *τί* $A^b$. | 28. *ὅπερ*] *ἅμα καὶ ὅπερ* Alex, *ἢ ὅπερ* $A^b$*cb*. | *ἀνθρώπω μὴ* $A^b$. | 29. *τι* add $A^b$ Alex. | 30. *τοιοῦτος εἰδικὸς καὶ οὐσιώδης καὶ ἀεὶ τῷ ὑποκειμένῳ προσηρμοσμένος λόγος* **as**. | 31. *τοῦτο* S T**as**. | *τούτῳ — συμβεβηκός* om E. | 32. ante *τὸ* add *τὸ γὰρ λευκὸν τῷ ἀνθρώπῳ συμβεβηκός* c. | 33. *ἔσται* S. | 34. *καθ' οὗ* scripsi de coniectura Alex: vulgo et Alex *cb καθόλου*. | *εἰ δ' ἀεὶ* EST**ias**. | 35. *τινὸς* om $F^b$, sed add Alex.

1007*b* 1. *οὗ* ST. | 2. *πλείω*] *δύο* $A^b$. | 4. *μουσικόν*] *καὶ μ.* T**as**. | 6. *οὗτος* S. | 7. *ἐκείνως*] *ἄλλως* T. | 9. *τὸ ἄνω*] *τῷ ἀνθρώπῳ* **as**. | *ἄνω*] *ἀνθρώπω* T. | *λευκῷ*] *λευκῷ ὁμοίως* Alex, *λευκῷ καὶ* T**ias**. | 11. *ἔσται ἕτερόν τι* S, *ἔσται* om Alex. | 12. *γὰρ* om T. | 13. ante *καὶ ἅμα* comma *b*. | *τούτω* $A^b$. | 15. *τὸ* om ES. | *ἐκείνω* S. | 16. post *ἐκείνως* comma *b*.

Digitized by Google

*ἀδύνατον ἅμα κατηγορεῖσθαι τὰς ἀντιφάσεις. ἔτι εἰ ἀληθεῖς αἱ ἀντιφάσεις ἅμα κατὰ τοῦ αὐτοῦ πᾶσαι, δῆλον ὡς ἅπαντα ἔσται ἕν. ἔσται γὰρ τὸ αὐτὸ καὶ τριήρης καὶ τοῖχος καὶ ἄνθρωπος, εἰ κατὰ παντός τι ἢ καταφῆσαι ἢ ἀποφῆσαι ἐνδέχεται, καθάπερ ἀνάγκη τοῖς τὸν Πρωταγόρου λέγουσι λόγον. εἰ γάρ τῳ δοκεῖ μὴ εἶναι τριήρης ὁ ἄνθρωπος, δῆλον ὅτι οὐκ ἔστι τριήρης· ὥστε καὶ ἔστιν, εἴπερ ἡ ἀντίφασις ἀληθής. καὶ γίγνεται δὴ τὸ τοῦ Ἀναξαγόρου, ὁμοῦ πάντα χρήματα· ὥστε μηθὲν ἀληθῶς ὑπάρχειν. τὸ* 73 *ἀόριστον οὖν ἐοίκασι λέγειν, καὶ οἰόμενοι τὸ ὂν λέγειν περὶ τοῦ μὴ ὄντος λέγουσιν· τὸ γὰρ δυνάμει ὂν καὶ μὴ ἐντελεχείᾳ τὸ ἀόριστόν ἐστιν. ἀλλὰ μὴν λεκτέον γ' αὐτοῖς κατὰ παντὸς τὴν κατάφασιν ἢ τὴν ἀπόφασιν· ἄτοπον γὰρ εἰ ἑκάστῳ ἡ μὲν αὐτοῦ ἀπόφασις ὑπάρξει, ἡ δ' ἑτέρου ὃ μὴ ὑπάρχει αὐτῷ οὐχ ὑπάρξει. λέγω δ' οἷον εἰ ἀληθὲς εἰπεῖν τὸν ἄνθρωπον ὅτι οὐκ ἄνθρωπος, δῆλον ὅτι καὶ οὐ τριήρης. εἰ μὲν οὖν ἡ κατάφασις, ἀνάγκη καὶ τὴν ἀπόφασιν· εἰ δὲ μὴ ὑπάρχει ἡ κατάφασις, ἥ γε ἀπόφασις ὑπάρξει μᾶλλον ἢ ἡ αὐτοῦ. εἰ οὖν κἀκείνη ὑπάρχει, ὑπάρξει καὶ ἡ* 1008*a* *τῆς τριήρους· εἰ δ' αὕτη, καὶ ἡ κατάφασις. ταῦτά τε οὖν συμβαίνει τοῖς λέγουσι τὸν λόγον τοῦτον, καὶ ὅτι οὐκ ἀνάγκη ἢ φάναι ἢ ἀποφάναι. εἰ γὰρ ἀληθές ἐστιν ὅτι ἄνθρωπος καὶ οὐκ ἄνθρωπος, δῆλον ὅτι καὶ οὔτ' ἄνθρωπος οὔτ' οὐκ ἄνθρωπος ἔσται· τοῖν γὰρ δυοῖν δύο ἀποφάσεις. εἰ δὲ μία ἐξ ἀμφοῖν ἐκείνη, καὶ αὕτη μία ἂν εἴη ἀντικειμένη. ἔτι ἤτοι περὶ ἅπαντα οὕτως ἔχει, καὶ ἔστι καὶ λευκὸν καὶ οὐ λευκὸν καὶ ὂν καὶ οὐκ ὄν, καὶ περὶ τὰς ἄλλας φάσεις καὶ*

19. *κατὰ*] *καὶ* *S*. | 20. *γὰρ*] *ἄρα* *as*. | 21. *πάντα* *S*. | *τι* om $A^b$. | 23. *λόγον λέγουσι* $A^b$ Alex *c*. | *δοκεῖν* $SA^bas$. | 24. *ὅτι*] *ὡς* $A^b$ Alex. | *οὐκ ἔστι*] *οὐκ ἔσται* *Tas* Alex: recipiendum videtur ac deinde in textu scribendum *ὥστε καὶ ἔσται*. | 25. *ἡ*] *ἦν ἡ* $A^b$. | 26. *ἐνυπάρχειν* *E*, *ἓν ὑπάρχειν* *STias*. | 27. *ἐοίκασι τῆς ὕλης λέγειν* *T*. | *λέγειν τὸ ὂν* $A^bc$. | 28. post *ὄντος* add *δύνασθαι* *as*. | 29. *τοῦ* *T*. | *αὐτὸς* *S*. | 30. scribendum arbitror *κατὰ παντὸς παντὸς τὴν κατάφ*. coll. Alex p. 251, 25. 268, 19. | 33. *οὐ*] *ἢ τριήρης ἢ οὐ* $A^b$. | 35. *ἥ γε*] *εἰ ἥ γε* *E*, *εἴ γε ἡ* *as*.

1008*a* 1. *ἢ ἡ* *ET* Alex *ias*, *ἢ* *S*, *ἡ* *cb*, om $A^b$. | post *αὐτοῦ* add *ἢ τῆς τριήρους* *Tas*. | *ὑπάρχει* om *as*. | 3. *λέγουσι*] *ἔχουσι* $F^b$ pr. | 4. *ἢ* ante *φάναι* om $STF^b$. | *ἢ ἀποφ.*] *καὶ ἀποφ.* $F^b$. | *ἐστιν* add $A^b$, om *asc*. | 7. *ἀμφοτέρων* *ESTas*. | *ἔτι*] *τι* $A^b$, *ἔτι εἴ τι* *T*. | 8. *καὶ* post *ἔστι* om *T*. | *οὐ* om *S*.

Digitized by Google

*ἀποφάσεις ὁμοιοτρόπως, ἢ οὔ ἀλλὰ περὶ μέν τινας, περί τινας δ᾽ οὔ. καὶ εἰ μὲν μὴ περὶ πάσας, αὗται ἂν εἶεν ὁμολογούμεναι· εἰ δὲ περὶ πάσας, πάλιν ἤτοι καθ᾽ ὅσων τὸ φῆσαι καὶ ἀποφῆσαι καὶ καθ᾽ ὅσων ἀποφῆσαι καὶ φῆσαι, ἢ κατὰ μὲν ὧν φῆσαι καὶ ἀποφῆσαι, καθ᾽ ὅσων δὲ ἀποφῆσαι οὐ πάντων φῆσαι. καὶ εἰ μὲν οὕτως, εἴη ἄν τι παγίως οὐκ ὄν, καὶ αὕτη βεβαία δόξα· καὶ εἰ τὸ μὴ εἶναι βέβαιόν τι καὶ γνώριμον, γνωριμωτέρα ἂν εἴη ἡ φάσις ἡ ἀντικειμένη. εἰ δὲ ὁμοίως καὶ ὅσα ἀποφῆσαι φάναι* 74 *ἀνάγκη, ἤτοι ἀληθὲς διαιροῦντα λέγειν, οἷον ὅτι λευκὸν καὶ πάλιν ὅτι οὐ λευκόν, ἢ οὔ. καὶ εἰ μὲν μὴ ἀληθὲς διαιροῦντα λέγειν, οὐ λέγει τε ταῦτα καὶ οὐκ ἔστιν οὐθέν· τὰ δὲ μὴ ὄντα πῶς ἂν φθέγξαιτο ἢ βαδίσειεν; καὶ πάντα δ᾽ ἂν εἴη ἕν, ὥσπερ καὶ πρότερον εἴρηται, καὶ ταὐτὸν ἔσται καὶ ἄνθρωπος καὶ θεὸς καὶ τριήρης καὶ αἱ ἀντιφάσεις αὐτῶν. εἰ δ᾽ ὁμοίως καθ᾽ ἑκάστου, οὐθὲν διοίσει ἕτερον ἑτέρου· εἰ γὰρ διοίσει, τοῦτ᾽ ἔσται ἀληθὲς καὶ ἴδιον. ὁμοίως δὲ καὶ εἰ διαιροῦντα ἐνδέχεται ἀληθεύειν, συμβαίνει τὸ λεχθέν. πρὸς δὲ τούτῳ ὅτι πάντες ἂν ἀληθεύοιεν καὶ πάντες ἂν ψεύδοιντο, καὶ αὐτὸς αὑτὸν ὁμολογεῖ ψεύδεσθαι. ἅμα δὲ φανερὸν ὅτι περὶ οὐθενός ἐστι πρὸς τοῦτον ἡ σκέψις· οὐθὲν γὰρ λέγει. οὔτε γὰρ οὕτως οὔτ᾽ οὐχ οὕτως λέγει, ἀλλ᾽ οὕτως τε καὶ οὐχ οὕτως. καὶ πάλιν γε ταῦτα ἀπόφησιν ἄμφω, ὅτι οὔθ᾽ οὕτως οὔτε οὐχ οὕτως· εἰ γὰρ μή, ἤδη ἄν τι εἴη ὡρισμένον. ἔτι εἰ ὅταν ἡ φάσις ἀληθὴς ᾖ, ἡ ἀπόφασις ψευδής, κἂν αὕτη ἀληθὴς ᾖ, ἡ κατάφασις ψευδής, οὐκ ἂν εἴη τὸ αὐτὸ ἅμα φάναι καὶ*

10. *μὲν περί* $A^b$. | 12. *ἤτοι*] *εἴτι* *T*. | 14. *καθ᾽*] *καὶ καθ᾽* *T*. | 15. *πάντως* **ES**. | 16. post *εἶναι* comma *b* et 17. post *γνώριμον* colon *cb*. | 17. *γνωριμωτέρα*] *βεβαιοτέρα* *as*. | post *γνωριμωτέρα* add *γὰρ* $A^b$*cb*: ceteri et Alex om. | *ἡ* ante *φάσις* om *T*. | 18. *ἡ ἀντικ.*] *ἢ ἡ ἀντικειμένη ἀπόφασις* $A^b$*c*. | *ὅσα ἀποφῆσαι φάναι*] *ὧν ἔστιν ἀποφῆσαι κατὰ τούτων ἔστι φάναι* $A^b$*cb*: ceteri et Alex *ὅσα ἀποφ. φ.* | 19. post *ἀνάγκη* comma Alex, ante *ἀνάγκη* *cb*. | 21. *λέγειν*] *λέγει* $A^b$. | 22. *βαδίσειεν*] *νοήσεις* $A^b$, *νοήσειεν* *b*: ceteri et Alex Ascl *βαδίσειεν*. | *ἅπαντα* $A^b$*c*. | 24. *καὶ* post *ἔσται* om *T*. | 25. *εἰ δ᾽*] *εἰ γὰρ* $A^b$*cb*: ceteri et Alex *εἰ δ᾽*. | *ἕκαστον* **STas**. | *οὐδενὶ* $A^b$. | 27. *εἰ καὶ* *T*. | 28. *τούτοις* $F^b$. | *ἀληθεύσειεν* $A^b$. | 30. *περὶ* om $F^b$. | 33. *ἀπόφασιν* **Tias**. | post *οὐχ οὕτως* add *λέγει, ἀλλ᾽ οὕτως τε καὶ οὐχ οὕτως* **Sas**. | 34. *εἴη*] *πω* $A^b$. | 35. *ᾖ* alterum om $A^b$. | 36. *ἅμα τὸ αὐτὸ* **ESTas**.

Digitized by Google

ἀποφάναι ἀληθῶς. ἀλλ' ἴσως φαῖεν ἂν τοῦτ' εἶναι τὸ ἐξ 1008b
ἀρχῆς κείμενον. ἔτι ἆρα ὁ μὲν ἢ ἔχειν πως ὑπολαμβάνων ἢ μὴ ἔχειν διέψευσται, ὁ δὲ ἄμφω ἀληθεύει; εἰ γὰρ ἀληθεύει, τί ἂν εἴη τὸ λεγόμενον ὅτι τοιαύτη τῶν ὄντων ἡ φύσις; εἰ δὲ μὴ ἀληθεύει, ἀλλὰ μᾶλλον ἀληθεύει ὁ ἐκείνως ὑπολαμβάνων, ἤδη πως ἔχοι ἂν τὰ ὄντα, καὶ τοῦτ' ἀληθὲς ἂν εἴη, καὶ οὐχ ἅμα καὶ οὐκ ἀληθές. εἰ δὲ ὁμοίως ἅπαντες καὶ ψεύδονται καὶ ἀληθῆ λέγουσιν, οὔτε φθέγξα-
75 σθαι οὔτ' εἰπεῖν τῷ τοιούτῳ ἔστιν· ἅμα γὰρ ταῦτά τε καὶ οὐ ταῦτα λέγει. εἰ δὲ μηθὲν ὑπολαμβάνει ἀλλ' ὁμοίως οἴεται καὶ οὐκ οἴεται, τί ἂν διαφερόντως ἔχοι τῶν φυτῶν; ὅθεν καὶ μάλιστα φανερόν ἐστιν ὅτι οὐθεὶς οὕτω διάκειται οὔτε τῶν ἄλλων οὔτε τῶν λεγόντων τὸν λόγον τοῦτον. διὰ τί γὰρ βαδίζει Μέγαράδε ἀλλ' οὐχ ἡσυχάζει οἰόμενος βαδίζειν; οὐδ' εὐθέως ἕωθεν πορεύεται εἰς φρέαρ ἢ εἰς φάραγγα, ἐὰν τύχῃ, ἀλλὰ φαίνεται εὐλαβούμενος, ὡς οὐχ ὁμοίως οἰόμενος μὴ ἀγαθὸν εἶναι τὸ ἐμπεσεῖν καὶ ἀγαθόν; δῆλον ἄρα ὅτι τὸ μὲν βέλτιον ὑπολαμβάνει τὸ δ' οὐ βέλτιον. εἰ δὲ τοῦτο, καὶ τὸ μὲν ἄνθρωπον τὸ δ' οὐκ ἄνθρωπον καὶ τὸ μὲν γλυκὺ τὸ δ' οὐ γλυκὺ ἀνάγκη ὑπολαμβάνειν. οὐ γὰρ ἐξ ἴσου ἅπαντα ζητεῖ καὶ ὑπολαμβάνει, ὅταν οἰηθεὶς βέλτιον εἶναι τὸ πιεῖν ὕδωρ καὶ ἰδεῖν ἄνθρωπον εἶτα ζητῇ αὐτά· καίτοι γ' ἔδει, εἰ ταὐτὸν ἦν ὁμοίως καὶ ἄνθρωπος καὶ οὐκ ἄνθρωπος. ἀλλ' ὅπερ ἐλέχθη, οὐθεὶς ὃς οὐ φαίνεται τὰ μὲν εὐλαβούμενος τὰ δ' οὔ. ὥστε, ὡς ἔοικε, πάντες ὑπολαμβάνουσιν ἔχειν ἁπλῶς, εἰ μὴ περὶ ἅπαντα, ἀλλὰ περὶ τὸ ἄμεινον καὶ χεῖρον. εἰ δὲ μὴ ἐπιστάμενοι ἀλλὰ δοξάζοντες, πολὺ μᾶλλον ἐπιμελητέον ἂν εἴη τῆς ἀληθείας, ὥσπερ καὶ νοσώδει ὄντι ἢ ὑγιεινῷ τῆς ὑγιείας· καὶ γὰρ ὁ δοξάζων πρὸς τὸν ἐπιστάμενον οὐχ ὑγιεινῶς διάκειται πρὸς τὴν ἀλήθειαν. ἔτι εἰ ὅτι μάλιστα πάντα οὕτως

1008 b 2. ἄρα *as.* | πῶς *a.* | 3. ἀληθεύσει $F^b$. | γὰρ] γὰρ μὴ $A^b$. | 4. ὅτι] *nisi quod i.* | 5. φύσις] φύσις ἀληθεύει *Sas.* | ὁ] ἢ ὁ $A^b c$. | 8. πάντες Alex. | καὶ οὐκ ἀλ. *E.* | φθέγγεσθαι *Sas.* | 9. ἔσται $A^b$, fort. recte. | ταὐτά τε καὶ οὐ ταὐτά plerique. | 11. τῶν] τί τῶν *T.* | φυτῶν de coniectura scripsi secutus Alex p. 255, 11. 17. 21: vulgo et *cb* πεφυκότων. | 15. εὐθὺς $A^b$. | εἰς post ἢ om *E.* | 17. τὸ om *E.* | 21. οἰηθῆς $A^b$, οἰηθῇ *as.* | 23. ζητεῖ *STA^bas.* | γε δεῖ *T*, ἔδει γ' *ESasc.* | 24. καὶ οὐκ ἄνθρωπος om *c.* | 25. ὡς om *T.* | 30. τὸν om *Sas.* | 31. εἰ] ἢ *T.*

Digitized by Google

ἔχει καὶ οὐχ οὕτως, ἀλλὰ τό γε μᾶλλον καὶ ἧττον ἔνεστιν ἐν τῇ φύσει τῶν ὄντων· οὐ γὰρ ἂν ὁμοίως φήσαιμεν εἶναι τὰ δύο ἄρτια καὶ τὰ τρία, οὐδ' ὁμοίως διέψευσται ὁ τὰ τέτταρα πέντε οἰόμενος καὶ ὁ χίλια. εἰ οὖν μὴ ὁμοίως, δῆλον ὅτι ἅτερος ἧττον, ὥστε μᾶλλον ἀληθεύει. εἰ οὖν τὸ
1009 a μᾶλλον ἐγγύτερον, εἴη γε ἄν τι ἀληθὲς οὗ ἐγγύτερον τὸ 76
μᾶλλον ἀληθές. κἂν εἰ μή ἐστιν, ἀλλ' ἤδη γέ τι ἐστὶ βεβαιότερον καὶ ἀληθινώτερον, καὶ τοῦ λόγου ἀπηλλαγμένοι ἂν εἴημεν τοῦ ἀκράτου καὶ κωλύοντός τι τῇ διανοίᾳ ὁρίσαι.

5 Ἔστι δ' ἀπὸ τῆς αὐτῆς δόξης καὶ ὁ Πρωταγόρου λόγος, καὶ ἀνάγκη ὁμοίως ἄμφω αὐτοὺς ἢ εἶναι ἢ μὴ εἶναι. εἴτε γὰρ τὰ δοκοῦντα πάντα ἐστὶν ἀληθῆ καὶ τὰ φαινόμενα, ἀνάγκη πάντα ἅμα ἀληθῆ καὶ ψευδῆ εἶναι. πολλοὶ γὰρ τἀναντία ὑπολαμβάνουσιν ἀλλήλοις, καὶ τοὺς μὴ ταὐτὰ δοξάζοντας ἑαυτοῖς διεψεῦσθαι νομίζουσιν· ὥστ' ἀνάγκη τὸ αὐτὸ εἶναί τε καὶ μὴ εἶναι. καὶ εἰ τοῦτ' ἐστίν, ἀνάγκη τὰ δοκοῦντα εἶναι πάντ' ἀληθῆ· τὰ ἀντικείμενα γὰρ δοξάζουσιν ἀλλήλοις οἱ διεψευσμένοι καὶ ἀληθεύοντες. εἰ οὖν ἔχει τὰ ὄντα οὕτως, ἀληθεύσουσι πάντες. ὅτι μὲν οὖν ἀπὸ τῆς αὐτῆς εἰσὶ διανοίας ἀμφότεροι οἱ λόγοι, δῆλον. ἔστι δ' οὐχ ὁ αὐτὸς τρόπος πρὸς πάντας τῆς ἐντεύξεως· οἱ μὲν γὰρ πειθοῦς δέονται, οἱ δὲ βίας. ὅσοι μὲν γὰρ ἐκ τοῦ ἀπορῆσαι ὑπέλαβον οὕτως, τούτων εὐΐατος ἡ ἄγνοια· οὐ γὰρ πρὸς τὸν λόγον ἀλλὰ πρὸς τὴν διάνοιαν ἡ ἀπάντησις αὐτῶν· ὅσοι δὲ λόγου χάριν λέγουσι, τούτων δ' ἔλεγχος ἴασις τοῦ τ' ἐν τῇ φωνῇ λόγου καὶ τοῦ ἐν τοῖς ὀνόμασιν. ἐλήλυθε δὲ τοῖς διαπορουσιν αὕτη ἡ δόξα ἐκ τῶν αἰσθητῶν, ἡ μὲν τοῦ ἅμα τὰς ἀντιφάσεις καὶ τἀναντία ὑπάρχειν ὁρῶσιν ἐκ ταὐτοῦ γινόμενα τἀναντία. εἰ οὖν μὴ ἐνδέχεται γενέσθαι τὸ μὴ ὄν, προϋπῆρχεν ὁμοίως τὸ πρᾶγμα ἄμφω ὄν, ὥσπερ καὶ Ἀναξαγόρας μεμῖχθαι πᾶν ἐν παντί φησι καὶ Δημόκρι-

34. δύο] δύο εἶναι $A^b$. | 35. πέντε] πάντα E.

1009 a 1. τι om $A^b$. | 7. αὐτοὺς ἄμφω $A^b$. | ἄμφω om $F^b$. | 9. εἶναι post ἀνάγκη $A^b$. | 11. διεψεῦσθαι] ψευδεῖς Alex. | 13. πάντα εἶναι T. | 15. ἀληθεύουσι ESTias. | οὖν εἰσὶν ἀπὸ τῆς αὐτῆς δ. οἱ τοιοῦτοι λόγοι $A^b$. | 17. ἅπαντας ESTas. | 21. τ' om $A^b$. | 24. ὑπάρξειν ET. | 25. γίνεσθαι $A^b$ Alex, fort. recte. | 26. post ἄμφω ὄν add τουτέστιν ὂν καὶ μὴ ὂν $A^b$.

Digitized by Google

τος· καὶ γὰρ οὗτος τὸ κενὸν καὶ τὸ πλῆρες ὁμοίως καθ'
77 ὁτιοῦν ὑπάρχειν μέρος, καίτοι τὸ μὲν ὂν τούτων εἶναι, τὸ δὲ
μὴ ὄν. πρὸς μὲν οὖν τοὺς ἐκ τούτων ὑπολαμβάνοντας ἐροῦμεν
ὅτι τρόπον μέν τινα ὀρθῶς λέγουσι, τρόπον δέ τινα ἀγνοοῦσιν.
τὸ γὰρ ὂν λέγεται διχῶς, ὥστ' ἔστιν ὃν τρόπον ἐνδέχεται
γίγνεσθαί τι ἐκ τοῦ μὴ ὄντος, ἔστι δ' ὃν οὔ, καὶ ἅμα τὸ
αὐτὸ εἶναι ὂν καὶ μὴ ὄν, ἀλλ' οὐ κατὰ ταὐτὸ ὄν· δυ-
νάμει μὲν γὰρ ἐνδέχεται ἅμα ταὐτὸ εἶναι τὰ ἐναντία,
ἐντελεχείᾳ δ' οὔ. ἔτι δ' ἀξιώσομεν αὐτοὺς ὑπολαμβάνειν
καὶ ἄλλην τινὰ οὐσίαν εἶναι τῶν ὄντων, ᾗ οὔτε κίνησις ὑπάρ-
χει οὔτε φθορὰ οὔτε γένεσις τὸ παράπαν. ὅμοιως δὲ καὶ
ἡ περὶ τὰ φαινόμενα ἀλήθεια ἐνίοις ἐκ τῶν αἰσθητῶν ἐλή- 1009b
λυθεν. τὸ μὲν γὰρ ἀληθὲς οὐ πλήθει κρίνεσθαι οἴονται
προσήκειν οὐδὲ ὀλιγότητι, τὸ δ' αὐτὸ τοῖς μὲν γλυκὺ γευο-
μένοις δοκεῖν εἶναι, τοῖς δὲ πικρόν· ὥστ' εἰ πάντες ἔκαμνον
ἢ πάντες παρεφρόνουν, δύο δ' ἢ τρεῖς ὑγίαινον ἢ νοῦν εἶχον,
δοκεῖν ἂν τούτους κάμνειν καὶ παραφρονεῖν, τοὺς δ' ἄλλους οὔ.
ἔτι δὲ πολλοῖς τῶν ἄλλων ζῴων τἀναντία περὶ τῶν αὐτῶν
φαίνεσθαι καὶ ἡμῖν, καὶ αὐτῷ δὲ ἑκάστῳ πρὸς αὐτὸν οὐ
ταὐτὰ κατὰ τὴν αἴσθησιν ἀεὶ δοκεῖν. ποῖα οὖν τούτων ἀληθῆ
ἢ ψευδῆ, ἄδηλον· οὐθὲν γὰρ μᾶλλον τάδε ἢ τάδε ἀληθῆ,
ἀλλ' ὁμοίως. διὸ Δημόκριτός γέ φησιν ἤτοι οὐθὲν εἶναι
ἀληθὲς ἢ ἡμῖν γ' ἄδηλον. ὅλως δὲ διὰ τὸ ὑπολαμβάνειν
φρόνησιν μὲν τὴν αἴσθησιν, ταύτην δ' εἶναι ἀλλοίωσιν, τὸ
φαινόμενον κατὰ τὴν αἴσθησιν ἐξ ἀνάγκης ἀληθὲς εἶναί
φασιν· ἐκ τούτων γὰρ καὶ Ἐμπεδοκλῆς καὶ Δημόκριτος
καὶ τῶν ἄλλων ὡς ἔπος εἰπεῖν ἕκαστος τοιαύταις δόξαις
78 γεγένηνται ἔνοχοι. καὶ γὰρ Ἐμπεδοκλῆς μεταβάλλοντας
τὴν ἕξιν μεταβάλλειν φησὶ τὴν φρόνησιν· «πρὸς παρεὸν
γὰρ μῆτις ἐναύξεται ἀνθρώποισιν.» καὶ ἐν ἑτέροις δὲ λέγει
ὅτι «ὅσσον ἀλλοῖοι μετέφυν, τόσον ἄρ σφισιν αἰεὶ καὶ τὸ

30. οὖν add $EA^b$ Alex *i*. | 31. ἀληθῶς *T*. | 33. ὂν] ὅπως $A^b$. | 34. post εἶναι add καὶ $A^bcb$: ceteri om, cf. p. 1010a 35. | κατὰ om $A^b$. | αὐτὸ *T*. | 37. τινὰ add $A^b$ et fort. Alex.

1009b 2. κρίνεσθαι οἴονται προσήκειν] *iudicari censere debent i*. | 4. δοκεῖ *ESTias*. | 7. δὲ καὶ π. $A^bc$. | ἄλλων om $A^bF^bc$. | ζώων ὑγιαίνουσι τἀν. $A^bF^bc$. | περὶ τῶν αὐτῶν add $A^bF^b$. | 8. αὐτὸν] fort. αὑτὸν. | 9. ψευδῆ ἢ ἀληθῆ *T*. | 10. οὐθὲν] οὐδὲ Alex. | 12. ὁμοίως $A^b$. | 16. ὡς ἔπ. εἰπεῖν om *i*. | 19. ἀέξεται $SB^bC^b$. | 20. ὅτι om *as*. | ὅσον *as*. | ἀλλοίοις *as*. | μετέφην $STA^bas$. | τόσσον *E*.

Digitized by Google

φρονεῖν ἀλλοῖα παρίστατο.» καὶ Παρμενίδης δὲ ἀποφαίνεται τὸν αὐτὸν τρόπον. «ὡς γὰρ ἕκαστος ἔχει κρᾶσιν μελέων πολυκάμπτων, τὼς νόος ἀνθρώποισι παρίσταται. τὸ γὰρ αὐτό ἔστιν ὅπερ φρονέει μελέων φύσις ἀνθρώποισιν καὶ πᾶσιν καὶ παντί· τὸ γὰρ πλέον ἐστὶ νόημα.» Ἀναξαγόρου δὲ καὶ ἀπόφθεγμα μνημονεύεται πρὸς τῶν ἑταίρων τινάς, ὅτι τοιαῦτ' αὐτοῖς ἔσται τὰ ὄντα οἷα ἂν ὑπολάβωσιν. φασὶ δὲ καὶ τὸν Ὅμηρον ταύτην ἔχοντα φαίνεσθαι τὴν δόξαν, ὅτι ἐποίησε τὸν Ἕκτορα, ὡς ἐξέστη ὑπὸ τῆς πληγῆς, κεῖσθαι ἀλλοφρονέοντα, ὡς φρονοῦντας μὲν καὶ τοὺς παραφρονοῦντας ἀλλ' οὐ ταὐτά. δῆλον οὖν ὅτι, εἰ ἀμφότεραι φρονήσεις, καὶ τὰ ὄντα ἅμα οὕτω τε καὶ οὐχ οὕτως ἔχει. ᾗ καὶ χαλεπώτατον τὸ συμβαῖνόν ἐστιν· εἰ γὰρ οἱ μάλιστα τὸ ἐνδεχόμενον ἀληθὲς ἑωρακότες (οὗτοι δ' εἰσὶν οἱ μάλιστα ζητοῦντες αὐτὸ καὶ φιλοῦντες) οὗτοι τοιαύτας ἔχουσι τὰς δόξας καὶ ταῦτα ἀποφαίνονται περὶ τῆς ἀληθείας, πῶς οὐκ ἄξιον ἀθυμῆσαι τοὺς φιλοσοφεῖν ἐγχειροῦντας; τὸ γὰρ τὰ πετόμενα διώκειν τὸ ζητεῖν ἂν
1010a εἴη τὴν ἀλήθειαν. αἴτιον δὲ τῆς δόξης τούτοις ὅτι περὶ τῶν ὄντων μὲν τὴν ἀλήθειαν ἐσκόπουν, τὰ δ' ὄντα ὑπέλαβον εἶναι τὰ αἰσθητὰ μόνον· ἐν δὲ τούτοις πολλὴ ἡ τοῦ ἀορίστου φύσις ἐνυπάρχει, καὶ ἡ τοῦ ὄντος οὕτως ὥσπερ εἴπομεν·
διὸ εἰκότως μὲν λέγουσιν, οὐκ ἀληθῆ δὲ λέγουσιν. οὕτω γὰρ 79
ἁρμόττει μᾶλλον εἰπεῖν ἢ ὥσπερ Ἐπίχαρμος εἰς Ξενοφάνην. ἔτι δὲ πᾶσαν ὁρῶντες ταύτην κινουμένην τὴν φύσιν, κατὰ δὲ τοῦ μεταβάλλοντος οὐθὲν ἀληθευόμενον, περί γε τὸ πάντῃ πάντως μεταβάλλον οὐκ ἐνδέχεσθαι ἀληθεύειν. ἐκ γὰρ ταύτης τῆς ὑπολήψεως ἐξήνθησεν ἡ ἀκροτάτη δόξα τῶν εἰρημένων, ἡ τῶν φασκόντων ἡρακλειτίζειν, καὶ οἵαν Κρατύλος εἶχεν, ὃς τὸ τελευταῖον οὐθὲν ᾤετο δεῖν λέγειν ἀλλὰ τὸν δάκτυλον ἐκίνει μόνον, καὶ Ἡρακλείτῳ ἐπετίμα

22. ἑκάστω $A^bi$, ἑκάστοτ' $SB^bC^b$, ἕκαστός τ' a. | ἔχῃ $SB^b$. | modo κρᾶσιν modo κράσεως Alex. | 23. πολυκάμπων $F^b$. | ὡς E Alex. | παρέστηκεν s. | 24. φύσις ἀνθρώποισιν om $A^b$, ἀνθρώποισιν om Alex. | 26. καὶ om T. | 27. τινός $ETA^bia$. | ἔσται om c. | 28. τοιαύτην STas. | 31. εἰ om $A^b$. | 33. ἔχῃ E. | ᾗ] ἢ $TA^b$. | 37. ἀθυμεῖν E et fort. Alex. | 38. πετώμενα Ea.

1010a 4. οὕτως ὄντος ὡς προείπομεν Alex. | 5. εἰκότα Alex, fort. recte. | 6. ἢ ξενοφάνης Tas. | 9. πάντως πάντῃ STas. | 12. λέγειν δεῖν T.

Digitized by Google

εἰπόντι ὅτι δὶς τῷ αὐτῷ ποταμῷ οὐκ ἔστιν ἐμβῆναι· αὐτὸς γὰρ ᾤετο οὐδ' ἅπαξ. ἡμεῖς δὲ καὶ πρὸς τοῦτον τὸν λόγον ἐροῦμεν ὅτι τὸ μὲν μεταβάλλον ὅτε μεταβάλλει ἔχει τινὰ αὐτοῖς ἀληθῆ λόγον μὴ οἴεσθαι εἶναι. καίτοι ἔστι γε ἀμφισβητήσιμον· τό τε γὰρ ἀποβάλλον ἔχει τι τοῦ ἀποβαλλομένου, καὶ τοῦ γιγνομένου ἤδη ἀνάγκη τι εἶναι. ὅλως τε εἰ φθείρεται, ὑπάρξει τι ὄν· καὶ εἰ γίγνεται, ἐξ οὗ γίγνεται καὶ ὑφ' οὗ γεννᾶται ἀναγκαῖον εἶναι, καὶ τοῦτο μὴ εἶναι εἰς ἄπειρον. ἀλλὰ ταῦτα παρέντες ἐκεῖνα λέγωμεν, ὅτι οὐ ταὐτόν ἐστι τὸ μεταβάλλειν κατὰ τὸ ποσὸν καὶ κατὰ τὸ ποιόν. κατὰ μὲν οὖν τὸ ποσὸν ἔστω μὴ μένον· ἀλλὰ κατὰ τὸ εἶδος ἅπαντα γιγνώσκομεν. ἔτι δ' ἄξιον ἐπιτιμῆσαι τοῖς οὕτως ὑπολαμβάνουσιν, ὅτι καὶ αὐτῶν τῶν αἰσθητῶν ἐπὶ τῶν ἐλαττόνων τὸν ἀριθμὸν ἰδόντες οὕτως ἔχοντα περὶ ὅλου τοῦ οὐρανοῦ ὁμοίως ἀπεφήναντο. ὁ γὰρ περὶ ἡμᾶς τοῦ αἰσθητοῦ τόπος ἐν φθορᾷ καὶ γενέσει διατελεῖ μόνος ὤν· ἀλλ' οὗτος οὐθὲν ὡς εἰπεῖν μόριον τοῦ παντός ἐστιν, ὥστε δικαιότερον ἂν δι' ἐκεῖνα τούτων ἀπεψηφίσαντο
80 ἢ διὰ ταῦτα ἐκείνων κατεψηφίσαντο. ἔτι δὲ δῆλον ὅτι καὶ πρὸς τούτους ταὐτὰ τοῖς πάλαι λεχθεῖσιν ἐροῦμεν· ὅτι γὰρ ἔστιν ἀκίνητός τις φύσις δεικτέον αὐτοῖς καὶ πειστέον αὐτούς. καίτοι συμβαίνει γε τοῖς ἅμα φάσκουσιν εἶναι καὶ μὴ εἶναι ἠρεμεῖν μᾶλλον φάναι πάντα ἢ κινεῖσθαι· οὐ γὰρ ἔστιν εἰς ὅ τι μεταβάλλει· ἅπαντα γὰρ ὑπάρχει
πᾶσιν. περὶ δὲ τῆς ἀληθείας, ὡς οὐ πᾶν τὸ φαινόμενον 1010b
ἀληθές, πρῶτον μὲν ὅτι οὐδ' ἡ αἴσθησις ψευδὴς τοῦ ἰδίου ἐστίν, ἀλλ' ἡ φαντασία οὐ ταὐτὸν τῇ αἰσθήσει. εἶτ' ἄξιον θαυμάσαι εἰ τοῦτ' ἀποροῦσι, πότερον τηλικαῦτά ἐστι τὰ μεγέθη καὶ τὰ χρώματα τοιαῦτα οἷα τοῖς ἄποθεν φαίνεται ἢ οἷα τοῖς ἐγγύθεν, καὶ πότερον οἷα τοῖς ὑγιαίνουσιν

14. ὅτι add $A^b$. | 15. τούτων E. | 16. ὅτε] ὅτι a. | 18. post ἔχει τι addendum videtur ἔτι ex Alex p. 266, 4. | 19. ἤδη] δὴ Alex. | 22. εἶναι codd et Alex, ἰέναι b. | λέγομεν Sas. | 27. εἰδότες STas. | 29. φορᾷ E. | 30. οὗτος om as. | ὡς εἰπεῖν οὐδὲν $A^b$c. | τοῦ παντὸς μόριον $SB^bC^b$. | 31. ἂν] εἰ $A^b$. | τοῦτον $EA^b$c. | 32. ἢ] ἢ E, εἰ $A^b$. | 34. πιστέον a. | 35. γε συμβαίνει ESTas. | 36. φ. ἢ κινεῖσθαι πάντα $A^b$c. | 37. μεταβάλλειν $A^b$.

1010b 2. post μὲν add γε $A^b$cb: ceteri et Alex om. | ὅτι om $TA^b$ic. | 6. ἢ om S. | πότερον ἢ οἷα T. | ἰσχύουσιν T.

Digitized by Google

ἢ οἷα τοῖς κάμνουσιν, καὶ βαρύτερα πότερον ἃ τοῖς ἀσθενοῦσιν ἢ ἃ τοῖς ἰσχύουσιν, καὶ ἀληθῆ πότερον ἃ τοῖς καθεύδουσιν ἢ ἃ τοῖς ἐγρηγορόσιν. ὅτι μὲν γὰρ οὐκ οἴονταί γε, φανερόν· οὐθεὶς γοῦν ἐὰν ὑπολάβῃ νύκτωρ Ἀθήνησιν εἶναι ὢν ἐν Λιβύῃ, πορεύεται εἰς τὸ ᾠδεῖον. ἔτι δὲ περὶ τοῦ μέλλοντος, ὥσπερ καὶ Πλάτων λέγει, οὐ δήπου ὁμοίως κυρία ἡ τοῦ ἰατροῦ δόξα καὶ ἡ τοῦ ἀγνοοῦντος, οἷον περὶ τοῦ μέλλοντος ἔσεσθαι ὑγιοῦς ἢ μὴ μέλλοντος. ἔτι δὲ ἐπ' αὐτῶν τῶν αἰσθήσεων οὐχ ὁμοίως κυρία ἡ τοῦ ἀλλοτρίου καὶ ἰδίου ἢ τοῦ πλησίον καὶ τοῦ αὑτῆς, ἀλλὰ περὶ μὲν χρώματος ὄψις, οὐ γεῦσις, περὶ δὲ χυμοῦ γεῦσις, οὐκ ὄψις· ὧν ἑκάστη ἐν τῷ αὐτῷ χρόνῳ περὶ τὸ αὐτὸ οὐδέ ποτέ φησιν ἅμα οὕτω καὶ οὐχ οὕτως ἔχειν. ἀλλ' οὐδ' ἐν ἑτέρῳ χρόνῳ περί γε τὸ πάθος ἠμφισβήτησεν, ἀλλὰ περὶ τὸ ᾧ συμβέβηκε τὸ πάθος. λέγω δ' οἷον ὁ μὲν αὐτὸς οἶνος δόξειεν ἂν ἢ μεταβαλὼν ἢ τοῦ σώματος μεταβαλόντος ὁτὲ 81 μὲν εἶναι γλυκὺς ὁτὲ δὲ οὐ γλυκύς· ἀλλ' οὐ τό γε γλυκὺ οἷόν ἐστιν ὅταν ᾖ, οὐδεπώποτε μετέβαλεν, ἀλλ' ἀεὶ ἀληθεύει περὶ αὐτοῦ, καὶ ἔστιν ἐξ ἀνάγκης τὸ ἐσόμενον γλυκὺ τοιοῦτον. καίτοι τοῦτο ἀναιροῦσιν οὗτοι οἱ λόγοι ἅπαντες, ὥσπερ καὶ οὐσίαν μὴ εἶναι μηθενός, οὕτω μηδ' ἐξ ἀνάγκης μηθέν· τὸ γὰρ ἀναγκαῖον οὐκ ἐνδέχεται ἄλλως καὶ ἄλλως ἔχειν, ὥστ' εἴ τι ἔστιν ἐξ ἀνάγκης, οὐχ ἕξει οὕτω τε καὶ οὐχ οὕτως. ὅλως τ' εἴπερ ἔστι τὸ αἰσθητὸν μόνον, οὐθὲν ἂν εἴη μὴ ὄντων τῶν ἐμψύχων· αἴσθησις γὰρ οὐκ ἂν εἴη. τὸ μὲν οὖν μήτε τὰ αἰσθητὰ εἶναι μήτε τὰ αἰσθήματα ἴσως ἀληθές (τοῦ γὰρ αἰσθανομένου πάθος τοῦτό ἐστι), τὸ δὲ τὰ ὑποκείμενα μὴ εἶναι, ἃ ποιεῖ τὴν αἴσθησιν, καὶ ἄνευ αἰσθήσεως, ἀδύνατον. οὐ γὰρ δὴ ἥ γ' αἴσθησις αὐτὴ ἑαυτῆς

7. ἢ om **S.** | *νοσοῦσι* ***A^b as.*** | *καὶ β.* — 8. *ἰσχύουσιν* om ***T.*** | 7. et 8. et 9. *ἃ* ***A^b*** et fort. Alex: ceteri *οἷα.* | 7. 8. *ἀσθενέσι* ***as.*** | 8. *ἰσχυροῖς* ***A^b.*** | 9. *ἐγρηγόρωσιν* ***E.*** | *οὐχ οἷόν τε* ***A^bc.*** | 10. *ἐὰν ὑπολάβῃ*] *ὑπολαβὼν* ***A^b.*** | 11. ***ad Areopagum i.*** | 16. *καὶ*] *ἢ* Alex. | *τοῦ αὐτῆς* codd et Alex, sed manifesto corruptum. | *μὲν περὶ* ***T.*** | 17. *οὐκ*] *ἀλλ' οὐκ* ***ESas.*** | 18. *ὧν καὶ ἑκάστη* ***A^b.*** | *οὐδεπώποτε* ***A^bc.*** | 20. *γε*] *δὲ* ***A^b.*** | *ἠμφισβήτησαν* ***Sas.*** | 22. *μεταβάλλων* ***A^b*** Alex. | *μεταβάλλοντος* ***A^b***, *μεταβαλλόντος* ***a.*** | 23. *γε*] *τε* ***TA^bas.*** | 24. *μεταβάλλει* ***A^bc.*** | 26. *πάντες* ***A^bc.*** | 27. *μηθενός*] *καθ' ἑνός* ***as.*** | post *μηθενός* punctum ***c.*** | 29. *ἕξει* om ***T.*** | 30. *ὅλως τ'*] modo *ὅλως δ'* modo *ἄλλως* Alex. | 32. *μηδὲ* ***A^bc***, omissis mox *μήτε τὰ αἰσθήματα.* | 35. comma ante *ἀδύνατον* ***asc***, om ***b.*** | *δυνατόν* ***A^b.*** | *αὐτῇ* ***E***, om ***A^bc.***

Digitized by Google

ἐστίν, ἀλλ' ἔστι τι καὶ ἕτερον παρὰ τὴν αἴσθησιν, ὃ ἀνάγκη πρότερον εἶναι τῆς αἰσθήσεως· τὸ γὰρ κινοῦν τοῦ κινουμένου φύσει πρότερόν ἐστι· κἂν εἰ λέγεται πρὸς ἄλληλα ταυτα, 1011*a*
οὐθὲν ἧττον.

6 Εἰσὶ δέ τινες οἳ ἀποροῦσι καὶ τῶν ταῦτα πεπεισμένων καὶ τῶν τοὺς λόγους τούτους μόνον λεγόντων· ζητοῦσι γὰρ τίς ὁ κρίνων τὸν ὑγιαίνοντα καὶ ὅλως τὸν περὶ ἕκαστα κρινοῦντα ὀρθῶς. τὰ δὲ τοιαῦτα ἀπορήματα ὅμοιά ἐστι τῷ ἀπορεῖν πότερον καθεύδομεν νῦν ἢ ἐγρηγόραμεν. δύνανται δ' αἱ ἀπορίαι αἱ τοιαῦται πᾶσαι τὸ αὐτό· πάντων γὰρ λόγον ἀξιοῦσιν οὗτοι εἶναι· ἀρχὴν γὰρ ζητοῦσι, καὶ ταύτην δι' ἀποδείξεως λαμβάνειν, ἐπεὶ ὅτι γε οὐ πεπεισμένοι εἰσί, φανεροί εἰσιν ἐν ταῖς πράξεσιν. ἀλλ' ὅπερ εἴπομεν, τοῦτο
82 αὐτῶν τὸ πάθος ἐστίν· λόγον γὰρ ζητοῦσιν ὧν οὐκ ἔστι λόγος· ἀποδείξεως γὰρ ἀρχὴ οὐκ ἀπόδειξίς ἐστιν. οὗτοι μὲν οὖν ῥᾳδίως ἂν τοῦτο πεισθεῖεν· ἔστι γὰρ οὐ χαλεπὸν λαβεῖν. οἱ δ' ἐν τῷ λόγῳ τὴν βίαν μόνον ζητοῦντες ἀδύνατον ζητοῦσιν: ἐναντία γὰρ εἰπεῖν ἀξιοῦσιν, εὐθὺς ἐναντία λέγοντες. εἰ δὲ μή ἐστι πάντα πρός τι, ἀλλ' ἔνιά ἐστι καὶ αὐτὰ καθ' αὑτά, οὐκ ἂν εἴη πᾶν τὸ φαινόμενον ἀληθές· τὸ γὰρ φαινόμενον τινί ἐστι φαινόμενον· ὥστε ὁ λέγων ἅπαντα τὰ φαινόμενα εἶναι ἀληθῆ, ἅπαντα ποιεῖ τὰ ὄντα πρός τι. διὸ καὶ φυλακτέον τοῖς τὴν βίαν ἐν τῷ λόγῳ ζητοῦσιν, ἅμα δὲ καὶ ὑπέχειν λόγον ἀξιοῦσιν, ὅτι οὐ τὸ φαινόμενον ἔστιν, ἀλλὰ τὸ φαινόμενον ᾧ φαίνεται καὶ ὅτε φαίνεται καὶ ᾗ καὶ ὥς. ἂν δ' ὑπέχωσι μὲν λόγον, μὴ οὕτω δ' ὑπέχωσι, συμβήσεται αὐτοῖς τἀναντία ταχὺ λέγειν. ἐνδέχεται γὰρ τῷ αὐτῷ κατὰ μὲν τὴν ὄψιν μέλι φαίνεσθαι, τῇ δὲ γεύσει μή, καὶ τῶν ὀφθαλμῶν δυοῖν ὄντοιν μὴ ταὐτὰ ἑκατέρᾳ τῇ ὄψει, ἂν ὦσιν ἀνόμοιαι. ἐπεὶ πρός γε τοὺς διὰ τὰς πάλαι εἰρημένας αἰτίας τὸ φαινόμενον φά-

36. καὶ om *as*.

1011*a* 1. λέγηται S. | ἄλλα $A^b$. | ταυτὰ $A^b$, ταῦτα αὐτὰ ETi*as*. | 5. κρίνοντα $A^b$. | 8. αἱ τοιαῦται] αὗται $A^b$. | 9. λόγων S. | εἶναι οὗτοι ES. | 10. ὅτι γε $A^b$: ceteri γε ὅτι. | πεπεισμένοι οὐκ $A^b$. | 15. μόνην $A^b$. | 16. ἐναντία γὰρ] ἐναντίον γὰρ S*as*. | 17. ἐστὶ καὶ] εἰσὶ καὶ T. | 18. ἑαυτά ST*as*. | ἅπαν E. | 20. ἀληθῆ εἶναι T. | 24. ἐὰν et 25. ἑαυτοῖς $A^b$. | 26. τὸ αὐτὸ S*as*, τὸ αὐτὸ τῷ αὐτῷ fort. Alex p. 278, 13. | 27. τῇ — 31. φαίνεσθαι om pr S. | 27. δυεῖν T. | 28. ταὖθ' E*a*. | ἑκατέρα *a*. | ἐὰν ET*as*. | ἀνόμοια T*as*. | ante ἐπεὶ comma *b*.

Digitized by Google

σκοντας ἀληθὲς εἶναι, καὶ διὰ τοῦτο πάνθ' ὁμοίως εἶναι
ψευδῆ καὶ ἀληθῆ (οὔτε γὰρ ἅπασι ταὐτὰ φαίνεσθαι οὔτε
τῷ αὐτῷ ἀεὶ ταὐτά, ἀλλὰ πολλάκις τἀναντία κατὰ τὸν αὐ-
τὸν χρόνον· ἡ μὲν γὰρ ἁφὴ δύο λέγει ἐν τῇ ἐπαλλάξει
τῶν δακτύλων, ἡ δ' ὄψις ἕν), ἀλλ' οὔτι τῇ αὐτῇ γε καὶ
κατὰ τὸ αὐτὸ αἰσθήσει καὶ ὡσαύτως καὶ ἐν τῷ αὐτῷ
1011b χρόνῳ, ὥστε τοῦτ' ἂν εἴη ἀληθές. ἀλλ' ἴσως διὰ τοῦτ'
ἀνάγκη λέγειν τοῖς μὴ δι' ἀπορίαν ἀλλὰ λόγου χάριν
λέγουσιν, ὅτι οὐκ ἔστιν ἀληθὲς τοῦτο, ἀλλὰ τούτῳ ἀληθές.
καὶ ὥσπερ δὴ πρότερον εἴρηται, ἀνάγκη καὶ πρός τι ποιεῖν
ἅπαντα καὶ πρὸς δόξαν καὶ αἴσθησιν, ὥς' οὔτε γέγονεν οὔτ' 83
ἔσται οὐθὲν μηθενὸς προδοξάσαντος. εἰ δὲ γέγονεν ἢ ἔσται,
δῆλον ὅτι οὐκ ἂν εἴη ἅπαντα πρὸς δόξαν. ἔτι εἰ ἕν, πρὸς
ἓν ἢ πρὸς ὡρισμένον· καὶ εἰ ταὐτὸ καὶ ἥμισυ καὶ ἴσον,
ἀλλ' οὐ πρὸς τὸ διπλάσιόν γε τὸ ἴσον. πρὸς δὴ τὸ δοξά-
ζον εἰ ταὐτὸ ἄνθρωπος καὶ τὸ δοξαζόμενον, οὐκ ἔσται ἄν-
θρωπος τὸ δοξάζον, ἀλλὰ τὸ δοξαζόμενον. εἰ δ' ἕκαστον
ἔσται πρὸς τὸ δοξάζον, πρὸς ἄπειρα ἔσται τῷ εἴδει τὸ δοξάζον.
ὅτι μὲν οὖν βεβαιοτάτη δόξα πασῶν τὸ μὴ εἶναι ἀληθεῖς
ἅμα τὰς ἀντικειμένας φάσεις, καὶ τί συμβαίνει τοῖς οὕτω
λέγουσι, καὶ διὰ τί οὕτω λέγουσι, τοσαῦτα εἰρήσθω. ἐπεὶ
δ' ἀδύνατον τὴν ἀντίφασιν ἀληθεύεσθαι ἅμα κατὰ τοῦ
αὐτοῦ, φανερὸν ὅτι οὐδὲ τἀναντία ἅμα ὑπάρχειν ἐνδέχεται
τῷ αὐτῷ. τῶν μὲν γὰρ ἐναντίων θάτερον στέρησίς ἐστιν οὐχ
ἧττον, οὐσίας δὲ στέρησις, ἡ δὲ στέρησις ἀπόφασίς ἐστιν ἀπό τι-
νος ὡρισμένου γένους. εἰ οὖν ἀδύνατον ἅμα καταφάναι καὶ
ἀποφάναι ἀληθῶς, ἀδύνατον καὶ τἀναντία ὑπάρχειν ἅμα,
ἀλλ' ἢ πῇ ἄμφω, ἢ θάτερον μὲν πῇ θάτερον δὲ ἁπλῶς.

7 Ἀλλὰ μὴν οὐδὲ μεταξὺ ἀντιφάσεως ἐνδέχεται εἶναι

30. ἀληθεῖς, omisso εἶναι, S. | 31. post ἀληθῆ colon, 33. post χρόνον et 34. post ἕν punctum cb. | 31. φαίνεται Alex. | 32. τῷ αὐτῷ Alex i, ταυτῶ T, ταὐτῷ as, ἑαυτῶ $A^b$, αὐτῷ cb. | 33. λόγον T. | ἡ μὲν — 34. οὔτε om pr S. | 33. ἐπαλλάξει] ἀπαλλάξει $A^b$, ὑπάρξει as. | 34. οὔ τι $A^b$, fort. οὔτοι. | γε om et αἰσθήσει post αὐτῇ ponit Alex.

1011b 2. λέγειν om T. | 3. τούτῳ] τοῦτο a. | 4. καὶ ante πρός τι om $A^b$. | 8. ἢ] ᾗ $A^b$. | 9. δοξάζειν STas. | 10. ἔστιν ESTias. | 11. εἰ δὲ καθ' ἕκαστον $A^b$ Alex. | 12. πρὸς ἄπειρα $A^b$ Alex, ἄπειρα iascb. | 15. διὰ τί] ἂν $A^b$. | 16. ἅμα ἀληθεύεσθαι $A^bF^b$c. | 19. οὐσίας δὲ στέρησις, ἡ δὲ στέρησις $A^b$ (qui δὲ post οὐσίας om) Alex c, ἡ δὲ στέρησις om iasb. | 22. μὲν om $A^b$ Alex.

Digitized by Google

οὐθέν, ἀλλ' ἀνάγκη ἢ φάναι ἢ ἀποφάναι ἓν καθ' ἑνὸς ὁτιοῦν. δῆλον δὲ πρῶτον μὲν ὁρισαμένοις τί τὸ ἀληθὲς καὶ ψεῦδος. τὸ μὲν γὰρ λέγειν τὸ ὂν μὴ εἶναι ἢ τὸ μὴ ὂν εἶναι ψεῦδος, τὸ δὲ τὸ ὂν εἶναι καὶ τὸ μὴ ὂν μὴ εἶναι ἀληθές, ὥστε καὶ ὁ λέγων τοῦτο εἶναι ἢ μὴ ἀληθεύσει ἢ ψεύσεται. ἀλλ' οὔτε τὸ ὂν λέγεται μὴ εἶναι ἢ εἶναι οὔτε τὸ μὴ ὄν. ἔτι ἤτοι τὸ μεταξὺ ἔσται τῆς ἀντιφάσεως, ὥσπερ τὸ φαιὸν
84 μέλανος καὶ λευκοῦ, ἢ ὡς τὸ μηδέτερον ἀνθρώπου καὶ ἵππου. εἰ μὲν οὖν οὕτως, οὐκ ἂν μεταβάλλοι (ἐκ μὴ ἀγαθοῦ γὰρ εἰς ἀγαθὸν μεταβάλλει, ἢ ἐκ τούτου εἰς μὴ ἀγαθόν)· νῦν δ' ἀεὶ φαίνεται· οὐ γάρ ἐστι μεταβολὴ ἀλλ' ἢ εἰς τὰ ἀντικείμενα καὶ μεταξύ. εἰ δ' ἔστι μεταξύ, καὶ οὕτως εἴη ἂν τις εἰς λευκὸν οὐκ ἐκ μὴ λευκοῦ γένεσις· νῦν δ' οὐχ ὁρᾶται. ἔτι πᾶν τὸ διανοητὸν καὶ νοητὸν ἡ διάνοια ἢ κατάφησιν ἢ ἀπόφησιν· τοῦτο δ' ἐξ ὁρισμοῦ δῆλον ὅταν ἀληθεύῃ ἢ ψεύδηται. ὅταν μὲν ὡδὶ συνθῇ φᾶσα ἢ ἀποφᾶσα, ἀληθεύει, ὅταν δὲ ὡδί, ψεύδεται. ἔτι παρὰ πάσας δεῖ εἶναι τὰς ἀντιφάσεις, εἰ μὴ λόγου ἕνεκα λέγεται· ὥστε καὶ οὔτε ἀληθεύσει τις οὔτ' οὐκ ἀληθεύσει. καὶ παρὰ τὸ ὂν καὶ τὸ μὴ ὂν ἔσται, ὥστε καὶ παρὰ γένεσιν καὶ φθορὰν μεταβολή τις ἔσται. ἔτι ἐν ὅσοις γένεσιν ἡ ἀπόφασις τὸ ἐναντίον ἐπιφέρει, καὶ ἐν τούτοις ἔσται, οἷον ἐν ἀριθμοῖς οὔτε περιττὸς οὔτε οὐ περιττὸς ἀριθμός. ἀλλ' ἀδύνατον· ἐκ τοῦ ὁρισμοῦ δὲ δῆλον. ἔτι εἰς ἄπειρον βαδιεῖται, καὶ οὐ μόνον ἡμιόλια τὰ ὄντα ἔσται ἀλλὰ πλείω. πάλιν γὰρ ἔσται ἀποφῆσαι τοῦτο πρὸς τὴν φάσιν καὶ τὴν ἀπόφασιν, καὶ τοῦτ' ἔσται τι· ἡ γὰρ οὐσία ἐστί τις αὐτοῦ ἄλλη. ἔτι ὅταν ἐρομένου εἰ λευκόν ἐστιν εἴπῃ ὅτι οὔ, οὐθὲν ἄλλο ἀποπέφυκεν ἢ τὸ εἶναι· ἀπό-

24. ἓν om *A^b*. | 26. τὸ μὴ ὂν] τοῦτο *ESTias*. | 27. τὸ post δὲ om *E*. | καὶ τὸ] τὸ δὲ *ET*. | 28. καὶ ὁ] ἐκεῖνο *A^bc*. | τοῦτο addidi ex Alex p. 287, 1, om *iascb*. | μὴ] μὴ εἶναι *Sas*. | 29. λέγει *E*. | 30. ἤτοι] εἴ τι *Ss*. | τὸ post ἤτοι add *A^b*. | ἐστι *A^b*. | 34. ἀεὶ om *A^b*. | 35. καὶ μεταξύ] ἢ τὰ μεταξύ fort. Alex. | post οὕτως add ἡ ἀντίφασις Alex, fort. recte. | εἴη ἄν τις] εἴη ἔν τι Ascl, ᾖ ἡ ἀντίφασις *A^b*, ἡ ἀντίφασις *c*.

1012*a* 1. μὴ] μὴ οὐ *STas*. | 2. καὶ] τε καὶ Alex. | 3. ἀληθεύει ἢ ψεύδεται *Ssc*, ἀληθεύῃ ἢ ψεύδεται *a*. | 5. πᾶσαν *F^b*. | 6. λέγηται *A^b*. | 7. καὶ παρὰ τὸ μὴ ὂν Alex. | τὸ ante μὴ om *T*. | 8. ἔσται om *i*. | 9. γένεσις rc *T*. | 12. τὰ ὄντα] ταῦτα *A^b*. | 13. ἀλλὰ καὶ πλείω *STas*. | 15. ἔσται *Sas*. | post ἄλλη fort. add καὶ τοῦτο ἐπ' ἄπειρον Alex p. 291, 29. | ἐρωμένου *E*. | εἰ om *A^b*. | 16. ὅτι om *T*. | ἄλλο om *A^b*. | ἀπέφηνεν *Sas*, *negavit i*, ἀποφάσκει Alex p. 291, l. 12.

Digitized by Google

*φασις δὲ τὸ μὴ εἶναι. ἐλήλυθε δ' ἐνίοις αὕτη ἡ δόξα ὥσπερ καὶ ἄλλαι τῶν παραδόξων· ὅταν γὰρ λύειν μὴ δύνωνται λόγυς ἐριςικύς, ἐνδόντες τῷ λόγῳ σύμφασιν ἀληθὲς εἶναι τὸ συλλογισθέν. οἱ μὲν οὖν διὰ τοιαύτην αἰτίαν λέγυσιν, οἱ δὲ διὰ τὸ πάντων ζητεῖν λόγον. ἀρχὴ δὲ πρὸς ἅπαντας τύτυς ἐξ ὁρισμῦ. ὁρισμὸς δὲ γίνεται ἐκ τοῦ σημαίνειν τι ἀναγκαῖον εἶναι αὐτούς· ὁ γὰρ λόγος, οὗ τὸ* 85
*ὄνομα σημεῖον, ὁρισμὸς γίνεται. ἔοικε δ' ὁ μὲν Ἡρακλείτυ λόγος, λέγων πάντα εἶναι καὶ μὴ εἶναι, ἅπαντα ἀληθῆ ποιεῖν, ὁ δ' Ἀναξαγόρυ εἶναί τι μεταξὺ τῆς ἀντιφάσεως, ὥςε πάντα ψευδῆ· ὅταν γὰρ μιχθῇ, ὔτ' ἀγαθὸν οὔτ' οὐκ ἀγαθὸν τὸ μῖγμα, ὥστ' οὐθὲν εἰπεῖν ἀληθές.*

8 *Διωρισμένων δὲ τύτων φανερὸν ὅτι καὶ τὰ μοναχῶς λεγόμενα καὶ τὰ κατὰ πάντων ἀδύνατον ὑπάρχειν, ὥσπερ τινὲς λέγυσιν, οἱ μὲν οὐθὲν φάσκοντες ἀληθὲς εἶναι (οὐθὲν γὰρ κωλύειν φασὶν οὕτως ἅπαντα εἶναι ὥσπερ τὸ τὴν διάμετρον σύμμετρον εἶναι), οἱ δὲ πάντ' ἀληθῆ. σχεδὸν γὰρ ὖτοι οἱ λόγοι οἱ αὐτοὶ τῷ Ἡρακλείτυ· ὁ γὰρ λέγων ὅτι πάντ' ἀληθῆ καὶ πάντα ψευδῆ, καὶ χωρὶς λέγει τῶν*
1012b *λόγων ἑκάτερον τούτων, ὥστ' εἴπερ ἀδύνατα ἐκεῖνα, καὶ ταῦτα ἀδύνατον εἶναι. ἔτι δὲ φανερῶς ἀντιφάσεις εἰσὶν ἃς ὐχ οἷόν τε ἅμα ἀληθεῖς εἶναι. ὐδὲ δὴ ψευδεῖς πάσας· καίτοι δόξειέ γ' ἂν μᾶλλον ἐνδέχεσθαι ἐκ τῶν εἰρημένων. ἀλλὰ πρὸς ἅπαντας τὺς τοιύτυς λόγυς αἰτεῖσθαι δεῖ, καθάπερ ἐλέχθη καὶ ἐν τοῖς ἐπάνω λόγοις, ὐκ εἶναί τι ἢ μὴ εἶναι ἀλλὰ σημαίνειν τι, ὥςε ἐξ ὁρισμοῦ διαλεκτέον λαβόντας τί σημαίνει τὸ ψεῦδος ἢ τὸ ἀληθές. εἰ δὲ μηθὲν ἄλλο ἢ τὸ ἀληθὲς φάναι ἢ ἀποφάναι ψεῦδός ἐςιν, ἀδύ-*

18. *καὶ αἱ ἄλλαι* **ESTas.** | *γὰρ* om $A^b$. | 21. *λόγον ζητεῖν* **ESTas.** | 22. modo *ὁρισμῶν* modo *ὁρισμοῦ* Alex. | 23. *αὐτοὺς εἶναι* **T.** | 24. *ἔσται* $A^b$, *γίνεται τοῦ πράγματος* **Sas.** | 27. *ὥστε* om $A^b$c. | 30. *τὰ* om **ET** $A^b$c. | 31. *εἶναι ἀληθές* Alex. | 32. *κωλύει* $A^b$. | *ὥσπερ*] *ὡς* Alex. | 33. *εἶναι σύμμετρον* Alex. | 34. *οὗτοι οἱ*] *αὐτοῖς οἱ* **ESTias**, *οἱ τοιοῦτοι* Alex. | *τῷ τοῦ Ἡρακλείτου* Alex c, *τῶ τοῦ ἡρακλείδου* $A^b$.

1012b 3. *ἃς*] *αἳ* **a.** | *δὴ*] *δεῖ* **E.** | *πάσας* om **T.** | 4. *γ'* om **S**$A^b$ Alex **as.** | 5. *πάντας* $A^b$c. | 6. *οὐχὶ* **EST** Alex **as.** | 7. *δεῖ λεκτέον* **T.** | *λαβόντα* $A^b$. | 8. *σημαίνειν* **Tas.** | *ἢ*] *καὶ* $B^b$. | *εἰ δὲ* — 9. *ψεῦδός ἐστιν* **ascb** Alex, *εἰ δὲ μηδὲν ἄλλο τὸ ἀληθὲς ἢ φάναι ἢ ἀποφάναι καὶ τὸ ψεῦδός ἐστιν γρ* Alex; locus corruptus, dubito an scribendum sit *εἰ δὲ μηθὲν ἄλλο ἢ φάναι ἢ ἀποφάναι τὸ ἀληθὲς ἢ ψεῦδός ἐστιν.* Obs. p. 116. | 9. *ἢ* ante *τὸ* om $A^b$c. | *ἀποφάναι* om $C^b$.

Digitized by Google

νατον πάντα ψευδῆ εἶναι· ἀνάγκη γὰρ τῆς ἀντιφάσεως θάτερον εἶναι μόριον ἀληθές. ἔτι εἰ πᾶν ἢ φάναι ἢ ἀποφάναι ἀναγκαῖον, ἀδύνατον ἀμφότερα ψευδῆ εἶναι· θάτερον γὰρ μέρος τῆς ἀντιφάσεως ψεῦδός ἐςιν. συμβαίνει δὴ καὶ τὸ θρυλλέμενον πᾶσι τοῖς τοιέτοις λόγοις, αὐτοὺς 86 ἑαυτὺς ἀναιρεῖν. ὁ μὲν γὰρ πάντα ἀληθῆ λέγων καὶ τὸν ἐναντίον αὐτῦ λόγον ἀληθῆ ποιεῖ, ὥςε τὸν αὐτῦ ὐκ ἀληθῆ (ὁ γὰρ ἐναντίος ὔ φησιν αὐτὸν ἀληθῆ), ὁ δὲ πάντα ψευδῆ καὶ αὐτὸς αὐτόν. ἐὰν δ' ἐξαιρῶνται ὁ μὲν τὸν ἐναντίον ὡς ὐκ ἀληθὴς μόνος ἐςίν, ὁ δὲ τὸν αὐτὸς αὐτῦ ὡς ὐ ψευδής, ὐθὲν ἧττον ἀπείρυς συμβαίνει αὐτοῖς αἰτεῖσθαι λόγυς ἀληθεῖς καὶ ψευδεῖς· ὁ γὰρ λέγων τὸν ἀληθῆ λόγον ἀληθῆ ἀληθής, τῦτο δ' εἰς ἄπειρον βαδιεῖται. φανερὸν δ' ὅτι ὐδ' οἱ πάντα ἠρεμεῖν λέγοντες ἀληθῆ λέγουσιν, οὐδ' οἱ πάντα κινεῖσθαι. εἰ μὲν γὰρ ἠρεμεῖ πάντα, ἀεὶ ταὐτὰ ἀληθῆ καὶ ψευδῆ ἔςαι, φαίνεται δὲ τῦτο μεταβάλλον· ὁ γὰρ λέγων ποτὲ αὐτὸς ὐκ ἦν καὶ πάλιν ὐκ ἔςαι. εἰ δὲ πάντα κινεῖται, οὐθὲν ἔσται ἀληθές· πάντα ἄρα ψευδῆ. ἀλλὰ δέδεικται ὅτι ἀδύνατον. ἔτι τὸ ὂν ἀνάγκη μεταβάλλειν· ἔκ τινος γὰρ εἴς τι ἡ μεταβολή. ἀλλὰ μὴν ὐδὲ πάντα ἠρεμεῖ ἢ κινεῖται ποτέ, ἀεὶ δ' οὐθέν· ἔστι γάρ τι ὃ ἀεὶ κινεῖ τὰ κινύμενα, καὶ τὸ πρῶτον κινῦν ἀκίνητον αὐτό.

# Δ.

Ἀρχὴ λέγεται ἡ μὲν ὅθεν ἄν τις τοῦ πράγματος κινηθείη πρῶτον, οἷον τῦ μήκυς καὶ ὁδῦ ἐντεῦθεν μὲν αὕτη ἀρχή, ἐξ ἐναντίας δ' ἑτέρα· ἡ δὲ ὅθεν ἂν κάλλιςα ἕκαστον 1013a

11. ἢ φάναι om *T*. | ἢ ἀποφάναι om $C^{b}$. | 13. μόριον $A^{b}$. | συμβέβηκε $F^{b}$. | 15. τὸ $A^{b}$. | 16. ἑαυτοῦ οὐκ *STas*. | 17. οὔ φησιν εἶναι αὐτὸν ἀληθῆ *T*, ὅν φησιν αὐτὸς εἶναι ἀληθῆ ἐκεῖνός φησι μὴ εἶναι ἀληθῆ $A^{b}$. | 18. αὐτοῖς *S*. | αὐτόν $A^{b}$. | 19. οὐκ om *T*. | ἐστίν om $A^{b}$. | αὐτὸς *b*, αὐτὸν codices *asc*. | αὐτοῦ om $A^{b}$. | οὐ om *T*. | 20. ἀπείρου $A^{b}$. | 21. ἀληθῆ om $A^{b}$. | post λόγον ἀληθῆ add προσυπακούεται τὸ ὅτι *as*. | 22. post ἀληθής add ἐστιν Alex. | φανερὸν δ' — 31. αὐτό in nonnullis libris deesse dicit Alex. | 24. πάντα καὶ ἀεὶ $A^{b}$. | ταῦτα *as*. | 27. ἀλλὰ] ἀνὰ *a*. | 28. ἔτι ἀνάγκη τὸ ὂν *ESTas*, ἀνάγκη γὰρ τὸ ὂν $F^{b}$. | 29. εἴς τι] ἐστιν $A^{b}$. | 30. post ποτέ add δὲ $EA^{b}cb$: ceteri et Alex om. | τι ὅτι *T*, τιν' ἃ $A^{b}$. | 31. κινεῖται κ. $A^{b}$. | αὐτό] αὐτὸ ἀρχὴ λέγεται $A^{b}$. | 34. ἀρχὴ δὲ λ. $H^{b}$. | ἡ μὲν λέγεται *Tas*. | τι $A^{b}as$.

1013a 1. δ' ἡ ἑτέρα $H^{b}$. | γένοιτο ἕκαστον $A^{b}cb$: ceteri ἕκαστον γένοιτο.



Digitized by Google

γένοιτο, οἷον καὶ μαθήσεως ȣ̓κ ἀπὸ τȣ̃ πρώτȣ καὶ τῆς τȣ̃ 87 πράγματος ἀρχῆς ἐνίοτε ἀρκτέον, ἀλλ᾽ ὅθεν ῥᾷς᾽ ἂν μάθοι· ἡ δὲ ὅθεν πρῶτον γίνεται ἐνυπάρχοντος, οἷον ὡς πλοίȣ τρόπις καὶ οἰκίας θεμέλιος, καὶ τῶν ζῴων οἱ μὲν καρδίαν οἱ δὲ ἐγκέφαλον οἱ δ᾽ ὅ τι ἂν τύχωσι τοιȣ̃τον ὑπολαμβάνουσιν· ἡ δὲ ὅθεν γίγνεται πρῶτον μὴ ἐνυπάρχοντος καὶ ὅθεν πρῶτον ἡ κίνησις πέφυκεν ἄρχεσθαι καὶ ἡ μεταβολή, οἷον τὸ τέκνον ἐκ τȣ̃ πατρὸς καὶ τῆς μητρὸς καὶ ἡ μάχη ἐκ τῆς λοιδορίας· ἡ δὲ οὗ κατὰ προαίρεσιν κινεῖται τὰ κινούμενα καὶ μεταβάλλει τὰ μεταβάλλοντα, ὥσπερ αἵ τε κατὰ πόλεις ἀρχαὶ καὶ αἱ δυναϛεῖαι καὶ αἱ βασιλεῖαι καὶ τυραννίδες ἀρχαὶ λέγονται, καὶ αἱ τέχναι, καὶ τȣ́των αἱ ἀρχιτεκτονικαὶ μάλιστα. ἔτι ὅθεν γνωϛὸν τὸ πρᾶγμα πρῶτον καὶ αὕτη ἀρχὴ λέγεται τȣ̃ πράγματος, οἷον τῶν ἀποδείξεων αἱ ὑποθέσεις. ἰσαχῶς δὲ καὶ τὰ αἴτια λέγεται· πάντα γὰρ τὰ αἴτια ἀρχαί. πασῶν μὲν ȣ̓̃ν κοινὸν τῶν ἀρχῶν τὸ πρῶτον εἶναι ὅθεν ἢ ἔϛιν ἢ γίγνεται ἢ γιγνώσκεται· τούτων δὲ αἱ μὲν ἐνυπάρχουσαί εἰσιν αἱ δὲ ἐκτός. διὸ ἥ τε φύσις ἀρχὴ καὶ τὸ ϛοιχεῖον καὶ ἡ διάνοια καὶ ἡ προαίρεσις καὶ ȣ̓σία καὶ τὸ οὗ ἕνεκα· πολλῶν γὰρ καὶ τοῦ γνῶναι καὶ τῆς κινήσεως ἀρχὴ τἀγαθὸν καὶ τὸ καλόν.

2 Αἴτιον λέγεται ἕνα μὲν τρόπον ἐξ ȣ̓̃ γίγνεταί τι ἐνυπάρχοντος, οἷον ὁ χαλκὸς τοῦ ἀνδριάντος καὶ ὁ ἄργυρος τῆς φιάλης, καὶ τὰ τούτων γένη· ἄλλον δὲ τὸ εἶδος καὶ τὸ παράδειγμα, τȣ̃το δ᾽ ἐϛὶν ὁ λόγος τοῦ τί ἦν εἶναι, καὶ τὰ τούτου γένη, οἷον τοῦ διὰ πασῶν τὰ δύο πρὸς ἓν καὶ ὅλως ὁ ἀριθμός, καὶ τὰ μέρη τὰ ἐν τῷ λόγῳ. ἔτι ὅθεν ἡ ἀρχὴ τῆς μεταβολῆς ἡ πρώτη ἢ τῆς ἠρεμήσεως, οἷον ὁ βȣλεύσας αἴτιος, καὶ ὁ πατὴρ τȣ̃ τέκνȣ, καὶ ὅλως τὸ ποιȣ̃ν 88 τȣ̃ ποιȣμένȣ καὶ τὸ μεταβλητικὸν τȣ̃ μεταβάλλοντος. ἔτι

7. πρώτου $H^b$. | 8. ἡ κίνησις πρῶτον *T*. | ἡ om $A^b$. | 10. οὗ *Ta*. | 13. post τυραννίδες punctum *scb*, post λέγονται distinguit *i*. | 14. ἔτι] ἀρχὴ λέγεται ἔτι $A^b$. | 15. post καὶ add γὰρ $A^b b$, post αὕτη add γὰρ *c*: ceteri et fort. Alex om. | 17. 18. τῶν ἀρχῶν κοινὸν $A^b$. | 20. τὸ om $H^b$. | ἡ add $EA^bH^b$ Alex. | 21. ἡ om *E*. | ante οὐσία addendum videtur ἡ ex Alex p. 305, 20. | 23. καλόν $F^b$ et Alex: ceteri et γρ Alex κακόν. | 24. αἴτιον δὲ λέγεται *ETias*. | τι om *T*. | 25. ὁ post οἷον om $A^b$. | 27. ὁ om $A^b$. | ante τοῦ fort. addendum ὁ cum *ΦEIb*. | 28. τούτου *E* Alex *Φ*: ceteri et *b* τούτων. | 32. μεταβλητικὸν] μεταβάλλον *Φ*. | μεταβάλλοντος] μεταβαλλομένου Alex et *Φ*, fort. recipiendum.

Digitized by Google

*ὡς τὸ τέλος· τοῦτο δ' ἐστὶ τὸ οὗ ἕνεκα, οἷον τοῦ περιπατεῖν ἡ ὑγίεια. διὰ τί γὰρ περιπατεῖ; φαμέν, ἵνα ὑγιαίνῃ, καὶ εἰπόντες οὕτως οἰόμεθα ἀποδεδωκέναι τὸ αἴτιον. καὶ ὅσα δὴ κινήσαντος ἄλλου μεταξὺ γίγνεται τοῦ τέλους, οἷον τῆς ὑγιείας ἡ ἰσχνασία ἢ ἡ κάθαρσις ἢ τὰ φάρμακα ἢ τὰ ὄργανα· πάντα γὰρ ταῦτα τοῦ τέλους ἕνεκά ἐστι, διαφέρει δὲ ἀλλήλων ὡς ὄντα τὰ μὲν ὄργανα τὰ δ' ἔργα. τὰ μὲν οὖν αἴτια σχεδὸν τοσαυταχῶς λέγεται, συμβαίνει δὲ πολλαχῶς λεγομένων τῶν αἰτίων καὶ πολλὰ τοῦ αὐτοῦ αἴτια εἶναι, οὐ κατὰ συμβεβηκός, οἷον τοῦ ἀνδριάντος καὶ ἡ ἀνδριαντοποιικὴ καὶ ὁ χαλκός, οὐ καθ' ἕτερόν τι ἀλλ' ᾗ ἀνδριάς, ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ὡς ὕλη τὸ δ' ὡς ὅθεν ἡ κίνησις· καὶ ἀλλήλων αἴτια, οἷον τὸ πονεῖν τῆς εὐεξίας καὶ αὕτη τοῦ πονεῖν· ἀλλ' οὐ τὸν αὐτὸν τρόπον, ἀλλὰ τὸ μὲν ὡς τέλος τὸ δ' ὡς ἀρχὴ κινήσεως. ἔτι δὲ ταὐτὸ ἐνίοτε τῶν ἐναντίων ἐστίν· ὃ γὰρ παρὸν αἴτιον τουδί, τοῦτ' ἀπὸν αἰτιώμεθα ἐνίοτε τοῦ ἐναντίου, οἷον τὴν ἀπουσίαν τοῦ κυβερνήτου τῆς τοῦ πλοίου ἀνατροπῆς, οὗ ἦν ἡ παρουσία αἰτία τῆς σωτηρίας. ἄμφω δέ, καὶ ἡ παρουσία καὶ ἡ στέρησις, αἴτια ὡς κινοῦντα. ἅπαντα δὲ τὰ νῦν εἰρημένα αἴτια εἰς τέτταρας τρόπους πίπτει τοὺς φανερωτάτους. τὰ μὲν γὰρ στοιχεῖα τῶν συλλαβῶν καὶ ἡ ὕλη τῶν σκευαστῶν καὶ τὸ πῦρ καὶ ἡ γῆ καὶ τὰ τοιαῦτα πάντα τῶν σωμάτων, καὶ τὰ* 89 *μέρη τοῦ ὅλου καὶ αἱ ὑποθέσεις τοῦ συμπεράσματος, ὡς τὸ ἐξ οὗ αἴτιά ἐστιν· τούτων δὲ τὰ μὲν ὡς τὸ ὑποκείμενον, οἷον τὰ μέρη, τὰ δὲ ὡς τὸ τί ἦν εἶναι, τό τε ὅλον καὶ ἡ σύνθεσις καὶ τὸ εἶδος. τὸ δὲ σπέρμα καὶ ὁ ἰατρὸς καὶ ὁ βουλεύσας καὶ ὅλως τὸ ποιοῦν, πάντα ὅθεν ἡ ἀρχὴ τῆς με-*

35. καὶ — 36. τέλους] ***et quaecunque inter illud movens et finem media fiunt i.*** | 36. ἀλλ' οὐ *T*.

1013*b* 3. τὰ μὲν ἔργα τὰ δ' ὄργανα *Φ* et fort. Alex. | μὲν] μὲν ὡς *Eas*. | δ'] δ' ὡς *ETas*. | 4. συμβ.] καὶ συμβ. *Tas*. | 6. οὐ] καθ' αὑτὸ καὶ οὐ Alex. | ἀνδριαντοποιητικὴ *FA^b^F^b^ascΦFI*. | 7. χαλκοῦς *T*. | ᾗ *T*. | 9. ante καὶ ἀλλ. add ἔστι δέ τινα *Φ* et fort. Alex. | πονεῖν αἴτιον τῆς *A^b^ΦFI*. | 12. ἐνίοτε om *A^b^H^b^cΦ* et fort. Alex. | post ἐστίν add αἴτιον *ΦEIb*. | τοῦδε *Φ*. | 13. ante ἀπὸν add καὶ *Φ*. | ἀπὸν *A^b^ias* Alex *Φ*: ceteri et *c* αὐτό. | 14. τῆς τοῦ πλοίου ἀνατροπῆς *Φ*, τῆς ἀνατροπῆς τοῦ πλοίου *H^b^as*: τοῦ πλοίου om *cb*. | 15. ἄμφω — 16. κινοῦντα om *Φ*. | 15. δὲ τὸ αὐτὸ καὶ *A^b^*. | 16. δὲ καὶ τὰ *A^b^*. | 17. πίπτει τόπους *ΦIb*. | 19. καὶ ἡ γῆ om *Φ*. | γῆ καὶ τὸ ὕδωρ *H^b^*. | πάντων *H^b^*. | 20. προτάσεις *H^b^*.



Digitized by Google

ταβολῆς ἢ στάσεως. τὰ δ' [ἄλλα] ὡς τὸ τέλος καὶ τἀγαθὸν τῶν ἄλλων· τὸ γὰρ οὗ ἕνεκα βέλτιστον καὶ τέλος τῶν ἄλλων ἐθέλει εἶναι. διαφερέτω δὲ μηδὲν αὐτὸ εἰπεῖν ἀγαθὸν ἢ φαινόμενον ἀγαθόν. τὰ μὲν οὖν αἴτια ταῦτα καὶ τοσαῦτά ἐστι τῷ εἴδει, τρόποι δὲ τῶν αἰτίων ἀριθμῷ μὲν εἰσι πολλοί, κεφαλαιούμενοι δὲ καὶ οὗτοι ἐλάττους. λέγεται γὰρ αἴτια πολλαχῶς, καὶ αὐτῶν τῶν ὁμοειδῶν προτέρως καὶ ὑστέρως ἄλλο ἄλλου, οἷον ὑγιείας ὁ ἰατρὸς καὶ ὁ τεχνίτης, καὶ τοῦ διὰ πασῶν τὸ διπλάσιον καὶ ἀριθμός, καὶ ἀεὶ τὰ περιέχοντα ὁτιοῦν τῶν καθ' ἕκαστα. ἔτι δ' ὡς τὸ συμβεβηκὸς καὶ τὰ τούτων γένη, οἷον ἀνδριάντος ἄλλως Πολύκλειτος καὶ ἄλλως ἀνδριαντοποιός, ὅτι συμβέβηκε τῷ ἀν-
1014a δριαντοποιῷ Πολυκλείτῳ εἶναι, καὶ τὰ περιέχοντα δὲ τὸ συμβεβηκός, οἷον ἄνθρωπος αἴτιος ἀνδριάντος, ἢ καὶ ὅλως ζῷον, ὅτι ὁ Πολύκλειτος ἄνθρωπος, ὁ δὲ ἄνθρωπος ζῷον. ἔστι δὲ καὶ τῶν συμβεβηκότων ἄλλα ἄλλων πορρώτερον καὶ ἐγγύτερον, οἷον εἰ ὁ λευκὸς καὶ ὁ μουσικὸς αἴτιος λέγοιτο τοῦ ἀνδριάντος, ἀλλὰ μὴ μόνον Πολύκλειτος ἢ ἄνθρωπος. [παρὰ] πάντα δὲ καὶ τὰ οἰκείως λεγόμενα καὶ τὰ κατὰ συμβεβηκὸς τὰ μὲν ὡς δυνάμενα λέγεται τὰ δ' ὡς ἐνεργοῦντα, οἷον τοῦ οἰκοδομεῖσθαι οἰκοδόμος ἢ οἰκοδομῶν οἰκοδόμος. ὁμοίως δὲ λεχθήσεται καὶ ἐφ' ὧν αἴτια τὰ αἴτια 90
τοῖς εἰρημένοις, οἷον τοῦδε τοῦ ἀνδριάντος ἢ ἀνδριάντος ἢ ὅλως εἰκόνος, καὶ χαλκοῦ τοῦδε ἢ χαλκοῦ ἢ ὅλως ὕλης· καὶ ἐπὶ

25. post στάσεως add ἢ κινήσεως ***ΦFIb***. | ἄλλα om $A^bF^b$ Alex ***cΦF Ib***. | 27. ἐθέλειν $A^b$. | αὐτὸ μηδὲν εἰπεῖν ***ΦFI***. | μ. εἰπ. αὐτὸ ***ΦEb***. | εἰπεῖν] εἰπεῖν ἢ ***ETsc***, εἰπεῖν εἰ ***a***. | 28. οὖν om $A^b$. | ταῦτα καὶ om ***as***. | 30. λέγονται $A^b$. | 31. γὰρ τὰ αἴτια Alex et ***ΦF***. | 32. ἄλλου ἄλλο $A^b$***cb ΦF***: ceteri et Alex et ***ΦEIb*** ἄλλο ἄλλου. | ὁ ante ἰατρὸς om ***ΦEb***. | ὁ post καὶ add $A^b$: ceteri et ***Φ*** om. | 33. ante ἀριθμὸς fort. addendum ὁ ex ***ΦF Ib***. | 34. ὁτιοῦν τῶν] πρὸς τὸ Alex et ***ΦEIb***, πρὸς τῷ ***ΦF***. | ἕκαστον $A^b$. | 35. τὰ] διὰ ***a***. | 35. et 36. ἄλλως] ἄλλος ***as***.

1014a 1. ante Πολ. add τὸ ***Φ***. | 2. οἷον εἰ ἄνθ. α. ἀνδ. εἴη, ἢ ***Φ***. | ἢ] εἴη ἢ $A^b$***c***. | καὶ om ***iΦ***. | 3. ὅτι — ζῷον om ***Φ***. | 4. ἄλλα $A^b$ Alex ***Φ***: vulgo ἄλλο. | πορρώτερον καὶ ἐγγύτερον ***E***$H^b$***Φ***, πορρώτερα καὶ ἐγγύτερα $A^b$***c***, πορρωτέρω καὶ ἐγγυτέρω fort. Alex, πρότερον καὶ ἐγγύτερον ***b***. | 5. λέγοιτο] οἴοιτο $A^b$. | 6. ἀλλὰ — ἄνθρωπος om ***Φ***. | 7. παρὰ ***ascbΦI***, om ***ΦEFb*** et fort. Alex. | τὰ ante κατὰ om ***T***. | 8. ante τὰ μὲν comma ***ascb***. | 9. οἷον τὸ τοῦ $A^b$. | post οἰκοδομεῖσθαι add οἰκίαν ***ΦFIb***. | 10. prius αἴτια om ***as***. | 11. ταῖς ***a***. | τουδὶ ***ΦEb***. | ἢ ἀνδριάντος ***Ei*** et ***Φ***, ἢ ἀνδριάντος ***ascb***. | ἢ καὶ ὅλως ***ΦFIb***. | 12. καὶ] ἢ ***ETias***. | ἢ χαλκοῦ ***EiΦ***, ἢ χαλκοῦ ***ascb***.

Digitized by Google

τῶν συμβεβηκότων ὡσαύτως. ἔτι δὲ συμπλεκόμενα καὶ ταῦτα κἀκεῖνα λεχθήσεται, οἷον οὐ Πολύκλειτος οὐδὲ ἀνδριαντοποιός, ἀλλὰ Πολύκλειτος ἀνδριαντοποιός. ἀλλ' ὅμως ἅπαντά γε ταῦτ' ἐστὶ τὸ μὲν πλῆθος ἕξ, λεγόμενα δὲ διχῶς· ἢ γὰρ ὡς τὸ καθ' ἕκαστον, ἢ ὡς τὸ γένος αὐτοῦ, ἢ ὡς τὸ συμβεβηκός, ἢ ὡς τὸ γένος τοῦ συμβεβηκότος, ἢ ὡς συμπλεκόμενα ταῦτα, ἢ ἁπλῶς λεγόμενα, πάντα δὲ ἢ ὡς ἐνεργοῦντα ἢ κατὰ δύναμιν. διαφέρει δὲ τοσοῦτον, ὅτι τὰ μὲν ἐνεργοῦντα καὶ τὰ καθ' ἕκαστον ἅμα ἔστι καὶ οὐκ ἔστιν [αὐτά τε] καὶ ὧν αἴτια, οἷον ὅδε ὁ ἰατρεύων τῷδε τῷ ὑγιαζομένῳ, καὶ ὅδε ὁ οἰκοδόμος τῷδε τῷ οἰκοδομουμένῳ, τὰ δὲ κατὰ δύναμιν οὐκ ἀεί· φθείρεται γὰρ οὐχ ἅμα ἡ οἰκία καὶ ὁ οἰκοδόμος.

3 Στοιχεῖον λέγεται ἐξ οὗ σύγκειται πρώτου ἐνυπάρχοντος, ἀδιαιρέτου τῷ εἴδει εἰς ἕτερον εἶδος, οἷον φωνῆς στοιχεῖα ἐξ ὧν σύγκειται ἡ φωνὴ καὶ εἰς ἃ διαιρεῖται ἔσχατα, ἐκεῖνα δὲ μηκέτ' εἰς ἄλλας φωνὰς ἑτέρας τῷ εἴδει αὐτῶν, ἀλλὰ κἂν διαιρῆται, τὰ μόρια ὁμοειδῆ, οἷον ὕδατος τὸ μόριον ὕδωρ, ἀλλ' οὐ τῆς συλλαβῆς. ὁμοίως δὲ καὶ τὰ τῶν σωμάτων στοιχεῖα λέγουσιν οἱ λέγοντες, εἰς ἃ διαιρεῖται τὰ σώματα ἔσχατα, ἐκεῖνα δὲ μηκέτ' εἰς ἄλλα εἴδει διαφέροντα· καὶ εἴτε ἓν εἴτε πλείω τὰ τοιαῦτα, ταῦτα στοιχεῖα λέγουσιν. παραπλησίως δὲ καὶ τὰ τῶν
91 διαγραμμάτων στοιχεῖα λέγεται, καὶ ὅλως τὰ τῶν ἀποδείξεων· αἱ γὰρ πρῶται ἀποδείξεις καὶ ἐν πλείοσιν ἀποδείξεσιν ἐνυπάρχουσαι, αὗται στοιχεῖα τῶν ἀποδείξεων λέ- 1014b
γονται· εἰσὶ δὲ τοιοῦτοι συλλογισμοὶ οἱ πρῶτοι ἐκ τῶν τριῶν δι' ἑνὸς μέσου. καὶ μεταφέροντες δὲ στοιχεῖον καλοῦσιν ἐντεῦθεν, ὃ ἂν ἓν ὂν καὶ μικρὸν ἐπὶ πολλὰ ᾖ χρήσιμον. διὸ καὶ τὸ μικρὸν καὶ ἁπλοῦν καὶ ἀδιαίρετον στοι-

13. καὶ ante ταῦτα om as. | 15. ἀλλὰ Πολ. ἀνδρ. om T. | 16. γε om Alex et Φ. | 17. ἢ ὡς τὸ γ. αὐτοῦ om ET. | αὐτοῦ om Φ. | 19. ἢ ὡς ἁπλῶς Φ. | πάντα δὲ ἢ Φ et fort. Alex p. 312, 22, πάντα δὲ ὡς $A^b$, ἔτι ὡς iascb. | 20. ἢ κ. δύναμιν as ponunt post 19. ταῦτα. | 22. αὐτά τε om $A^b$ Alex cΦ. | post αὐτά τε add ἐστι as. | ὁ om $A^b$. | 23. τὸ T. | 27. εἰς ἕτερον εἶδος om Alex, sed ἀδιαιρέτου τ. ε. εἰς ἕτερον εἶδος et ἀδιαιρέτου εἰς τὸ αὐτὸ εἶδος γρ Alex. | 28. διαιρεῖ E. | 30. post αὐτῶν punctum b. | κἂν] ἂν καὶ $A^b$. | 34. διαφέροντα σώματα καὶ ETias. | εἴτε ἓν om as.

1014b 2. δὲ οἱ τοιοῦτοι T. | ἐκ om Alex. | 3. τριῶν] τριῶν μέσων $A^b$ et γρ Alex.

Digitized by Google

χεῖον λέγεται. ὅθεν ἐλήλυθε τὰ μάλιστα καθόλου στοιχεῖα εἶναι, ὅτι ἕκαστον αὐτῶν ἓν ὂν καὶ ἁπλοῦν ἐν πολλοῖς ὑπάρχει ἢ πᾶσιν ἢ ὅτι πλείστοις· καὶ τὸ ἓν καὶ τὴν στιγμὴν ἀρχάς τισι δοκεῖ εἶναι. ἐπεὶ οὖν τὰ καλούμενα γένη καθόλου καὶ ἀδιαίρετα (εἷς γὰρ ἐστι λόγος αὐτῶν), στοιχεῖα τὰ γένη λέγουσί τινες, καὶ μᾶλλον ἢ τὴν διαφοράν, ὅτι καθόλου μᾶλλον τὸ γένος· ᾧ μὲν γὰρ ἡ διαφορὰ ὑπάρχει, καὶ τὸ γένος ἀκολουθεῖ, ᾧ δὲ τὸ γένος, οὐ παντὶ ἡ διαφορά. ἁπάντων δὲ κοινὸν τὸ εἶναι στοιχεῖον ἑκάστου τὸ πρῶτον ἐνυπάρχον ἑκάστῳ.

4 Φύσις λέγεται ἕνα μὲν τρόπον ἡ τῶν φυομένων γένεσις, οἷον εἴ τις ἐπεκτείνας λέγοι τὸ υ, ἕνα δὲ ἐξ οὗ φύεται πρώτου τὸ φυόμενον ἐνυπάρχοντος· ἔτι ὅθεν ἡ κίνησις ἡ πρώτη ἐν ἑκάστῳ τῶν φύσει ὄντων ἐν αὐτῷ ᾗ αὐτὸ ὑπάρχει. φύεσθαι δὲ λέγεται ὅσα αὔξησιν ἔχει δι' ἑτέρου τῷ ἅπτεσθαι καὶ συμπεφυκέναι ἢ προσπεφυκέναι ὥσπερ τὰ ἔμβρυα. διαφέρει δὲ σύμφυσις ἁφῆς· ἔνθα μὲν γὰρ οὐθὲν παρὰ τὴν ἁφὴν ἕτερον ἀνάγκη εἶναι, ἐν δὲ τοῖς συμπεφυκόσιν ἔστι τι ἓν τὸ αὐτὸ ἐν ἀμφοῖν, ὃ ποιεῖ ἀντὶ τοῦ ἅπτεσθαι συμπεφυκέναι καὶ εἶναι ἓν κατὰ τὸ συνεχὲς καὶ ποσόν, ἀλλὰ μὴ κατὰ τὸ ποιόν. ἔτι δὲ φύσις λέγεται 92
ἐξ οὗ πρώτου ἢ ἔστιν ἢ γίγνεταί τι τῶν φύσει ὄντων, ἀρυθμίστου ὄντος καὶ ἀμεταβλήτου ἐκ τῆς δυνάμεως τῆς αὐτοῦ, οἷον ἀνδριάντος καὶ τῶν σκευῶν τῶν χαλκῶν ὁ χαλκὸς ἡ φύσις λέγεται, τῶν δὲ ξυλίνων ξύλον· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἐκ τούτων γάρ ἐστιν ἕκαστον διασωζομένης τῆς πρώτης ὕλης· τοῦτον γὰρ τὸν τρόπον καὶ τῶν φύσει ὄντων τὰ στοιχεῖά φασιν εἶναι φύσιν, οἱ μὲν πῦρ οἱ δὲ γῆν οἱ δ' ἀέρα οἱ δ' ὕδωρ οἱ δ' ἄλλο τι τοιοῦτον λέγοντες, οἱ δ' ἔνια τούτων, οἱ δὲ πάντα ταῦτα. ἔτι δ' ἄλλον τρόπον λέγεται ἡ φύσις ἡ τῶν φύσει ὄντων οὐσία, οἷον οἱ λέγοντες τὴν φύσιν εἶναι τὴν πρώτην σύνθεσιν, ὥσπερ Ἐμπεδοκλῆς

8. ἢ τοῖς πλείστοις Alex. | ante καὶ τὸ add διὸ $A^b$*cb*: ceteri et Alex om. | 9. ἀρχὰς καὶ στοιχεῖά τισι Alex. | δοκεῖν *E*. | 10. εἷς] οὐ $A^b$ Alex *c*. | 11. τινες εἶναι καὶ $A^b$. | 12. γὰρ om *T*. | 16. φύσις δὲ λέγεται *Eias*, φύσις μὲν λέγεται *T*. | 17. υ] γ *T*. | 18. πρώτου corr *E* et fort. Alex: ceteri et *cb* πρῶτον. | φαινόμενον *T*. | 19. ᾗ αὐτῷ *Ecb*: ceteri et Alex ᾗ αὐτό, cf. Obs. p. 135. | 21. συμπεφυκέναι ἢ om $A^b$. | 23. περὶ *T*. | 26. δὲ om $A^b$. | 28. ἑαυτοῦ *ETas*. | 29. χαλκικῶν *as*. | 36. ὄντων φύσει $H^b$. | 37. ὥσπερ] ἢ ὥσπερ *E*$A^b$*ic*.

Digitized by Google

λέγει ὅτι «φύσις οὐθενός ἐστιν ἐόντων, ἀλλὰ μόνον μῖξίς τε διάλλαξίς τε μιγέντων ἐστί, φύσις δ' ἐπὶ τοῖς ὀνομάζεται ἀνθρώποισιν.» διὸ καὶ ὅσα φύσει ἐστὶν ἢ γίγνεται, ἤδη ὑπάρχοντος ἐξ οὗ πέφυκε γίγνεσθαι ἢ εἶναι, οὔπω φαμὲν τὴν φύσιν ἔχειν, ἂν μὴ ἔχῃ τὸ εἶδος καὶ τὴν μορφήν. φύσει μὲν οὖν τὸ ἐξ ἀμφοτέρων τούτων ἐστίν, οἷον τὰ ζῷα καὶ τὰ μόρια αὐτῶν· φύσις δὲ ἥ τε πρώτη ὕλη, καὶ αὕτη διχῶς, ἢ ἡ πρὸς αὐτὸ πρώτη ἢ ἡ ὅλως πρώτη (οἷον τῶν χαλκῶν ἔργων πρὸς αὐτὰ μὲν πρῶτος ὁ χαλκός, ὅλως δ' ἴσως ὕδωρ, εἰ πάντα τὰ τηκτὰ ὕδωρ), καὶ τὸ εἶδος καὶ ἡ οὐσία, τοῦτο δ' ἐστὶ τὸ τέλος τῆς γενέσεως. μεταφορᾷ δ' ἤδη καὶ ὅλως πᾶσα οὐσία φύσις λέγεται διὰ ταύτην, ὅτι καὶ ἡ φύσις οὐσία τίς ἐστιν. ἐκ δὴ τῶν εἰρημένων ἡ πρώτη φύσις καὶ κυρίως λεγομένη ἐστὶν ἡ οὐσία ἡ τῶν ἐχόντων ἀρχὴν κινήσεως ἐν αὐτοῖς ᾗ αὐτά· ἡ γὰρ ὕλη τῷ ταύτης δεκτικὴ εἶναι λέγεται φύσις, καὶ αἱ γενέσεις καὶ τὸ φύε-
93 σθαι τῷ ἀπὸ ταύτης εἶναι κινήσεις. καὶ ἡ ἀρχὴ τῆς κινήσεως τῶν φύσει ὄντων αὕτη ἐστὶν ἐνυπάρχουσά πως ἢ δυνάμει ἢ ἐντελεχείᾳ.

5 Ἀναγκαῖον λέγεται, οὗ ἄνευ οὐκ ἐνδέχεται ζῆν ὡς συναιτίου, οἷον τὸ ἀναπνεῖν καὶ ἡ τροφὴ τῷ ζῴῳ ἀναγκαῖον· ἀδύνατον γὰρ ἄνευ τούτων εἶναι. καὶ ὧν ἄνευ τὸ ἀγαθὸν μὴ ἐνδέχεται ἢ εἶναι ἢ γενέσθαι, ἢ τὸ κακὸν ἀποβαλεῖν ἢ στερηθῆναι, οἷον τὸ πιεῖν τὸ φάρμακον ἀναγκαῖον ἵνα μὴ κάμνῃ, καὶ τὸ πλεῦσαι εἰς Αἴγιναν ἵν' ἀπολάβῃ τὰ χρήματα. ἔτι τὸ βίαιον καὶ ἡ βία· τοῦτο δ' ἐστὶ τὸ παρὰ τὴν ὁρμὴν καὶ τὴν προαίρεσιν ἐμποδίζον καὶ κωλυτικόν. τὸ γὰρ βίαιον ἀναγκαῖον λέγεται, διὸ καὶ λυπηρόν, ὥσπερ καὶ Εὔηνός φησι «πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ.» καὶ ἡ βία ἀνάγκη τις, ὥσπερ καὶ Σοφοκλῆς λέγει «ἀλλ' ἡ βία με ταῦτ' ἀναγκάζει ποιεῖν.» καὶ δοκεῖ ἡ

1015a 1. ὄντων as. | 2. τε post διάλλ. om $A^b$. | ἐστὶ καὶ φύσις $A^b$. | τοῖς $EA^b$: ceteri τοῖς δ'. | 3. ἐστι φύσει T. | 5. ἐὰν $A^b$. | 7. ἥ τε] haec i. | 8. ἢ post διχῶς et ἡ ante ὅλως om $A^b$. | ἢ ἡ ὅλως πρώτη om as. | 11. τούτου T. | μεταφορὰ $A^b$a. | 14. ἡ ante οὐσία om Alex. | 16. λέγεται εἶναι as. | καὶ γένεσις $A^b$. | τῷ $TA^b$. | 17. εἶναι κίνησις $A^b$. | 18. ἡ αὐτή $A^b$. | 19. ἐνεργείᾳ Alex. | 20. ζῆν] εἶναι fort. Alex. | 23. ἢ τὸ $A^b$ Alex: ceteri et cb ἤ τι. | 25. ἵνα μὴ ἀποβάλῃ T, et omisso ἵνα as. | 27. τὴν post καὶ om $A^b$c. | 30. λέγει om T.

*ἀνάγκη ἀμετάπειστόν τι εἶναι, ὀρθῶς· ἐναντίον γὰρ τῇ κατὰ τὴν προαίρεσιν κινήσει καὶ κατὰ τὸν λογισμόν. ἔτι τὸ μὴ ἐνδεχόμενον ἄλλως ἔχειν ἀναγκαῖόν φαμεν οὕτως ἔχειν. καὶ κατὰ τȣ̃το τὸ ἀναγκαῖον καὶ τἆλλα λέγεταί πως ἅπαντα ἀναγκαῖα· τό τε γὰρ βίαιον ἀναγκαῖον λέ-*
1015b *γεται ἢ ποιεῖν ἢ πάσχειν τότε, ὅταν μὴ ἐνδέχηται κατὰ τὴν ὁρμὴν διὰ τὸ βιαζόμενον, ὡς ταύτην ἀνάγκην οὖσαν, δι' ἣν μὴ ἐνδέχεται ἄλλως· καὶ ἐπὶ τῶν συναιτίων τοῦ ζῆν καὶ τȣ̃ ἀγαθȣ̃ ὡσαύτως· ὅταν γὰρ μὴ ἐνδέχηται ἔνθα μὲν τὸ ἀγαθὸν ἔνθα δὲ τὸ ζῆν καὶ τὸ εἶναι ἄνευ τινῶν, ταῦτα ἀναγκαῖα καὶ ἡ αἰτία ἀνάγκη τίς ἐϛιν αὕτη. ἔτι ἡ ἀπόδειξις τῶν ἀναγκαίων, ὅτι οὐκ ἐνδέχεται ἄλλως ἔχειν, εἰ ἀποδέδεικται ἁπλῶς· τȣ́του δ' αἴτια τὰ πρῶτα,* 94
*εἰ ἀδύνατον ἄλλως ἔχειν ἐξ ὧν ὁ συλλογισμός. τῶν μὲν δὴ ἕτερον αἴτιον τοῦ ἀναγκαῖα εἶναι, τῶν δὲ οὐθέν, ἀλλὰ διὰ ταῦτα ἕτερά ἐστιν ἐξ ἀνάγκης. ὥστε τὸ πρῶτον καὶ κυρίως ἀναγκαῖον τὸ ἁπλȣ̃ν ἐϛίν· τȣ̃το γὰρ ȣ̓κ ἐνδέχεται πλεοναχῶς ἔχειν, ὥστ' οὐδὲ ἄλλως καὶ ἄλλως· ἤδη γὰρ πλεοναχῶς ἂν ἔχοι. εἰ ἄρα ἐστὶν ἄττα ἀΐδια καὶ ἀκίνητα, ȣ̓θὲν ἐκείνοις ἐϛὶ βίαιον ȣ̓δὲ παρὰ φύσιν.*

6 *Ἓν λέγεται τὸ μὲν κατὰ συμβεβηκός, τὸ δὲ καθ' αὑτό· κατὰ συμβεβηκὸς μὲν οἷον Κορίσκος καὶ τὸ μȣσικὸν καὶ Κορίσκος μȣσικός· ταὐτὸ γὰρ εἰπεῖν Κορίσκος καὶ τὸ μȣσικόν, καὶ Κορίσκος μȣσικός, καὶ τὸ μȣσικὸν καὶ τὸ δίκαιον, καὶ μȣσικὸς καὶ δίκαιος Κορίσκος· πάντα γὰρ ταῦτα ἓν λέγεται κατὰ συμβεβηκός, τὸ μὲν δίκαιον καὶ τὸ μȣσικόν, ὅτι μιᾷ ȣ̓σίᾳ συμβέβηκεν, τὸ δὲ μουσικὸν καὶ Κορίσκος, ὅτι θάτερον θατέρῳ συμβέβηκεν. ὁμοίως δὲ τρόπον τινὰ καὶ ὁ μȣσικὸς Κορίσκος τῷ Κορίσκῳ ἕν, ὅτι θάτερον*

33. *τὴν* om **T**. | *καὶ τῇ κατὰ* Alex. | 34. *ἔχειν οὕτως* ***as***. | 36. *ἀναγκαῖα*] *ἀναγκαῖον* **T**. | *βίαιον* om ***i***. | *ἀναγκαῖον* om ***as***.

1015b 2. *ὥστ' αὐτὴν* **T**. | 4. *ζῆν*] *εἶναι* fort. Alex. | *ἐνδέχεται* $A^b$. | 5. *καὶ τὸ* fort. omittendum. | 6. *αὐτῆς* $A^b$. | 8. *ἁπλῶς*] ***similiter i***. | 9. *εἰ*] *ἃ* ***as***. | 10. *δι' ἕτερον αἴτιον τὸ ἀναγκαῖον* $A^b$. | 14. *ἄρα*] *γὰρ* $A^b$. | *ἄττα καὶ ἀΐδια καὶ* $A^b$. | 15. *οὐδ' ἐν* **E**, ***nihil in eis i***. | 16. *ἕν*] *τὸ ἓν* $F^b$. | *τὸ δὲ* — 17. *μὲν* om $A^b$***as***. | 18. *Κορίσκος*] *ὁ κορίσκος* ***Tas***, *κορίσκος καὶ* $A^b$. | *ταὐτὸ* — 19. *μουσικός· καὶ* om $A^b$. | 19. ante *καὶ Κορ.* adde *ἓν* ex Alex. | *Κορίσκος καὶ μουσικός* ***as***. | 20. *μουσικὸς καὶ δίκαιος Κ.* Alex: ceteri et ***b*** *μουσικὸς δίκαιος Κ.* | *δίκαιος* om $A^b$. | 21. *τὸ μὲν γὰρ δ.* ***as***. | 22. *τὸ* — 23. *συμβέβηκεν* om **E**.

Digitized by Google

*τῶν μορίων θατέρῳ συμβέβηκε τῶν ἐν τῷ λόγῳ, οἷον τὸ μουσικὸν τῷ Κορίσκῳ, καὶ ὁ μουσικὸς Κορίσκος δικαίῳ Κορίσκῳ, ὅτι ἑκατέρου μέρος τῷ αὐτῷ ἑνὶ συμβέβηκεν ἕν. ὡσαύτως δὲ κἂν ἐπὶ γένους κἂν ἐπὶ τῶν καθόλου τινὸς ὀνομάτων λέγηται τὸ συμβεβηκός, οἷον ὅτι ἄνθρωπος τὸ αὐτὸ καὶ μουσικὸς ἄνθρωπος· ἢ γὰρ ὅτι τῷ ἀνθρώπῳ μιᾷ οὔσῃ οὐσίᾳ συμβέβηκε τὸ μουσικόν, ἢ ὅτι ἄμφω τῶν καθ' ἕκα-*
95 *στόν τινι συμβέβηκεν, οἷον Κορίσκῳ. πλὴν οὐ τὸν αὐτὸν τρόπον ἄμφω ὑπάρχει, ἀλλὰ τὸ μὲν ἴσως ὡς γένος καὶ ἐν τῇ οὐσίᾳ, τὸ δὲ ὡς ἕξις ἢ πάθος τῆς οὐσίας. ὅσα μὲν οὖν κατὰ συμβεβηκὸς λέγεται ἕν, τοῦτον τὸν τρόπον λέγεται. τῶν δὲ καθ' ἑαυτὰ ἓν λεγομένων τὰ μὲν λέγεται τῷ συνεχῆ εἶναι, οἷον φάκελλος δεσμῷ καὶ ξύλα κόλλῃ,* 1016*a*
*καὶ γραμμὴ κἂν κεκαμμένη ᾖ, συνεχὴς δέ, μία λέγεται, ὥσπερ καὶ τῶν μερῶν ἕκαστον, οἷον σκέλος καὶ βραχίων. αὐτῶν δὲ τούτων μᾶλλον ἓν τὰ φύσει συνεχῆ ἢ τέχνῃ. συνεχὲς δὲ λέγεται, οὗ κίνησις μία καθ' αὑτὸ καὶ μὴ οἷόν τε ἄλλως· μία δ' οὗ ἀδιαίρετος, ἀδιαίρετος δὲ κατὰ χρόνον. καθ' αὑτὰ δὲ συνεχῆ ὅσα μὴ ἁφῇ ἕν· εἰ γὰρ θείης ἁπτόμενα ἀλλήλων ξύλα, οὐ φήσεις ταῦτα εἶναι ἓν οὔτε ξύλον οὔτε σῶμα οὔτ' ἄλλο συνεχὲς οὐθέν. τά τε δὴ ὅλως συνεχῆ ἓν λέγεται, κἂν ἔχῃ κάμψιν, καὶ ἔτι μᾶλλον τὰ μὴ ἔχοντα κάμψιν, οἷον κνήμη ἢ μηρὸς σκέλους, ὅτι ἐνδέχεται μὴ μίαν εἶναι τὴν κίνησιν τοῦ σκέλους. καὶ ἡ εὐθεῖα τῆς κεκαμμένης μᾶλλον ἕν. τὴν δὲ κεκαμμένην καὶ ἔχουσαν γωνίαν καὶ μίαν καὶ οὐ μίαν λέγομεν, ὅτι ἐνδέχεται καὶ μὴ ἅμα τὴν κίνησιν αὐτῆς εἶναι καὶ ἅμα· τῆς δ' εὐθείας ἀεὶ ἅμα, καὶ οὐθὲν μόριον ἔχον μέγεθος τὸ μὲν ἠρεμεῖ τὸ δὲ κινεῖται, ὥσπερ τῆς κεκαμμένης. ἔτι ἄλλον τρόπον ἓν λέγεται τῷ τὸ ὑποκείμενον τῷ εἴδει εἶναι ἀδιάφορον. ἀδιάφορα δ' ὧν*

27. *μέρους* ***TA**^b^**c**.* | *τῷ* om ***T***. | *ἓν* om ***A**^b^*, post *ἓν* add *οὐδὲν γὰρ διαφέρει ἢ Κορίσκῳ τὸ μουσικὸν συμβεβηκέναι* ***ETias***, et praeterea *ἢν ἐκείνῳ τοῦτο* ***a***, *ἢ ἐκείνῳ τοῦτο* ***is***, sed haec omnia om Alex. | 28. *τῶν*] *τοῦ* ***Tas***. | 29. *ὅτι ὁ ἄνθρ.* ***A**^b^*. | 30. *ὅτε* ***a***. | *τῶν ἀνθρώπων* ***T***. | 33. *ὑπάρχειν* ***a***. | 34. *ὡς* om ***T***. | 35. *ἓν* post alterum *λέγεται* ponunt ***as***.

1016***a*** 1. *φάκελος* ***ETas***, *σφάκελλος* ***F**^b^*. | 2. *κεκλασμένη* ***H**^b^*, *κεκομμένη* ***a***. | 3. *οἷον* add ***A**^b^*. | 5. ante *κίνησις* addendum videtur *ἡ* ex ***as*** et Alex p. 323, 7. 10; cf. ***a***12. 14. ***I***, 1. 1052***a*** 21. | 6. *οὗ ἀδ.*] *quae indiv.* ***i***. | *κατὰ τὸν χρόνον* ***H**^b^* Alex. | 15. *ἀεὶ*] *δεῖ* ***A**^b^*. | 16. *οὐθὲν*] *οὐδὲ* ***a***. | 17. *ἓν* om ***ET***. | 18. *ἀδιάφορον* ***E***. | *ἀδιάφορα δ'* om ***A**^b^*.

ἀδιαίρετον τὸ εἶδος κατὰ τὴν αἴσθησιν· τὸ δ' ὑποκείμενον ἢ τὸ πρῶτον ἢ τὸ τελευταῖον πρὸς τὸ τέλος. καὶ γὰρ οἶνος εἷς λέγεται καὶ ὕδωρ ἕν, ᾗ ἀδιαίρετον κατὰ τὸ εἶδος· καὶ οἱ χυμοὶ πάντες λέγονται ἕν, οἷον ἔλαιον οἶνος καὶ τὰ τηκτά, ὅτι πάντων τὸ ἔσχατον ὑποκείμενον τὸ αὐτό· ὕδωρ γὰρ ἢ ἀὴρ πάντα ταῦτ' ἐστίν. λέγεται δ' ἓν καὶ ὧν τὸ γένος ἓν 96 διαφέρον ταῖς ἀντικειμέναις διαφοραῖς. καὶ ταῦτα λέγεται ἓν πάντα, ὅτι τὸ γένος ἓν τὸ ὑποκείμενον ταῖς διαφοραῖς, οἷον ἵππος ἄνθρωπος κύων ἕν τι, ὅτι πάντα ζῷα, καὶ τρόπον δὴ παραπλήσιον, ὥσπερ ἡ ὕλη μία. ταῦτα δὲ ὁτὲ μὲν οὕτως ἓν λέγεται, ὁτὲ δὲ τὸ ἄνω γένος [ὃ] ταὐτὸν λέγεται, ἂν ᾖ τελευταῖα τοῦ γένους εἴδη, τὸ ἀνωτέρω τούτων, οἷον τὸ ἰσοσκελὲς καὶ τὸ ἰσόπλευρον ταὐτὸ καὶ ἓν σχῆμα, ὅτι ἄμφω τρίγωνα· τρίγωνα δ' οὐ ταὐτά. ἔτι δὲ ἓν λέγεται ὅσων ὁ λόγος ὁ τὸ τί ἦν εἶναι λέγων ἀδιαίρετος πρὸς ἄλλον τὸν δηλοῦντα τί ἦν εἶναι τὸ πρᾶγμα· αὐτὸς γὰρ καθ' αὑτὸν πᾶς λόγος διαιρετός. οὕτω γὰρ καὶ τὸ ηὐξημένον καὶ φθῖνον ἕν ἐστιν, ὅτι ὁ λόγος εἷς, ὥσπερ ἐπὶ τῶν ἐπιπέδων ὁ τοῦ
1016b εἴδους εἷς. ὅλως δὲ ὧν ἡ νόησις ἀδιαίρετος ἡ νοοῦσα τὸ τί ἦν εἶναι, καὶ μὴ δύναται χωρίσαι μήτε χρόνῳ μήτε τόπῳ μήτε λόγῳ, μάλιστα ταῦτα ἕν, καὶ τούτων ὅσα οὐσίαι. καθόλου γὰρ ὅσα μὴ ἔχει διαίρεσιν, ᾗ μὴ ἔχει, ταύτῃ ἓν λέγεται, οἷον εἰ ᾗ ἄνθρωπος μὴ ἔχει διαίρεσιν, εἷς ἄνθρωπος, εἰ δ' ᾗ ζῷον, ἓν ζῷον, εἰ δὲ ᾗ μέγεθος, ἓν μέγεθος. τὰ μὲν οὖν πλεῖστα ἓν λέγεται τῷ ἕτερόν τι ἢ ποιεῖν ἢ πάσχειν ἢ ἔχειν ἢ πρός τι εἶναι ἕν, τὰ δὲ πρώτως λεγόμενα ἕν, ὧν ἡ οὐσία μία. μία δὲ ἢ συνεχείᾳ ἢ εἴδει ἢ λόγῳ· καὶ γὰρ ἀριθμοῦμεν ὡς πλείω ἢ τὰ μὴ συνεχῆ, ἢ ὧν μὴ ἓν τὸ εἶδος,

23. ᾗ] καὶ Tas. | 26. πάντα ἓν ETas. | 27. τι om $A^b$. | 28. post δὴ addendum videtur τινα ex as et fort. Alex. | 29. τὸ ἄνω] κατὰ τὸ ἄνω Ascl et fort. Alex. | ταὐτὸ E, τὸ αὐτὸ $A^b$. | 30. τὸ ἀνωτέρω scripsi secutus Alex: τὰ ἀνωτέρω iascb, τῶν ἀν. Ascl. | 31. τὸ μὲν ἰσοσκελὲς Tas. | 32. ἄμφω τρ.] ἄμφω ταὐτά as. | τρίγωνον ET. | 33. ὁ ante τὸ om $A^b$. | 34. δηλοῦντα ὁ τὸ τί as. | ἦν om T. | 35. πᾶς ὁ λ. T. | ἀδιαίρετος $A^b$. | 36. ἐπὶ τῶν] ὁ τῶν as. | post ἐπιπέδων add τῶν ἐχόντων μῆκος καὶ πλάτος as.

1016b 1. εἷς om $A^b$ et fort. Alex. | 2. χωρῆσαι a. | 3. post ἓν punctum, post οὐσίαι colon b. | 4. γὰρ] δὲ E. | ᾗ μὴ ἔχει om $A^b$. | 7. post τι add unum i. | ἢ πάσχειν post ἢ ἔχειν $EA^bc$. | ἢ ἔχειν om as. | 8. ἓν εἶναι as. | 9. γρ καὶ ἀριθμῷ μόνως. καὶ ἐπεὶ δ' ἐστὶν ἢ τὰ μὲν κτλ E mg. | 10. ἢ om $A^b$. | ἢ ὧν μὴ — 11. εἷς om $A^b$.

Digitized by Google

ἢ ὧν ὁ λόγος μὴ εἷς. ἔτι δ' ἔστι μὲν ὡς ὁτιοῦν ἓν φαμεν
97 εἶναι, ἂν ᾖ ποσὸν καὶ συνεχές, ἔστι δ' ὡς οὔ, ἂν μή τι ὅλον
ᾖ, τοῦτο δὲ ἂν μὴ τὸ εἶδος ἔχῃ ἕν· οἷον οὐκ ἂν φαῖμεν
ὁμοίως ἓν ἰδόντες ὁπωσοῦν τὰ μέρη συγκείμενα τοῦ ὑποδή-
ματος, ἂν μὴ διὰ τὴν συνέχειαν, ἀλλ' ἐὰν οὕτως ὥστε ὑπό-
δημα εἶναι καὶ εἶδός τι ἤδη ἔχειν ἕν. διὸ καὶ ἡ τοῦ κύκλου
μάλιστα μία τῶν γραμμῶν, ὅτι ὅλη καὶ τέλειός ἐστιν. τὸ
δὲ ἑνὶ εἶναι ἀρχὴ τινί ἐστιν ἀριθμοῦ εἶναι· τὸ γὰρ πρῶτον
μέτρον ἀρχή· ᾧ γὰρ πρώτῳ γνωρίζομεν, τοῦτο πρῶτον μέ-
τρον ἑκάστου γένους· ἀρχὴ οὖν τοῦ γνωστοῦ περὶ ἕκαστον τὸ ἕν.
οὐ ταὐτὸ δὲ ἐν πᾶσι τοῖς γένεσι τὸ ἕν. ἔνθα μὲν γὰρ δίε-
σις, ἔνθα δὲ τὸ φωνῆεν ἢ ἄφωνον· βάρους δ' ἕτερον καὶ κι-
νήσεως ἄλλο. πανταχοῦ δὲ τὸ ἓν ἢ τῷ ποσῷ ἢ τῷ εἴδει
ἀδιαίρετον. τὸ μὲν οὖν κατὰ τὸ ποσὸν καὶ ᾗ ποσὸν ἀδιαίρε-
τον, τὸ μὲν πάντῃ καὶ ἄθετον λέγεται μονάς, τὸ δὲ πάντῃ
καὶ θέσιν ἔχον στιγμή, τὸ δὲ μοναχῇ γραμμή, τὸ δὲ διχῇ
ἐπίπεδον, τὸ δὲ πάντῃ καὶ τριχῇ διαιρετὸν κατὰ τὸ ποσὸν
σῶμα. καὶ ἀντιστρέψαντι δὴ τὸ μὲν διχῇ διαιρετὸν ἐπίπε-
δον, τὸ δὲ μοναχῇ γραμμή, τὸ δὲ μηδαμῇ διαιρετὸν κατὰ
τὸ ποσὸν στιγμὴ καὶ μονάς, ἡ μὲν ἄθετος μονάς, ἡ δὲ θετὸς
στιγμή. ἔτι δὲ τὰ μὲν κατ' ἀριθμόν ἐστιν ἕν, τὰ δὲ κατ'
εἶδος, τὰ δὲ κατὰ γένος, τὰ δὲ κατ' ἀναλογίαν· ἀριθμῷ
μὲν ὧν ἡ ὕλη μία, εἴδει δ' ὧν ὁ λόγος εἷς, γένει δ' ὧν τὸ
αὐτὸ σχῆμα τῆς κατηγορίας, κατ' ἀναλογίαν δὲ ὅσα ἔχει ὡς
ἄλλο πρὸς ἄλλο. ἀεὶ δὲ τὰ ὕστερα τοῖς ἔμπροσθεν ἀκολουθεῖ,
οἷον ὅσα ἀριθμῷ καὶ εἴδει ἕν, ὅσα δ' εἴδει οὐ πάντα ἀριθμῷ·
ἀλλὰ γένει πάντα ἓν ὅσαπερ καὶ εἴδει· ὅσα δὲ γένει οὐ πάν- 1017a
98 τα εἴδει ἀλλ' ἀναλογίᾳ· ὅσα δὲ ἓν ἀναλογίᾳ, οὐ πάντα γέ-

11. ἢ ὧν ὁ λ. μὴ εἷς omissa testatur Alex p. 327, 29, sed habet Ascl. | ἔτι *Ti* et coniect. Alex, ἔτι ἐπεὶ *as*: ceteri et Alex et *cb* ἐπεί. | ἓν] ἓν συνεχεία *Tas*, om $F^b$. | 13. τὸ] τι $A^b$. | οἷον add $EA^b$ Ascl. | φαῖμεν ἓν ἰδόντες ὁμοίως *as*. | 14. ὁπωσοῦν ἰδόντες $A^b$. | 15. ἂν μὴ] ἓν *T*, om *s*. | 16. ἔχειν ἤδη *ETas*. | ἓν ἔχειν *c*. | 17. καὶ om *Tas*. | 18. ἓν $A^bH^b$. | ἀρχῇ $A^b$. | ἀριθμῷ *ETi*, ἀριθμοῦ καὶ τοῦ $H^b$. | 19. μέτρον ἑκάστου γένους ἀρχή $A^bas$. | γνωρίζομέν τι, τοῦτο Alex. | 20. γνωριστοῦ *s*. | ἕκαστον γένος τὸ *as*. | 23. ἢ τῷ εἴδει ἢ τῷ ποσῷ *as*. | 24. καὶ ᾗ ποσὸν om $A^b$. | 28. δὴ] δὲ *s*. | 29. post γραμμή add τὸ δὲ πάντῃ τριχῇ διαιρετὸν σῶμα *as*. | 30. θετὴ *T*. | 31. δὲ et ἐστιν om $A^b$. | 33. μὲν οὖν ὧν $A^b$. | εἷς om $A^b$. | 35. δὴ *ET*.

1017a 1. γένη *a*. | 2. ἓν om $A^b$.

Digitized by Google

νει. φανερὸν δὲ καὶ ὅτι τὰ πολλὰ ἀντικειμένως λεχθήσεται τῷ ἑνί· τὰ μὲν γὰρ τῷ μὴ συνεχῆ εἶναι, τὰ δὲ τῷ διαιρετὴν ἔχειν τὴν ὕλην κατὰ τὸ εἶδος, ἢ τὴν πρώτην ἢ τὴν τελευταίαν, τὰ δὲ τῷ τὺς λόγυς πλείυς τὺς τί ἦν εἶναι λέγοντας.

7 Τὸ ὂν λέγεται τὸ μὲν κατὰ συμβεβηκός, τὸ δὲ καθ' αὑτό· κατὰ συμβεβηκὸς μέν, οἷον τὸν δίκαιον μουσικὸν εἶναί φαμεν καὶ τὸν ἄνθρωπον μουσικὸν καὶ τὸν μουσικὸν ἄνθρωπον, παραπλησίως λέγοντες ὥσπερ τὸν μυσικὸν οἰκοδομεῖν, ὅτι συμβέβηκε τῷ οἰκοδόμῳ μουσικῷ εἶναι ἢ τῷ μυσικῷ οἰκοδόμῳ· τὸ γὰρ τόδε εἶναι τόδε σημαίνει τὸ συμβεβηκέναι τῷδε τόδε. οὕτω δὲ καὶ ἐπὶ τῶν εἰρημένων τὸν ἄνθρωπον ὅταν μυσικὸν λέγωμεν καὶ τὸν μυσικὸν ἄνθρωπον, ἢ τὸν λευκὸν μυσικὸν ἢ τοῦτον λευκόν, τὸ μὲν ὅτι ἄμφω τῷ αὐτῷ συμβεβήκασι, τὸ δ' ὅτι συμβέβηκε τῷ ὄντι· τὸ δὲ μυσικὸν ἄνθρωπον, ὅτι τύτῳ τὸ μυσικὸν συμβέβηκεν. οὕτω δὲ λέγεται καὶ τὸ μὴ λευκὸν εἶναι, ὅτι ᾧ συμβέβηκεν, ἐκεῖνο ἔστιν. τὰ μὲν οὖν κατὰ συμβεβηκὸς εἶναι λεγόμενα οὕτω λέγεται ἢ διότι τῷ αὐτῷ ὄντι ἄμφω ὑπάρχει, ἢ ὅτι ὄντι ἐκείνῳ ὑπάρχει, ἢ ὅτι αὐτὸ ἔστιν ᾧ ὑπάρχει ὃ αὐτὸ κατηγορεῖται. καθ' αὑτὰ δὲ εἶναι λέγεται ὅσαπερ σημαίνει τὰ σχήματα τῆς κατηγορίας· ὁσαχῶς γὰρ λέγεται, τοσαυταχῶς τὸ εἶναι σημαίνει. ἐπεὶ οὖν τῶν κατηγορυμένων τὰ μὲν τί ἐςι σημαίνει, τὰ δὲ ποιόν, τὰ δὲ ποσόν, τὰ δὲ πρός τι, τὰ δὲ ποιεῖν ἢ πάσχειν, τὰ δὲ ποῦ, 99 τὰ δὲ ποτέ, ἑκάστῳ τύτων τὸ εἶναι ταὐτὸ σημαίνει. οὐθὲν γὰρ διαφέρει τὸ ἄνθρωπος ὑγιαίνων ἐστὶν ἢ τὸ ἄνθρωπος ὑγιαίνει, ἢ τὸ ἄνθρωπος βαδίζων ἐςὶν ἢ τέμνων τοῦ ἄνθρωπος βαδίζει ἢ τέμνει. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. ἔτι τὸ εἶναι σημαίνει καὶ τὸ ἔςιν ὅτι ἀληθές, τὸ δὲ μὴ εἶναι ὅτι ὐκ ἀληθὲς ἀλλὰ ψεῦδος, ὁμοίως ἐπὶ καταφάσεως καὶ

6. τῷ] τὸ *T*. | λέγοντας scripsi cum *i* et Cas, λέγονται *ascb*. | 8. τὸ $H^b$. | 9. τὸν μ.] τὸ μ. *Tas* et Alex p. 330, 14, fort. recte. | 10. λέγεται *E*. | ὥσπερ εἰ τὸν $A^b$ et fort. Alex. | 12. γὰρ τῷδε ε. *as*. | alterum τόδε om pr *E*. | 13. τόδε τῶδε $A^b$*as*. | 14. ante ἄνθρωπον ὅταν add γὰρ $A^b$*cb*, colo post εἰρημένων posito. | 15. ἢ λευκὸν τὸν *ETas*, ἢ τὸ λευκὸν Alex. | 16. αὐτῷ ὄντι σ. $A^b$. | τῷ ὄντι συμβέβηκε *ETas*. | 17. τὸ δὲ — μ. συμβέβηκεν om $A^b$. | post ἄνθρ. add εἶναι *as*. | 18. μὴ add $A^b$ Alex Ascl. | 20. ἄμφω ὄντι $A^b$. | 21. ὅτι om *T*. | ἐκεῖνο $A^b$. | ὃ *T*. | 22. καθ' αὑτὸ *as*. | 27. πότε *ascb*. | 28. τὸ post ἢ om $A^b$. | 29. ἢ τὸ] οὐδὲ τὸ $A^b$*b*. | ἄνθρωπον βαδί[illegible] ἢ τέμνειν *ETasc*. | 32. post ψεῦδος punctum *cb*. | ὁμοίως καὶ ἐπὶ *as*.

Digitized by Google

ἀποφάσεως· οἷον ὅτι ἔστι Σωκράτης μουσικός, ὅτι ἀληθὲς τῦτο, ἢ ὅτι ἔςι Σωκράτης οὐ λευκός, ὅτι ἀληθές· τὸ δ' ὀκ ἔςιν ἡ διάμετρος σύμμετρος, ὅτι ψεῦδος. ἔτι τὸ εἶναι σημαίνει καὶ τὸ ὂν τὸ μὲν δυνάμει [ῥητόν,] τὸ δ' ἐντελεχείᾳ 1017b
τῶν εἰρημένων τύτων. ὁρῶν τε γὰρ εἶναί φαμεν καὶ τὸ δυνάμει [ῥητῶς] ὁρῶν καὶ τὸ ἐντελεχείᾳ· καὶ [τὸ] ἐπίςασθαι ὡσαύτως καὶ τὸ δυνάμενον χρῆσθαι τῇ ἐπιστήμῃ καὶ τὸ χρώμενον· καὶ [τὸ] ἠρεμοῦν καὶ ᾧ ἤδη ὑπάρχει ἠρεμία καὶ τὸ δυνάμενον ἠρεμεῖν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν οὐσιῶν· καὶ γὰρ Ἑρμῆν ἐν τῷ λίθῳ φαμὲν εἶναι, καὶ τὸ ἥμισυ τῆς γραμμῆς, καὶ σῖτον τὸν μήπω ἀδρόν. πότε δὲ δυνατὸν καὶ πότε ὄπω, ἐν ἄλλοις διοριςέον.

8 Οὐσία λέγεται τά τε ἁπλᾶ σώματα, οἷον γῆ καὶ πῦρ καὶ ὕδωρ καὶ ὅσα τοιαῦτα, καὶ ὅλως σώματα καὶ τὰ ἐκ τούτων συνεστῶτα ζῷά τε καὶ δαιμόνια καὶ τὰ μόρια τύτων. ἅπαντα δὲ ταῦτα λέγεται ὀσία ὅτι οὐ καθ' ὑποκειμένου λέγεται, ἀλλὰ κατὰ τούτων τὰ ἄλλα. ἄλλον δὲ τρόπον ὃ ἂν ᾖ αἴτιον τοῦ εἶναι, ἐνυπάρχον ἐν τοῖς τοιούτοις ὅσα μὴ λέγεται καθ' ὑποκειμένου, οἷον ἡ ψυχὴ τῷ ζῴῳ. ἔτι ὅσα μόρια ἐνυπάρχοντά ἐςιν ἐν τοῖς τοιούτοις ὁρίζοντά
100 τε καὶ τόδε τι σημαίνοντα, ὧν ἀναιρουμένων ἀναιρεῖται τὸ ὅλον, οἷον ἐπιπέδου σῶμα, ὥς φασί τινες, καὶ ἐπίπεδον γραμμῆς· καὶ ὅλως ὁ ἀριθμὸς δοκεῖ εἶναί τισι τοιῦτος· ἀναιρυμένυ τε γὰρ ὀθὲν εἶναι, καὶ ὁρίζειν πάντα. ἔτι τὸ τί ἦν εἶναι ὃ ὁ λόγος ὁρισμός, καὶ τῦτο ὀσία λέγεται ἑκάςου. συμβαίνει δὴ κατὰ δύο τρόπυς τὴν οὐσίαν λέγεσθαι, τό θ' ὑποκείμενον ἔσχατον, ὃ μηκέτι κατ' ἄλλου λέγεται, καὶ ὃ

33. post ἀντιφάσεως comma *b*. | οἷον et ἔστι om *T*. | 34. ἔστι add *E* *A^b is*. | 35. σύμμετρος Alex, ἀσύμμετρος *aiscb* Ascl.

1017*b* 1. ὄν] ὂν καὶ *A^b*. | δυνάμει ῥητόν *ascb*, ῥητὸν δυνάμει *A^b*. γρ τὸ μὲν ῥητὸν τὸ δ' ἐντελεχεία. καὶ οὕτως τὸ μὲν δυνάμει τὸ δ' ἐντελεχεία *E* mg, quocum consentiunt Alex Ascl. | 2. ὁρῶντες γάρ *A^b*. | φαμεν εἶναι *A^b c*. | δυνάμει om *T*. | 3. ῥητῶς om *A^b*, inclusit *b*. | τὸ ante ἐπίστασθαι omittendum cum Alex p. 332, 26, idem statuendum de articulo τὸ 5. quem *A^b* om. | ἐπίστασθαι] *sciens i*. | 5. ἤδη] δὴ *A^b*. | ἡ ἠρεμία *as*. | 7. Ἑρμῆν om *T*. | 10. οὐσία δὲ λ. *as*. | 16. τῶν ζώων *A^b*. | 17. ἐνυπάρχοντά ἐ. ἐ. τ. τοιούτοις om *A^b*. | ὁρίζοντά τε om *T*, τε om *A^b*. | 18. τόδε τι] τόδε *as*. | ἀναιρεῖται καὶ τὸ Alex. | 20. τισι τοιοῦτος εἶναι *A^b as*. | 21. πάντα om et 22. post εἶναι add *as*. | 22. οὗ λόγος ἐστὶν ὁ ὁρισμός Alex. | ὁρισμός] ἐστὶν ὁρισμός *Eas*, ἐστὶν ἀριθμός *T*. | τοῦτο] τοῦτο ὃ *T*. | 23. σημαίνει δὲ *T*. | κατὰ om *A^b*.

Digitized by Google

*ἂν τόδε τι ὂν καὶ χωριςὸν ᾖ· τοιȣ̃τον δὲ ἑκάστου ἡ μορφὴ καὶ τὸ εἶδος.*

9 *Ταὐτὰ λέγεται τὰ μὲν κατὰ συμβεβηκός, οἷον τὸ λευκὸν καὶ τὸ μουσικὸν τὸ αὐτό, ὅτι τῷ αὐτῷ συμβέβηκε, καὶ ἄνθρωπος καὶ μȣσικόν, ὅτι θάτερον θατέρῳ συμβέβηκεν· τὸ δὲ μȣσικὸν ἄνθρωπος, ὅτι τῷ ἀνθρώπῳ συμβέβηκεν. ἑκατέρῳ δὲ τȣ̃το καὶ τούτῳ ἑκάτερον ἐκείνων· καὶ γὰρ τῷ ἀνθρώπῳ τῷ μȣσικῷ καὶ ὁ ἄνθρωπος καὶ τὸ μουσικὸν ταὐτὸν λέγεται, καὶ τȣ́τοις ἐκεῖνο. διὸ καὶ πάντα ταῦτα καθόλου οὐ λέγεται· οὐ γὰρ ἀληθὲς εἰπεῖν ὅτι πᾶς ἄνθρωπος ταὐτὸ καὶ τὸ μȣσικόν· τὰ γὰρ καθόλου καθ' αὑτὰ ὑπάρχει, τὰ δὲ συμβεβηκότα οὐ καθ' αὑτὰ ἀλλ' ἐπὶ τῶν καθ' ἕκαστα ἁπλῶς λέγεται. ταὐτὸ γὰρ δοκεῖ Σωκράτης καὶ Σωκράτης εἶναι μȣσικός· τὸ δὲ Σωκράτης ȣ̓κ ἐπὶ πολλῶν, διὸ ȣ̓ πᾶς Σωκράτης λέγεται ὥσπερ πᾶς ἄνθρωπος. καὶ τὰ μὲν ȣ̔́τως λέγεται ταὐτά, τὰ δὲ καθ' αὑτά, ὥσπερ καὶ τὸ ἕν· καὶ γὰρ ὧν ἡ ὕλη μία ἢ εἴδει ἢ ἀριθμῷ ταὐτὰ λέγεται, καὶ ὧν ἡ ȣ̓σία μία. ὥςε φανερὸν ὅτι ἡ ταυτότης ἑνότης τίς ἐςιν* 101 *ἢ πλειόνων τȣ̃ εἶναι, ἢ ὅταν χρῆται ὡς πλείοσιν, οἷον ὅταν λέγῃ αὐτὸ αὑτῷ ταὐτόν· ὡς δυσὶ γὰρ χρῆται αὐτῷ. ἕτερα δὲ λέγεται ὧν ἢ τὰ εἴδη πλείω ἢ ἡ ὕλη ἢ ὁ λόγος τῆς ȣ̓σίας· καὶ ὅλως ἀντικειμένως τῷ ταὐτῷ λέγεται τὸ ἕτερον. διάφορα δὲ λέγεται ὅσ' ἕτερά ἐστι τὸ αὐτό τι ὄντα, μὴ μόνον ἀριθμῷ, ἀλλ' ἢ εἴδει ἢ γένει ἢ ἀναλογίᾳ. ἔτι ὧν ἕτερον τὸ γένος, καὶ τὰ ἐναντία, καὶ ὅσα ἔχει ἐν τῇ οὐσίᾳ τὴν ἑτερότητα. ὅμοια λέγεται τά τε πάντῃ ταὐτὸ πεπονθότα, καὶ τὰ πλείω ταὐτὰ πεπονθότα ἢ ἕτερα, καὶ ὧν ἡ ποιότης μία· καὶ καθ' ὅσα ἀλλοιȣ̃σθαι ἐνδέχεται τῶν ἐναν-*

25. *ἀχώριστον* **T.** | *ᾖ· τοιοῦτον*] *τοιοῦτον ᾖ. τοῦτο* **$A^b$.** | *ἡ ἑκάστου μορφὴ* **as.** | 27. *ταυτὰ δὲ* **$F^b$as.** | 30. *τὸ — συμβέβηκεν* om **T.** | post *ὅτι* add *τὸ μουσικὸν* **ias.** | 31. *τούτω* **$H^b$.** | *τούτων* **$A^bH^b$**, *τοῦτο* **a.** | *ἐκείνω* **$A^b$.** | *ἀνθρώπω καὶ τῶ* **$A^b$.** | 32. *τὸ μουσικὸν* **T.** | *καὶ* om **$A^b$.** | *ὁ*] *τὸ* **$A^bH^b$.** | 33. *καὶ* post *διὸ* om **Ti.** | *ταῦτα πάντα* Alex. | 34. *οὐ* ante *λέγεται* om **T.** | 35. *τὸ* add **$A^b$** et Alex, ceteri et **c** om.

1018*a* 2. *σωκράτης εἶναι καὶ σωκρ. μ.* **T.** | 3. *δὲ*] *γὰρ* **ETiasc.** | 4. *καὶ* et 5. *τὰ* om **$A^b$.** | 5. *αὐτὰ ὅσα ὥσπερ* **E.** | *τὸ* om **$A^bH^b$.** | 6. post *ἀριθμῷ* add *ἢ γένει* **as.** | 7. *ἡ* om **c.** | *μία* om **as.** | 8. *ἢ* ante *πλειόνων* et *ὡς πλείοσιν* om **$A^b$.** | 9. *αὐτῷ*] *αὐτὸ* **$EH^b$**, *αὐτῷ* **as.** | 12. *δὲ* om **$A^b$.** | *μὴ*] *καὶ μὴ* **E** et fort. Alex p. 340, 3. 11. | *μὴ μόνον*] *modo non* **i.** | 15. *πάντῃ* add **$A^b$** Alex. | *ταὐτὸ*] *ταὐτὰ* Alex. | 16. *ταὐτὰ* **ias** Alex: *ταὐτὸ* **cb.**

Digitized by Google

*τίων, τούτων τὸ πλείω ἔχον ἢ κυριώτερα ὅμοιον τούτῳ. ἀντικειμένως δὲ τοῖς ὁμοίοις τὰ ἀνόμοια.*

10 *Ἀντικείμενα λέγεται ἀντίφασις καὶ τἀναντία καὶ τὰ πρός τι καὶ στέρησις καὶ ἕξις καὶ ἐξ ὧν καὶ εἰς ἃ ἔσχατα, οἷον αἱ γενέσεις καὶ φθοραί· καὶ ὅσα μὴ ἐνδέχεται ἅμα παρεῖναι τῷ ἀμφοῖν δεκτικῷ, ταῦτα ἀντικεῖσθαι λέγεται, ἢ αὐτὰ ἢ ἐξ ὧν ἐστίν. φαιὸν γὰρ καὶ λευκὸν ἅμα τῷ αὐτῷ οὐχ ὑπάρχει· διὸ ἐξ ὧν ἐστὶν ἀντίκειται. ἐναντία λέγεται τά τε μὴ δυνατὰ ἅμα τῷ αὐτῷ παρεῖναι τῶν διαφερόντων κατὰ γένος, καὶ τὰ πλεῖστον διαφέροντα τῶν ἐν τῷ αὐτῷ γένει, καὶ τὰ πλεῖστον διαφέροντα τῶν ἐν ταὐτῷ δεκτικῷ, καὶ τὰ πλεῖστον διαφέροντα τῶν ὑπὸ τὴν αὐτὴν δύναμιν, καὶ ὧν ἡ διαφορὰ μεγίστη ἢ ἁπλῶς ἢ κατὰ γένος ἢ κατ' εἶδος. τὰ δ' ἄλλα ἐναντία λέγεται τὰ μὲν τῷ τὰ τοιαῦτα ἔχειν, τὰ δὲ τῷ δεκτικὰ εἶναι τῶν τοιούτων, τὰ δὲ τῷ ποιητικὰ ἢ παθητικὰ εἶναι τῶν τοιούτων, ἢ ποι-*
102 *οῦντα ἢ πάσχοντα, ἢ ἀποβολαὶ ἢ λήψεις, ἢ ἕξεις ἢ στερήσεις εἶναι τῶν τοιούτων. ἐπεὶ δὲ τὸ ἓν καὶ τὸ ὂν πολλαχῶς λέγεται, ἀκολουθεῖν ἀνάγκη καὶ τἆλλα ὅσα κατὰ ταῦτα λέγεται, ὥστε καὶ τὸ ταὐτὸν καὶ τὸ ἕτερον καὶ τὸ ἐναντίον, ὥστ' εἶναι ἕτερον καθ' ἑκάστην κατηγορίαν. ἕτερα δὲ τῷ εἴδει λέγεται ὅσα τε ταὐτοῦ γένους ὄντα μὴ ὑπάλληλά ἐστι, καὶ* 1018*b*
*ὅσα ἐν τῷ αὐτῷ γένει ὄντα διαφορὰν ἔχει, καὶ ὅσα ἐν τῇ οὐσίᾳ ἐναντίωσιν ἔχει· καὶ τὰ ἐναντία ἕτερα τῷ εἴδει ἀλλήλων, ἢ πάντα ἢ τὰ λεγόμενα πρώτως· καὶ ὅσων ἐν τῷ τελευταίῳ τοῦ γένους εἴδει οἱ λόγοι ἕτεροι, οἷον ἄνθρωπος καὶ ἵππος ἄτομα τῷ γένει, οἱ δὲ λόγοι ἕτεροι αὐτῶν· καὶ ὅσα ἐν τῇ αὐτῇ οὐσίᾳ ὄντα ἔχει διαφοράν. ταὐτὰ δὲ τῷ εἴδει τὰ ἀντικειμένως λεγόμενα τούτοις.*

11 *Πρότερα καὶ ὕστερα λέγεται ἔνια μὲν ὡς ὄντος τινὸς πρώτου καὶ ἀρχῆς ἐν ἑκάστῳ γένει τῷ ἐγγύτερον ἀρχῆς*

22. *οἷον* omittendum videtur cum *$A^b$* et Alex. | *καὶ αἱ φθοραί as.* | 24. *ἢ* ante *ἐξ* om *T.* | 25. *διὸ καὶ ἐξ as.* | *ἀντίκειται τούτοις. ἐναντία E Tias.* | 27. *τῷ E*, om *T.* | 32. *τὰ τοιαῦτα*] *ταῦτα $A^b$.* | 33. *εἶναι τῶν τοιούτων* om *as.* | 35 *τῶν τοιούτων*] *τούτων $A^b$c, τούτων καὶ τῶν τοιούτων as.* | *λέγεται πολλαχῶς T.* | 38. *ἕτερον καὶ καθ' as.*

1018*b* 3. *ἐναντίως ἔχει as.* | 4. *ὅσα $A^bH^b$.* | 7. ante *ὄντα* add *αὐτῶν as.* | *ὄντα* om *T.* | *ἔχει*] *μὴ ἔχει* fort. Alex. | 9. *τὰ πρότερα ET.* | 10. *γένει* om *$A^b$.* | *τῷ* scripsi cum Alex p. 347, 5, *τὸ iascb*: Cas *γρ πρότερον γὰρ τὸ ἐγγ.*

Digitized by Google

*τινὸς ὡρισμένης, ἢ ἁπλῶς καὶ τῇ φύσει ἢ πρός τι ἢ ποῦ ἢ ὑπό τινων, οἷον τὰ μὲν κατὰ τόπον τῷ εἶναι ἐγγύτερον ἢ φύσει τινὸς τόπου ὡρισμένου, οἷον τοῦ μέσου ἢ τοῦ ἐσχάτου, ἢ πρὸς τὸ τυχόν, τὸ δὲ πορρώτερον ὕστερον. τὰ δὲ κατὰ χρόνον· τὰ μὲν γὰρ τῷ πορρωτέρω τοῦ νῦν, οἷον ἐπὶ τῶν γενομένων (πρότερα γὰρ τὰ Τρωϊκὰ τῶν Μηδικῶν, ὅτι πορρώτερον ἀπέχει τοῦ νῦν), τὰ δὲ τῷ ἐγγυτέρω τοῦ νῦν, οἷον ἐπὶ τῶν μελλόντων· πρότερον γὰρ Νέμεα Πυθίων, ὅτι ἐγγύτερον τοῦ νῦν ὡς ἀρχῇ καὶ πρώτῳ χρησαμένων. τὰ δὲ κατὰ κίνησιν· τὸ γὰρ ἐγγύτερον τοῦ πρώτου κινήσαντος πρότερον, οἷον παῖς ἀνδρός· ἀρχὴ δὲ καὶ αὕτη τις ἁπλῶς. τὰ δὲ κατὰ δύναμιν· τὸ γὰρ ὑπερέχον τῇ δυνάμει πρότερον,* 103
*καὶ τὸ δυνατώτερον· τοιοῦτον δ' ἐστὶν οὗ κατὰ τὴν προαίρεσιν ἀνάγκη ἀκολουθεῖν θάτερον καὶ τὸ ὕστερον, ὥστε μὴ κινοῦντός τε ἐκείνου μὴ κινεῖσθαι καὶ κινοῦντος κινεῖσθαι· ἡ δὲ προαίρεσις ἀρχή. τὰ δὲ κατὰ τάξιν· ταῦτα δ' ἐστὶν ὅσα πρός τι ἕν ὡρισμένον διέστηκε κατὰ τὸν λόγον, οἷον παραστάτης τριτοστάτου πρότερον, καὶ παρανήτη νήτης· ἔνθα μὲν γὰρ ὁ κορυφαῖος, ἔνθα δὲ ἡ μέση ἀρχή. ταῦτα μὲν οὖν πρότερα τοῦτον λέγεται τὸν τρόπον, ἄλλον δὲ τρόπον τὸ τῇ γνώσει πρότερον ὡς καὶ ἁπλῶς πρότερον. τούτων δὲ ἄλλως τὰ κατὰ τὸν λόγον καὶ τὰ κατὰ τὴν αἴσθησιν. κατὰ μὲν γὰρ τὸν λόγον τὰ καθόλου πρότερα, κατὰ δὲ τὴν αἴσθησιν τὰ καθ' ἕκαστα. καὶ κατὰ τὸν λόγον δὲ τὸ συμβεβηκὸς τοῦ ὅλου πρότερον, οἷον τὸ μουσικὸν τοῦ μουσικοῦ ἀνθρώπου· οὐ γὰρ ἔσται ὁ λόγος ὅλος ἄνευ τοῦ μέρους· καίτοι οὐκ ἐνδέχεται μουσικὸν εἶναι μὴ ὄντος μουσικοῦ τινός. ἔτι πρότερα λέγεται τὰ τῶν προτέρων πάθη, οἷον εὐθύτης λειότητος· τὸ μὲν*
1019a *γὰρ γραμμῆς καθ' αὑτὴν πάθος, τὸ δ' ἐπιφανείας. τὰ μὲν δὴ οὕτω λέγεται πρότερα καὶ ὕστερα, τὰ δὲ κατὰ φύσιν καὶ οὐσίαν, ὅσα ἐνδέχεται εἶναι ἄνευ ἄλλων, ἐκεῖνα δὲ ἄνευ ἐκείνων μή· ᾗ διαιρέσει ἐχρήσατο Πλάτων. ἐπεὶ δὲ τὸ εἶναι*

11. τινὸς διωρισμένης Alex. | 13. τινὸς τέλος τόπου *T*. | 15. τὸ πορρώτερον $A^b$. | τῷ om *as*. | 16. πρότερον $EA^b$. | 17. τὸ ἐγγύτερον *T*, τῷ ἐγγύτερον *E*, τῷ ἐγγυτέρῳ *as*. | 19. τοῦ νῦν τῷ νῦν *as*. | χρησάμενοι $A^b$. | 20. τὸ] τὰ $A^b$. | 25. δὲ] *enim i*. | 26. τὸ $A^b$. | 27. κατὰ om *c*. | 28. καὶ ἡ παρανήτη *ETas*. | 30. τὸ] τῷ *T*. | 31. γρ ἢ ἁπλῶς πρότερον *E* mg. | 32. τὰ post καὶ om *ET*. | 34. καὶ τὰ κατὰ τὸν *as*. | 36. ὅλος add $EA^bH^bi$.

1019a 1. πάθος καθ' αὑτήν *T*. | πρότερα λέγεται *Eas*. | 3. καὶ οὐσίαν om *as*. | 4. ἐχρῆτο *ETas*. | ὁ Πλ. *as*.

Digitized by Google

πολλαχῶς, πρῶτον μὲν τὸ ὑποκείμενον πρότερον, διὸ ἡ οὐσία πρότερον, ἔπειτα ἄλλως τὰ κατὰ δύναμιν καὶ κατ' ἐντελέχειαν. τὰ μὲν γὰρ κατὰ δύναμιν πρότερά ἐςι, τὰ δὲ κατὰ ἐντελέχειαν, οἷον κατὰ δύναμιν μὲν ἡ ἡμίσεια τῆς ὅλης καὶ τὸ μόριον τοῦ ὅλου καὶ ἡ ὕλη τῆς οὐσίας, κατ' ἐντελέχειαν δ' ὕςερον· διαλυθέντος γὰρ κατ' ἐντελέχειαν 104 ἔςαι. τρόπον δή τινα πάντα τὰ πρότερον καὶ ὕςερον λεγόμενα κατὰ ταῦτα λέγεται· τὰ μὲν γὰρ κατὰ γένεσιν ἐνδέχεται ἄνευ τῶν ἑτέρων εἶναι, οἷον τὸ ὅλον τῶν μορίων, τὰ δὲ κατὰ φθοράν, οἷον τὸ μόριον τοῦ ὅλου. ὁμοίως δὲ καὶ τἆλλα.

12 Δύναμις λέγεται ἡ μὲν ἀρχὴ κινήσεως ἢ μεταβολῆς ἡ ἐν ἑτέρῳ ἢ ᾗ ἕτερον, οἷον ἡ οἰκοδομικὴ δύναμίς ἐςιν ἣ οὐχ ὑπάρχει ἐν τῷ οἰκοδομουμένῳ· ἀλλ' ἡ ἰατρικὴ δύναμις οὖσα ὑπάρχοι ἂν ἐν τῷ ἰατρευομένῳ, ἀλλ' οὐχ ᾗ ἰατρευόμενος. ἡ μὲν οὖν ὅλως ἀρχὴ μεταβολῆς ἢ κινήσεως λέγεται δύναμις ἐν ἑτέρῳ ἢ ᾗ ἕτερον, ἡ δ' ὑφ' ἑτέρου ἢ ᾗ ἕτερον· καθ' ἣν γὰρ τὸ πάσχον πάσχει τι, ὁτὲ μὲν ἐὰν ὁτιοῦν, δυνατὸν αὐτό φαμεν εἶναι παθεῖν, ὁτὲ δ' οὐ κατὰ πᾶν πάθος ἀλλ' ἂν ἐπὶ τὸ βέλτιον. ἔτι ἡ τοῦ καλῶς τοῦτ' ἐπιτελεῖν ἢ κατὰ προαίρεσιν· ἐνίοτε γὰρ τοὺς μόνον ἂν πορευθέντας ἢ εἰπόντας, μὴ καλῶς δὲ ἢ μὴ ὡς προείλοντο, οὔ φαμεν δύνασθαι λέγειν ἢ βαδίζειν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ πάσχειν. ἔτι ὅσαι ἕξεις καθ' ἃς ἀπαθῆ ὅλως ἢ ἀμετάβλητα ἢ μὴ ῥᾳδίως ἐπὶ τὸ χεῖρον εὐμετακίνητα, δυνάμεις λέγονται· κλᾶται μὲν γὰρ καὶ συντρίβεται καὶ κάμπτεται καὶ ὅλως φθείρεται οὐ τῷ δύνασθαι, ἀλλὰ τῷ μὴ δύνασθαι καὶ ἐλλείπειν τινός· ἀπαθῆ δὲ τῶν τοιούτων ἃ μόλις καὶ ἠρέμα πάσχει διὰ δύναμιν καὶ τὸ δύνασθαι καὶ τὸ ἔχειν πως. λεγομένης δὲ τῆς δυνάμεως τοσαυταχῶς, καὶ τὸ δυνατὸν ἕνα μὲν τρόπον λεχθήσεται τὸ ἔχον κινήσεως ἀρχὴν ἢ μεταβολῆς (καὶ γὰρ

7. τὰ μὲν — 10. ὕστερον om $A^b$. | 7. πρότερόν *as*. | 11. τρόπον] καὶ τρόπον $A^bH^b$. | τρόπον δέ τινα π. τ. πρότερα καὶ ὕστερα λ. Alex, fort. recte. | 16. ἡ] ἢ *ETc*, om *as*. | ἢ ᾗ Alex *ias*, ἢ ἡ *E*, ἢ *T*, ᾗ *cb*. | ἡ om $A^b$. | ἢ *E*. | 20. ἢ ᾗ *Ei*, ᾗ *ascb*. | ἢ ᾗ *ETias*, ᾗ *cb*. | 21. post μὲν add οὖν *ias* et fort. Alex p. 352, 23, graviore distinctione posita post πάσχει τι. | post ὁτιοῦν add οἷόν τ' ᾖ παθεῖν *as*. | δυνατὸν] ᾗ δυνατὸν *E*, ἢ δυνατὸν *T*, τὸ δυνατὸν $A^b$, δυνατὸν δυνατὸν *E* mg. | φαμεν εἶναι αὐτὸ *as*. | 22. ἐὰν $A^b$, ὂν *T*. | 23. ἡ] ἢ *E*. | τόδ' *as*. | 30. κἂν $A^b$. | 31. ἂν μόγις $A^b$. | πάσχῃ $A^b$.



Digitized by Google

*τὸ στατικὸν δυνατόν τι) ἐν ἑτέρῳ ἢ ᾗ ἕτερον, ἕνα δ' ἐὰν ἔχῃ* 105
1019b *τι αὑτῦ ἄλλο δύναμιν τοιαύτην, ἕνα δ' ἐὰν ἔχῃ μεταβάλ-
λειν ἐφ' ὁτιοῦν δύναμιν, εἴτ' ἐπὶ τὸ χεῖρον εἴτ' ἐπὶ τὸ βέλ-
τιον· καὶ γὰρ τὸ φθειρόμενον δοκεῖ δυνατὸν εἶναι φθείρε-
σθαι, ἢ οὐκ ἂν φθαρῆναι εἰ ἦν ἀδύνατον· νῦν δὲ ἔχει τινὰ
διάθεσιν καὶ αἰτίαν καὶ ἀρχὴν τοῦ τοιούτυ πάθυς. ὁτὲ μὲν
δὴ τῷ ἔχειν τι δοκεῖ, ὁτὲ δὲ τῷ ἐςερῆσθαι τοιοῦτον εἶναι. εἰ
δ' ἡ στέρησίς ἐστιν ἕξις πως, πάντα τῷ ἔχειν ἂν εἴη τι,
ὁμωνύμως δὲ λεγόμενον τὸ ὄν, ὥστε τῷ ἔχειν ἕξιν τινὰ
καὶ ἀρχήν ἐςι δυνατόν, καὶ τῷ ἔχειν τὴν τύτου ςέρησιν, εἰ
ἐνδέχεται ἔχειν ςέρησιν. ἕνα δὲ τῷ μὴ ἔχειν αὐτοῦ δύνα-
μιν ἢ ἀρχὴν ἄλλο ᾗ ᾗ ἄλλο φθαρτικήν. ἔτι δὲ ταῦτα
πάντα ἢ τῷ μόνον ἂν συμβῆναι γενέσθαι ἢ μὴ γενέσθαι,
ἢ τῷ καλῶς. καὶ γὰρ ἐν τοῖς ἀψύχοις ἔνεστιν ἡ τοιαύτη
δύναμις, οἷον ἐν τοῖς ὀργάνοις· τὴν μὲν γὰρ δύνασθαί φασι
φθέγγεσθαι λύραν, τὴν δ' ὐθέν, ἂν ᾖ μὴ εὔφωνος. ἀδυνα-
μία δ' ἐςὶ ςέρησις δυνάμεως καὶ τῆς τοιαύτης ἀρχῆς ἄρσις
τις οἵα εἴρηται, ἢ ὅλως ἢ τῷ πεφυκότι ἔχειν, ἢ καὶ ὅτε
πέφυκεν ἤδη ἔχειν· ὐ γὰρ ὁμοίως ἂν φαῖμεν ἀδύνατον εἶναι
γεννᾶν παῖδα καὶ ἄνδρα καὶ εὐνῦχον. ἔτι δὲ καθ' ἑκατέραν
δύναμίν ἐστιν ἀδυναμία ἀντικειμένη, τῇ τε μόνον κινητικῇ
καὶ τῇ καλῶς κινητικῇ. καὶ ἀδύνατα δὴ τὰ μὲν κατὰ τὴν
ἀδυναμίαν ταύτην λέγεται, τὰ δ' ἄλλον τρόπον, οἷον δυ-
νατόν τε καὶ ἀδύνατον. ἀδύνατον μὲν οὗ τὸ ἐναντίον ἐξ
ἀνάγκης ἀληθές, οἷον τὸ τὴν διάμετρον σύμμετρον εἶναι* 106

35. post ᾗ ἕτερον parenthesin claudunt *cb*. | *τι εἶναι ἐν* ***Tas***. | *ἢ ᾗ* ***E Tias*** Alex, *ᾗ cb*.

1019b 2. *δύναμιν τοιαύτην* ***as***. | 4. *εἰ μὴ ἦν δυνατόν* $A^b$, *εἰ εἴη ἀδύνατον* ***T***. | 5. *διαίρεσιν* ***Tas***. | 6. *δὴ] γὰρ* ***as***. | *τῷ — τῷ* Alex ***ias***, *τὸ — τὸ cb*. | *εἰ δ' ἡ] ἡ δὲ* ***T***. | 7. *ἕξις* om $A^b$. | *πάντα τὰ ἐστερημένα τῷ* Alex. | *τῷ] τὸ* ***a***. | *εἴη ἂν* ***as***. | *τι* om Alex. | post *τι* punctum ***b***. | 8. *ὁμωνύμως δὲ λεγόμενον τὸ ὄν* ***Ecb***, *ὁμωνύμως δὲ λέγομεν τὸ ὄν* ***Ti***, *ὁμ. δὲ καὶ λεγόμενον τ. ὄν* ***as***, *εἰ δὲ μὴ τῷ ἔχειν ἕξιν τινὰ καὶ ἀρχήν ἐστι δυνατὸν ὁμωνύμως* $A^b$ et fort. Alex. | *τῷ] τὸ* ***T***, *τῷ τε* $A^b$. | *ἕξιν — 9. ἔχειν* om $A^b$. | 9. *τὸ* ***Ta***. | *εἰ — 10. στέρησιν* om ***T***. | 11. *ἀρχὴν ἄλλο* scripsi ex Alex, *ἀρχὴν ἄλλῳ* $A^b$, *ἀρχὴν ἐν ἄλλῳ* ***iascb***. | *ἢ ᾗ* ***Eias***, *ἢ* ***T***, *ᾗ cb*. | *ἄλλου* ***T***. | 13. *καλοῖς* $A^b$. | *ἔν ἐστιν* ***ET***$A^b$***asc***. | 14. *φασι δύνασθαι* $A^b$***c***. | 15. *μὴ ᾗ* ***as***. | 16. *ἐστὶ* om ***T***. | *ἄρνησις* $H^b$ Ascl, *ablatio* ***i***, om cum *τις* $A^b$ et fort. Alex. | 18. *οὐ] οὐδὲ* ***as***. | *φαμεν* $A^b$, *φαίημεν* $H^b$: ceteri et ***c*** *φαῖεν*. | 19. *γρ καὶ ἄνδρα εὐνουχίαν* ***E*** mg, ita ***Tas***. | *ἑκατέραν τὴν δύναμιν* $A^b$. | 21. *δὲ* ***ETas***. | 23. *ἀδύνατον μὲν — 25. ἀδύνατον* om ***T***.

Digitized by Google

ἀδύνατον, ὅτι ψεῦδος τὸ τοιοῦτον, οὗ τὸ ἐναντίον οὐ μόνον ἀληθὲς ἀλλὰ καὶ ἀνάγκη ἀσύμμετρον εἶναι· τὸ ἄρα σύμμετρον οὐ μόνον ψεῦδος ἀλλὰ καὶ ἐξ ἀνάγκης ψεῦδος. τὸ δ' ἐναντίον τούτῳ, τὸ δυνατόν, ὅταν μὴ ἀναγκαῖον ᾖ τὸ ἐναντίον ψεῦδος εἶναι, οἷον τὸ καθῆσθαι ἄνθρωπον δυνατόν· οὐ γὰρ ἐξ ἀνάγκης τὸ μὴ καθῆσθαι ψεῦδος. τὸ μὲν οὖν δυνατὸν ἕνα μὲν τρόπον, ὥσπερ εἴρηται, τὸ μὴ ἐξ ἀνάγκης ψεῦδος σημαίνει, ἕνα δὲ τὸ ἀληθὲς εἶναι, ἕνα δὲ τὸ ἐνδεχόμενον ἀληθὲς εἶναι. κατὰ μεταφορὰν δὲ ἡ ἐν τῇ γεωμετρίᾳ λέγεται δύναμις. ταῦτα μὲν οὖν τὰ δυνατὰ οὐ κατὰ δύναμιν. τὰ δὲ λεγόμενα κατὰ δύναμιν πάντα λέγεται πρὸς
τὴν πρώτην [μίαν]· αὕτη δ' ἐστὶν ἀρχὴ μεταβολῆς· ἐν ἄλλῳ 1020a
ἢ ᾗ ἄλλο. τὰ γὰρ ἄλλα λέγεται δυνατὰ τῷ τὰ μὲν ἔχειν αὐτῶν ἄλλο τι τοιαύτην δύναμιν, τὰ δὲ μὴ ἔχειν, τὰ δὲ ὡδὶ ἔχειν. ὁμοίως δὲ καὶ τὰ ἀδύνατα. ὥστε ὁ κύριος ὅρος τῆς πρώτης δυνάμεως ἂν εἴη ἀρχὴ μεταβλητικὴ ἐν ἄλλῳ ἢ ᾗ ἄλλο.

13 Ποσὸν λέγεται τὸ διαιρετὸν εἰς ἐνυπάρχοντα, ὧν ἑκάτερον ἢ ἕκαστον ἕν τι καὶ τόδε τι πέφυκεν εἶναι. πλῆθος μὲν οὖν ποσόν τι ἂν ἀριθμητὸν ᾖ, μέγεθος δὲ ἂν μετρητὸν ᾖ. λέγεται δὲ πλῆθος μὲν τὸ διαιρετὸν δυνάμει εἰς μὴ συνεχῆ, μέγεθος δὲ τὸ εἰς συνεχῆ. μεγέθους δὲ τὸ μὲν ἐφ' ἓν συνεχὲς μῆκος, τὸ δ' ἐπὶ δύο πλάτος, τὸ δ' ἐπὶ τρία βάθος. τούτων δὲ πλῆθος μὲν τὸ πεπερασμένον ἀριθμός, μῆκος δὲ γραμμή, πλάτος δὲ ἐπιφάνεια, βάθος δὲ σῶμα. ἔτι τὰ
107 μὲν λέγεται καθ' αὑτὰ ποσὰ ἄττα, τὰ δὲ κατὰ συμβεβηκός, οἷον ἡ μὲν γραμμὴ ποσόν τι καθ' ἑαυτό, τὸ δὲ μουσικὸν κατὰ συμβεβηκός. τῶν δὲ καθ' αὑτὰ τὰ μὲν κατ' οὐσίαν ἐστίν, οἷον ἡ γραμμή, ποσόν τι (ἐν γὰρ τῷ λόγῳ τῷ τί ἐστι λέγοντι τὸ ποσὸν ἐνυπάρχει), τὰ δὲ πάθη καὶ ἕξεις

25. οὗ] καὶ οὗ *ETias*. | 26. post ἀνάγκη add οἷον *s*. | 28. τὸ ante δυνατόν fort. omittendum c. Alex p. 357, 29. | ᾖ om $A^b$. | 31. περ om *T*. | 33. εἶναι] ἤδη $A^bH^b$. | τῇ om $A^b$ Alex Ascl. | 34. τὰ om $A^b$.

1020*a* 1. μίαν uncinis inclusit *b*, om Alex *c*, aut πρώτην aut μίαν exhiberi monet Ascl. | 2. et 6. ἢ ᾗ *E*, ᾗ *iascb*. | 2. τὰ μὲν τῷ *Ts* et fort. Alex. | 3. μὴ] τῷ μὴ *ETas* et fort. Alex Ascl. | 4. ὅρος om *a*. | 8. τε *E*. | τι om $H^b$. | 13. τὸ om $H^b$. | πεπερ.] *infinita i*. | 16. αὑτὸ $A^b$. | 17. αὑτὸ $A^b$. | 18. post γραμμή comma *as*, om *cb*. | 19. τὸ om *as*. | ποσὸν ἐνυπάρχει Alex, ποσὸν ὑπάρχει $H^b$, ποσόν τι ὑπάρχει *ascb*.



Digitized by Google

*τῆς τοιαύτης ἐστὶν οὐσίας, οἷον τὸ πολὺ καὶ τὸ ὀλίγον, καὶ μακρὸν καὶ βραχύ, καὶ πλατὺ καὶ στενόν, καὶ βαθὺ καὶ ταπεινόν, καὶ βαρὺ καὶ κοῦφον, καὶ τἆλλα τὰ τοιαῦτα. ἔστι δὲ καὶ τὸ μέγα καὶ τὸ μικρόν, καὶ τὸ μεῖζον καὶ ἔλαττον, καὶ καθ' αὑτὰ καὶ πρὸς ἄλληλα λεγόμενα, τοῦ ποσοῦ πάθη καθ' αὑτά· μεταφέρεται μέντοι καὶ ἐπ' ἄλλα ταῦτα τὰ ὀνόματα. τῶν δὲ κατὰ συμβεβηκὸς λεγομένων ποσῶν τὸ μὲν οὕτως λέγεται ὥσπερ ἐλέχθη ὅτι τὸ μουσικὸν ποσὸν καὶ τὸ λευκὸν τῷ εἶναι ποσόν τι ᾧ ὑπάρχουσι, τὰ δὲ ὡς κίνησις καὶ χρόνος· καὶ γὰρ ταῦτα πόσ' ἄττα λέγεται καὶ συνεχῆ τῷ ἐκεῖνα διαιρετὰ εἶναι ὧν ἐστὶ ταῦτα πάθη. λέγω δὲ οὐ τὸ κινούμενον ἀλλ' ὃ ἐκινήθη· τῷ γὰρ ποσὸν εἶναι ἐκεῖνο καὶ ἡ κίνησις ποσή, ὁ δὲ χρόνος τῷ ταύτην.*

14 *Τὸ ποιὸν λέγεται ἕνα μὲν τρόπον ἡ διαφορὰ τῆς οὐσίας, οἷον ποιόν τι ἄνθρωπος ζῷον ὅτι δίπουν, ἵππος δὲ τετράπουν· καὶ κύκλος ποιόν τι σχῆμα ὅτι ἀγώνιον, ὡς τῆς διαφορᾶς* 1020b *τῆς κατὰ τὴν οὐσίαν ποιότητος οὔσης. ἕνα μὲν δὴ τρόπον τοῦτον λέγεται ἡ ποιότης διαφορὰ οὐσίας, ἕνα δὲ ὡς τὰ ἀκίνητα καὶ τὰ μαθηματικά, ὥσπερ οἱ ἀριθμοὶ ποιοί τινες, οἷον οἱ σύνθετοι καὶ μὴ μόνον ἐφ' ἓν ὄντες ἀλλ' ὧν μίμημα τὸ ἐπίπεδον καὶ τὸ στερεόν (οὗτοι δ' εἰσὶν οἱ ποσάκις ποσοὶ ἢ ποσάκις ποσάκις ποσοί), καὶ ὅλως ὃ παρὰ τὸ ποσὸν ὑπάρ-* 108 *χει ἐν τῇ οὐσίᾳ· οὐσία γὰρ ἑκάστου ὃ ἅπαξ, οἷον τῶν ἓξ οὐχ ὃ δὶς ἢ τρὶς εἰσιν ἀλλ' ὃ ἅπαξ· ἓξ γὰρ ἅπαξ ἕξ. ἔτι ὅσα πάθη τῶν κινουμένων οὐσιῶν, οἷον θερμότης καὶ ψυχρότης, καὶ λευκότης καὶ μελανία, καὶ βαρύτης καὶ κουφότης, καὶ ὅσα τοιαῦτα, καθ' ἃ λέγονται καὶ ἀλλοιοῦσθαι τὰ σώματα μεταβαλλόντων. ἔτι κατ' ἀρετὴν καὶ κακίαν καὶ ὅλως τὸ κακὸν καὶ ἀγαθόν. σχεδὸν δὴ κατὰ δύο τρόπους λέγοιτ' ἂν*

20. τὸ post καὶ om $A^b$. | καὶ τὸ μακρὸν $A^b$. | 21. καὶ πλατὺ — 22. βαρὺ om *E*. | 21. καὶ βαθὺ καὶ ταπεινόν om $A^bH^b$. | 22. τὰ om $A^b$c. | 23. τὸ ante μικρὸν om *T*. | τὸ ante μεῖζον om $EA^b$. | καὶ τὸ ἔλαττον $H^b$ Alex. | 25. μεταφέρονται $A^b$. | μέντοιγε $H^b$. | ταῦτα τὰ ὀν. καὶ ἐπ' ἄλλα **as**. | 27. λέγονται *T*. | 28. τι ἐνυπάρχουσι *T*. | 29. λέγονται *T*. | 30. ταῦτα] τὰ $A^b$. | πάθη om *T*. | 31. δὴ $H^b$. | 33. τὸ ante ποιὸν fort. omittendum. | αἱ διαφοραὶ $A^b$. | 34. τι] ποι *T*. | 35. ποιοῦν *T*.

1020b 1. οὔσης om *T*. | 5. ἢ ποσάκις ποσάκις ποσοὶ] οἱ ποσοὶ ποσάκις **as**. | 7. ὃ ἅπαξ de coniectura scripsi, fort. cum ***i*** et Alex, τὸ ἅπαξ **ascb** Ascl. | 8. ἀλλ] ἀλλ' ὁ δὶς ἢ τρὶς *T*. | ὃ — ὃ] ὁ — ὁ **as**. | ἓξ om $A^bH^b$. | 11. ἃ] ὅσα $A^b$. | καὶ om $A^b$. | 13. δὲ *T*.

Digitized by Google

*τὸ ποιόν, καὶ τούτων ἕνα τὸν κυριώτατον· πρώτη μὲν γὰρ ποιότης ἡ τῆς ουσίας διαφορά. ταύτης δέ τι καὶ ἡ ἐν τοῖς ἀριθμοῖς ποιότης μέρος· διαφορὰ γάρ τις ουσιῶν, ἀλλ' ἢ οὐ κινουμένων ἢ οὐχ ᾗ κινούμενα. τὰ δὲ πάθη τῶν κινουμένων ᾗ κινούμενα, καὶ αἱ τῶν κινήσεων διαφοραί. ἀρετὴ δὲ καὶ κακία τῶν παθημάτων μέρος τι· διαφορὰς γὰρ δηλοῦσι τῆς κινήσεως καὶ τῆς ἐνεργείας, καθ' ἃς ποιοῦσιν ἢ πάσχουσι καλῶς ἢ φαύλως τὰ ἐν κινήσει ὄντα· τὸ μὲν γὰρ ὡδὶ δυνάμενον κινεῖσθαι ἢ ἐνεργεῖν ἀγαθόν, τὸ δ' ὡδὶ καὶ ἐναντίως μοχθηρόν. μάλιστα δὲ τὸ ἀγαθὸν καὶ κακὸν σημαίνει τὸ ποιὸν ἐπὶ τῶν ἐμψύχων, καὶ τούτων μάλιςα ἐπὶ τοῖς ἔχουσι προαίρεσιν.*

15 *Πρός τι λέγεται τὰ μὲν ὡς διπλάσιον πρὸς ἥμισυ καὶ τριπλάσιον πρὸς τριτημόριον, καὶ ὅλως πολλαπλάσιον πρὸς πολλοςημόριον καὶ ὑπερέχον πρὸς ὑπερεχόμενον· τὰ δ' ὡς τὸ θερμαντικὸν πρὸς τὸ θερμαντὸν καὶ τὸ τμητικὸν πρὸς τὸ τμητόν, καὶ ὅλως τὸ ποιητικὸν πρὸς τὸ παθητικόν· τὰ δ' ὡς τὸ μετρητὸν πρὸς τὸ μέτρον καὶ ἐπιςητὸν πρὸς ἐπιςήμην καὶ αἰσθητὸν πρὸς αἴσθησιν. λέγεται δὲ τὰ μὲν πρῶτα κατ' ἀριθμόν, ἢ ἁπλῶς ἢ ὡρισμένως πρὸς αὐτοὺς ἢ πρὸς ἕν, οἷον*
109 *τὸ μὲν διπλάσιον πρὸς ἓν ἀριθμὸς ὡρισμένος, τὸ δὲ πολλαπλάσιον κατ' ἀριθμὸν πρὸς ἕν, οὐχ ὡρισμένον δέ, οἷον τόνδε*
*ἢ τόνδε· τὸ δὲ ἡμιόλιον πρὸς τὸ ὑφημιόλιον κατ' ἀριθμὸν* 1021*a*
*πρὸς ἀριθμὸν ὡρισμένον, τὸ ἐπιμόριον πρὸς τὸ ὑπεπιμόριον κατὰ ἀόριςον, ὥσπερ τὸ πολλαπλάσιον πρὸς τὸ ἕν. τὸ δ' ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον ὅλως ἀόριςον κατ' ἀριθμόν· ὁ γὰρ ἀριθμὸς σύμμετρος, κατὰ μὴ σύμμετρον δὲ ἀριθμὸν λέγεται· τὸ γὰρ ὑπερέχον πρὸς τὸ ὑπερεχόμενον τοσοῦτόν τέ ἐςι καὶ ἔτι· τοῦτο δ' ἀόριςον· ὁπότερον γὰρ ἔτυχεν ἔςιν,*

15. *τις* ***TA***[b]. | 17. *κινουμένων* ***Tas***. | 18. *αἱ* om ***A***[b]. | 21. *ἐν τῇ κινήσει* ***Tas***. | *τὰ — δυνάμενα* ***T***. | 23. *καὶ τὸ κακὸν* ***ETas***. | 26. *πρὸς τὸ ἥμισυ* ***A***[b]***as***. | 27. *πρὸς τὸ τριτημόριον* ***as***. | *ὅλως τὸ πολλαπλάσιον* ***H***[b]. | *πρὸς τὸ πολλοστημόριον* ***EH***[b]***as***. | 28. *πρὸς τὸ ὑπερεχόμενον* ***H***[b]. | 29. *τὸ*] *πρὸς τὸ* ***A***[b], om ***ETas***. | *τὸ* secundum, tertium, quartum om ***Tas***. | 31. *καὶ τὸ ἐπιστητὸν* ***TH***[b]***as***. | 33. *ὡρισμένον* ***EA***[b]. | *αὐτὰν ἢ πρὸς ἔνια* ***H***[b]. | 34. *πρὸς — πολλαπλάσιον* om ***T***. | *ὡρισμένος*] *ὡρισμένος πρὰς ἓν* ***A***[b].

1021*a* 1. post *τόνδε* punctum et 2. post *ὡρισμένον* colon ***cb***. | 2. *ὡρισμένους* ***T***. | 3. *ἀορίστου* ***A***[b], *ἀορίστους* ***E***. | 5. *σύμμετρον* ***A***[b]. | *μὴ* om ***T***. | *ἀριθμὸς οὐ* ***A***[b]. | 6. *λέγονται* ***EA***[b]. | *γὰρ*] *δὲ* ***A***[b]. | 7. *τέ* om Alex. | *καὶ* om ***A***[b]. | *ἔτι*] *ἔτι τοῦτο* ***T***. | post *δ'* add *ἐστὶν* Alex.

Digitized by Google

ἢ ἴσον ἢ οὐκ ἴσον. ταῦτά τε οὖν τὰ πρός τι πάντα κατ' ἀριθμὸν λέγεται καὶ ἀριθμοῦ πάθη, καὶ ἔτι τὸ ἴσον καὶ ὅμοιον καὶ ταὐτὸ κατ' ἄλλον τρόπον· κατὰ γὰρ τὸ ἓν λέγεται πάντα. ταὐτὰ μὲν γὰρ ὧν μία ἡ οὐσία, ὅμοια δ' ὧν ἡ ποιότης μία, ἴσα δὲ ὧν τὸ ποσὸν ἕν. τὸ δ' ἓν τοῦ ἀριθμοῦ ἀρχὴ καὶ μέτρον, ὥστε ταῦτα πάντα πρός τι λέγεται κατ' ἀριθμὸν μέν, οὐ τὸν αὐτὸν δὲ τρόπον. τὰ δὲ ποιητικὰ καὶ παθητικὰ κατὰ δύναμιν ποιητικὴν καὶ παθητικὴν καὶ ἐνεργείας τὰς τῶν δυνάμεων, οἷον τὸ θερμαντικὸν πρὸς τὸ θερμαντόν, ὅτι δύναται, καὶ πάλιν τὸ θερμαῖνον πρὸς τὸ θερμαινόμενον καὶ τὸ τέμνον πρὸς τὸ τεμνόμενον, ὡς ἐνεργοῦντα. τῶν δὲ κατ' ἀριθμὸν οὐκ εἰσὶν ἐνέργειαι ἀλλ' ἢ ὃν τρόπον ἐν ἑτέροις εἴρηται· αἱ δὲ κατὰ κίνησιν ἐνέργειαι οὐχ ὑπάρχουσιν. τῶν δὲ κατὰ δύναμιν καὶ κατὰ χρόνους ἤδη λέγονται.πρός τι, οἷον τὸ πεποιηκὸς πρὸς τὸ πεποιημένον καὶ τὸ ποιῆσον πρὸς τὸ ποιησόμενον. οὕτω γὰρ καὶ πατὴρ
υἱοῦ λέγεται πατήρ· τὸ μὲν γὰρ πεποιηκός, τὸ δὲ πεπονθός 110
τί ἐστιν. ἔτι ἔνια κατὰ στέρησιν δυνάμεως, ὥσπερ τὸ ἀδύνατον καὶ ὅσα οὕτω λέγεται, οἷον τὸ ἀόρατον. τὰ μὲν οὖν κατ' ἀριθμὸν καὶ δύναμιν λεγόμενα πρός τι πάντα ἐστὶ πρός τι τῷ ὅπερ ἐστὶν ἄλλου λέγεσθαι αὐτὸ ὅ ἐστιν, ἀλλὰ μὴ τῷ ἄλλο πρὸς ἐκεῖνο· τὸ δὲ μετρητὸν καὶ τὸ ἐπιστητὸν καὶ τὸ διανοητὸν τῷ ἄλλο πρὸς αὐτὸ λέγεσθαι πρός τι λέγονται. τό τε γὰρ διανοητὸν σημαίνει ὅτι ἐστὶν αὐτοῦ διάνοια, οὐκ ἔστι δ' ἡ διάνοια πρὸς τοῦτο οὗ ἐστὶ διάνοια· δὶς γὰρ ταὐτὸν εἰρημένον ἂν εἴη. ὁμοίως δὲ καὶ τινός ἐστιν ἡ ὄψις ὄψις, οὐχ
1021b οὗ ἐστὶν ὄψις· καίτοι γ' ἀληθὲς τοῦτο εἰπεῖν· ἀλλὰ πρὸς χρῶμα ἢ πρὸς ἄλλο τι τοιοῦτον. ἐκείνως δὲ δὶς ταὐτὸν

8. ἢ ante ἴσον om ***A**^b^*. | τε om ***TH**^b^*. | ἅπαντα ***ETas***. | 10. κατ' om ***A**^b^*. | 11. πάντα ταυτά. τὸ μὲν γὰρ ταυτὸ ὧν ***A**^b^*. | ἡ om ***A**^b^* et Alex. | ὅμοια — 12. μία post ἓν ***A**^b^*. | 13. ταῦτα] ταῦτα μὲν τὰ πρός τι ***A**^b^*, ταῦτα μὲν ***b***: ceteri ταῦτα. | 15. ποιητικήν τε καὶ ***Tas***. | 17. καὶ — 18. θερμαινόμενον om ***H**^b^*. | 20. δύναμιν ***E***. | 22. πρός] τὰ πρός ***Tas***, τινα πρός fort. Alex. | 23. ποιηθησόμενον Alex. | καὶ ὁ πατὴρ ***T***. | 25. ἔτι δ' ἔνια ***H**^b^*. | 27. πρός τι ante τῷ om ***T***. | 28. ἅπερ ***H**^b^* Ascl. | ὅ] ὅπερ ***H**^b^*, om ***as***. | τὸ ***T***. | 29. ἄλλου πρὸς ***as***. | τὸ ante διαν. om ***ET***. | 30. ἄλλα ***H**^b^*. | ἄλλου πρὸς αὐτὰ ***as***. | πρὸς om ***A**^b^*. | τι ἃ λέγονται ***A**^b^*. | λέγεται ***as***. | 31. ὅτι] ὅ ***T***. | 32. τοῦτο] τὸ ***E***. | 33. alterum ὄψις om ***as***.

1021 *b* 1. ἐστὶν ἡ ὄψις ***H**^b^* Alex. | γ' add ***E***. | πρὸς τὸ χρῶμα ***F**^b^*.

Digitized by Google

λεχθήσεται, ὅτι ἔςιν ὄψις ȣ̔ ἐςὶν ἡ ὄψις. τὰ μὲν ȣ̓ν καθ' ἑαυτὰ λεγόμενα πρός τι τὰ μὲν ȣ̔́τω λέγεται, τὰ δὲ ἂν τὰ γένη αὐτῶν ᾖ τοιαῦτα, οἷον ἡ ἰατρικὴ τῶν πρός τι ὅτι τὸ γένος αὐτῆς ἡ ἐπιστήμη δοκεῖ εἶναι τῶν πρός τι. ἔτι καθ' ὅσα τὰ ἔχοντα λέγεται πρός τι, οἷον ἰσότης ὅτι τὸ ἴσον, καὶ ὁμοιότης ὅτι τὸ ὅμοιον. τὰ δὲ κατὰ συμβεβηκός, οἷον ἄνθρωπος πρός τι ὅτι συμβέβηκεν αὐτῷ διπλασίῳ εἶναι, τȣ̃το δ' ἐςὶ τῶν πρός τι· ἢ τὸ λευκόν, εἰ τῷ αὐτῷ συμβέβηκε διπλασίῳ καὶ λευκῷ εἶναι.

16 Τέλειον λέγεται ἓν μὲν ȣ̔ μὴ ἔςιν ἔξω τι λαβεῖν μηδὲ ἓν μόριον, οἷον χρόνος τέλειος ἑκάςȣ ȣ̔̃τος ȣ̔ μὴ ἔςιν ἔξω λαβεῖν χρόνον τινὰ ὃς τούτου μέρος ἐςὶ τοῦ χρόνȣ. καὶ τὸ κατ' ἀρετὴν καὶ τὸ εὖ μὴ ἔχον ὑπερβολὴν πρὸς τὸ γένος, οἷον τέλειος ἰατρὸς καὶ τέλειος αὐλητής, ὅταν κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηθὲν ἐλλείπωσιν. ȣ̔́τω δὲ μεταφέροντες καὶ ἐπὶ τῶν κακῶν λέγομεν συκοφάντην τέλειον καὶ κλέπτην τέλειον, ἐπειδὴ καὶ ἀγαθοὺς λέγομεν αὐτȣ́ς, οἷον κλέπτην ἀγαθὸν καὶ συκοφάντην ἀγαθόν, καὶ ἡ ἀρετὴ τελείωσίς τις· ἕκαςον γὰρ τότε τέλειον καὶ οὐσία πᾶσα τότε τε-
111 λεία, ὅταν κατὰ τὸ εἶδος τῆς οἰκείας ἀρετῆς μηθὲν ἐλλείπῃ μόριον τȣ̃ κατὰ φύσιν μεγέθους. ἔτι οἷς ὑπάρχει τὸ τέλος σπουδαῖον, ταῦτα λέγεται τέλεια· κατὰ γὰρ τὸ ἔχειν τὸ τέλος τέλεια. ὥς' ἐπεὶ τὸ τέλος τῶν ἐσχάτων τί ἐστι, καὶ ἐπὶ τὰ φαῦλα μεταφέροντες λέγομεν τελείως ἀπολωλέναι καὶ τελείως ἐφθάρθαι, ὅταν μηδὲν ἐλλείπῃ τῆς φθορᾶς καὶ τοῦ κακȣ̃ ἀλλ' ἐπὶ τȣ̃ ἐσχάτȣ ᾖ. διὸ καὶ ἡ τελευτὴ κατὰ μεταφορὰν λέγεται τέλος, ὅτι ἄμφω ἔσχατα. τέλος δὲ καὶ τὸ ȣ̔ ἕνεκα ἔσχατον. τὰ μὲν οὖν καθ' αὑτὰ λεγόμενα τέλεια τοσαυταχῶς λέγεται, τὰ μὲν τῷ κατὰ τὸ εὖ μηθὲν

3. ὅτι om $A^b$. | ἡ ὄψις $H^b$, om $A^b$. | ἡ om $H^b$ Alex. | fort. ἔστιν ἡ ὄψις οὗ ἐστὶν ὄψις, coll. *a*32, *b*1. | 5. ἡ om $A^b$. | 7. οἷον ἡ ἰσότης $A^b$. | 8. οἷον ὁ ἄνθρωπος $A^bH^bc$. | 10. εἰ] ἢ $A^b$. | 12. τὸ τέλειον $A^b$. | μηδὲν *T* et fort. *i* Alex, μηθὲν *E*, dubito an recte. | 13. ante χρόνος add ὁ *E Tcb*, ceteri et Alex om. | ἔξω] ἔξω τι *as*. | 14. χρόνον ὥς τούτου *T*. | τὸ] τὰ $A^b$. | 15. τὸ εὖ $A^b$ et Alex: ceteri et *cb* τὸ τοῦ εὖ, cf. *b*31. | μὴ ἔχοντι δ' $A^b$, om *T*. | πρός τι γένος *as*. | 17. ἐλλίπωσιν $A^b$. | 18. λέγομεν αὐτοὺς συκ. *as*. | 20. post ἀγαθόν punctum *cb*. | καὶ ἡ — 21. τις om $A^b$. | 21. τέλειόν τι καὶ $A^b$. | ἡ οὐσία *as*. | τότε om $A^b$. | 24. κατὰ — 25. τέλεια om *T*. | 24. τὸ post ἔχειν om *Eas*. | 26. ἐπειδὴ *T*. | 27. ἐλλίπῃ $A^bc$. | 28. τῶ ἐσχάτω $A^b$ Alex, τῶν ἐσχάτων *T*. | ᾖ] δ' ᾖ *E*. | 31. τῷ om *T*.

Digitized by Google

ἐλλείπειν μηδ' ἔχειν ὑπερβολὴν μηδὲ ἔξω τι λαβεῖν, τὰ δ' ὅλως κατὰ τὸ μὴ ἔχειν ὑπερβολὴν ἐν ἑκάστῳ γένει μηδ'
1022a εἶναί τι ἔξω, τὰ δὲ ἄλλα ἤδη κατὰ ταῦτα τῷ ἢ ποιεῖν τι τοιοῦτον ἢ ἔχειν ἢ ἁρμόττειν τούτῳ ἢ ἀμῶς γέ πως λέγεσθαι πρὸς τὰ πρώτως λεγόμενα τέλεια.

17 Πέρας λέγεται τὸ ἔσχατον ἑκάστου καὶ οὗ ἔξω μηθὲν ἔστι λαβεῖν πρώτου, καὶ οὗ ἔσω πάντα πρώτου, καὶ ὃ ἂν ᾖ εἶδος μεγέθους ἢ ἔχοντος μέγεθος, καὶ τὸ τέλος ἑκάστου (τοιοῦτον δ' ἐφ' ὃ ἡ κίνησις καὶ ἡ πρᾶξις, καὶ οὐκ ἀφ' οὗ, ὁτὲ δὲ ἄμφω καὶ ἀφ' οὗ καὶ ἐφ' ὃ καὶ τὸ οὗ ἕνεκα), καὶ ἡ οὐσία ἑκάστου, καὶ τὸ τί ἦν εἶναι ἑκάστῳ· τῆς γνώσεως γὰρ τοῦτο πέρας· εἰ δὲ τῆς γνώσεως, καὶ τοῦ πράγματος. ὥστε φανε- 112
ρὸν ὅτι ὁσαχῶς τε ἡ ἀρχὴ λέγεται, τοσαυταχῶς καὶ τὸ πέρας, καὶ ἔτι πλεοναχῶς· ἡ μὲν γὰρ ἀρχὴ πέρας τι, τὸ δὲ πέρας οὐ πᾶν ἀρχή.

18 Τὸ καθ' ὃ λέγεται πολλαχῶς, ἕνα μὲν τρόπον τὸ εἶδος καὶ ἡ οὐσία ἑκάστου πράγματος, οἷον καθὸ ἀγαθός, αὐτὸ ἀγαθόν, ἕνα δὲ ἐν ᾧ πρώτῳ πέφυκε γίγνεσθαι, οἷον τὸ χρῶμα ἐν τῇ ἐπιφανείᾳ. τὸ μὲν οὖν πρώτως λεγόμενον καθὸ τὸ εἶδός ἐστι, δευτέρως δὲ ὡς ἡ ὕλη ἑκάστου καὶ τὸ ὑποκείμενον ἑκάστῳ πρῶτον. ὅλως δὲ τὸ καθὸ ἰσαχῶς καὶ τὸ αἴτιον ὑπάρξει· κατὰ τί γὰρ ἐλήλυθεν ἢ οὗ ἕνεκα ἐλήλυθε λέγεται, καὶ κατὰ τί παραλελόγισται ἢ συλλελόγισται, ἢ τί τὸ αἴτιον τοῦ συλλογισμοῦ ἢ παραλογισμοῦ. ἔτι τὸ καθὸ τὸ κατὰ θέσιν λέγεται, καθὸ ἕστηκεν ἢ καθὸ βαδίζει· πάντα γὰρ ταῦτα θέσιν σημαίνει καὶ τόπον. ὥστε καὶ τὸ καθ' αὑτὸ πολλαχῶς ἀνάγκη λέγεσθαι. ἓν μὲν γὰρ καθ' αὑτὸ τὸ τί ἦν εἶναι ἑκάστῳ, οἷον ὁ Καλλίας καθ' αὑτὸν

32. μηδὲ ἔξω — 33. ὑπερβολὴν om *ias*. | 33. ἐν] ἐνὶ *T*.
1022*a* 1. ἔξω — ἤδη] ἐξ ὧν τὰ ἄλλα εἴδη *T*. | κατὰ ταῦτα] καθ' αὑτὰ *ET*, οὐ καθ' αὑτὰ *as*. | 2. τοιούτῳ *ETi*. | ἀμῶς γέ πως *b*, ἄλλως γέ πως codices et *iasc*, ὁπωσοῦν Alex. | 4. τότε $A^b$. | καὶ om *i*. | 5. καὶ — πρώτου om *ET*. | εἴσω *as*. | 6. post ἑκάστου et 7. ante ὁτὲ punctum et 8. post ἐφ' ὃ et post ἕνεκα comma *cb*. | 7. τοῦτο fort. Alex. | ὁτὲ] ὅτι *T*. | 8. ἀφ'] ὑφ' *T*. | post ἡ οὐσία add ἡ $EA^bcb$. | 11. τε om Alex. | 18. δεύτερον $A^bH^b$. | ἡ ὕλη ὡς $A^b$. | 19. δὲ καὶ τὸ *T*. | 20. ὑπάρχει Alex, fort. recte. | ἢ om $A^b$. | 22. τί] ὅτι *ETas*. | post ἔτι add δὲ $EA^bcb$. | 24. τόπον σημαίνει καὶ θέσιν $A^bH^bc$. | 26. καθ' αὑτὸν καλλίας add $A^b$, καθ' αὑτὸ Καλλίας add Alex, sed idem om τὸ τ. η. ε. Καλλίᾳ.

Digitized by Google

*Καλλίας καὶ τὸ τί ἦν εἶναι Καλλίᾳ· ἐν δὲ ὅσα ἐν τῷ τί ἐστιν ὑπάρχει, οἷον ζῷον ὁ Καλλίας καθ' αὑτόν. ἐν γὰρ τῷ λόγῳ ἐνυπάρχει τὸ ζῷον· ζῷον γάρ τι ὁ Καλλίας. ἔτι δὲ εἰ ἐν αὐτῷ δέδεκται πρώτῳ ἢ τῶν αὐτȣ̃ τινί, οἷον ἡ ἐπιφάνεια λευκὴ καθ' αὑτήν, καὶ ζῇ ὁ ἄνθρωπος καθ' αὑτόν· ἡ γὰρ ψυχὴ μέρος τι τȣ̃ ἀνθρώπȣ, ἐν ᾗ πρώτῃ τὸ ζῆν. ἔτι ȣ̃ μή ἐςιν ἄλλο αἴτιον. τȣ̃ γὰρ ἀνθρώπȣ πολλὰ αἴτια, τὸ ζῷον, τὸ δίπȣν· ἀλλ' ὅμως καθ' αὑτὸν ἄνθρωπος ὁ ἄνθρω-*
113 *πός ἐςιν. ἔτι ὅσα μόνῳ ὑπάρχει καὶ ᾗ μόνον· διὸ τὸ κεχωρισμένον καθ' αὑτό.*

19 *Διάθεσις λέγεται τοῦ ἔχοντος μέρη τάξις, ἢ κατὰ* 1022*b*
*τόπον ἢ κατὰ δύναμιν ἢ κατ' εἶδος· θέσιν γὰρ δεῖ τινὰ εἶναι, ὥσπερ καὶ τȣ̃νομα δηλοῖ ἡ διάθεσις.*

20 *Ἕξις δὲ λέγεται ἕνα μὲν τρόπον οἷον ἐνέργειά τις τοῦ ἔχοντος καὶ ἐχομένȣ, ὥσπερ πρᾶξίς τις ἢ κίνησις· ὅταν γὰρ τὸ μὲν ποιῇ τὸ δὲ ποιῆται, ἔστι ποίησις μεταξύ· οὕτω καὶ τοῦ ἔχοντος ἐσθῆτα καὶ τῆς ἐχομένης ἐσθῆτος ἔστι μεταξὺ ἕξις. ταύτην μὲν ȣ̃ν φανερὸν ὅτι οὐκ ἐνδέχεται ἔχειν ἕξιν· εἰς ἄπειρον γὰρ βαδιεῖται, εἰ τοῦ ἐχομένου ἔςαι ἔχειν τὴν ἕξιν. ἄλλον δὲ τρόπον ἕξις λέγεται διάθεσις καθ' ἣν εὖ ἢ κακῶς διάκειται τὸ διακείμενον, καὶ ἢ καθ' αὑτὸ ἢ πρὸς ἄλλο, οἷον ἡ ὑγίεια ἕξις τις· διάθεσις γάρ ἐστι τοιαύτη. ἔτι ἕξις λέγεται ἂν ᾖ μόριον διαθέσεως τοιαύτης· διὸ καὶ ἡ τῶν μερῶν ἀρετὴ ἕξις τίς ἐςιν.*

21 *Πάθος λέγεται ἕνα μὲν τρόπον ποιότης καθ' ἣν ἀλλοιοῦσθαι ἐνδέχεται, οἷον τὸ λευκὸν καὶ τὸ μέλαν, καὶ γλυκὺ καὶ πικρόν, καὶ βαρύτης καὶ κουφότης, καὶ ὅσα ἄλλα τοιαῦτα· ἕνα δὲ αἱ τούτων ἐνέργειαι καὶ ἀλλοιώσεις ἤδη. ἔτι τȣ́των μᾶλλον αἱ βλαβεραὶ ἀλλοιώσεις καὶ κινή-*

27. post *Καλλίας* comma ***cb***. | *καλλίαν·* ***Tas***. | 28. *καθ' αὑτό* ***as***. | *ἐν*] *ἓν* ***as***. | 29. *ἔτι*] *ἐν* ***A***[b]. | 30. *ἐν τῷ αὐτῷ* ***as***. | *πρῶτον* ***as***. | 31. *ζῶον* ***E Tas***. | 33. *ἔστι τι ἄλλο* ***E***, *ἔστιν ἕν τι ἄλλο* ***T***, *ἔστιν ἄλλο ἕν τι* ***as***. | 34. *ὁ ἄνθρωπος ἄνθρωπος* ***as***. | 35. *ᾗ μόνῳ* ***ias***. | *γρ διότι ὡρισμένον* ***E*** mg, *γρ διὸ τὸ κεχρωσμένον* Alex.

1022*b* 1. *κατὰ τὸν τόπον* ***A***[b]. | 3. *καὶ* om ***EA***[b]***H***[b]. | 4. *δὲ* om ***H***[b]. | 5. *ἔχοντός τε καὶ ἐχ.* Alex. | 6. post *μεταξύ* punctum ***b***. | 8. *ἔχειν τὴν ἕξιν* ***ETas***, fort. recte. | 10. ante *εὖ* add *ἢ* ***A***[b]***cb***. | 11. *καὶ* om ***A***[b]. | 12. *ὑγεία* ***a***. | 13. *ἐὰν* ***A***[b]. | *τοιαύτη* ***A***[b]. | 14. *τις* om ***T***. | 15. *πάθος δὲ λέγεται* ***Ts***, *πάθος μὲν λέγεται* ***a***. | 16. *τὸ* ante *μέλαν* om ***A***[b]. | 17. *τὸ γλυκὺ καὶ τὸ πικρόν* ***as***.

Digitized by Google

σεις, καὶ μάλιϛα αἱ λυπηραὶ βλάβαι. ἔτι τὰ μεγέθη τῶν
συμφορῶν καὶ λυπηρῶν πάθη λέγεται.

22 Στέρησις λέγεται ἕνα μὲν τρόπον ἂν μὴ ἔχῃ τι τῶν
πεφυκότων ἔχεσθαι, κἂν μὴ αὐτὸ ᾖ πεφυκὸς ἔχειν, οἷον
φυτὸν ὀμμάτων ἐστερῆσθαι λέγεται. ἕνα δὲ ἂν πεφυκὸς 114
ἔχειν, ἢ αὐτὸ ἢ τὸ γένος, μὴ ἔχῃ, οἷον ἄλλως ἄνθρωπος ὁ
τυφλὸς ὄψεως ἐστέρηται καὶ ἀσπάλαξ· τὸ μὲν κατὰ τὸ
γένος, τὸ δὲ καθ' αὐτό. ἔτι ἂν πεφυκὸς καὶ ὅτε πέφυκεν
ἔχειν μὴ ἔχῃ· ἡ γὰρ τυφλότης ϛέρησίς τις, τυφλὸς δ' οὐ
κατὰ πᾶσαν ἡλικίαν, ἀλλ' ἐν ᾗ πέφυκεν ἔχειν, ἂν μὴ ἔχῃ.
ὁμοίως δὲ καὶ ἐν ᾧ ἂν ᾖ καὶ καθ' ὃ καὶ πρὸς ὃ καὶ ὡς ἂν
μὴ ἔχῃ πεφυκός. ἔτι ἡ βιαία ἑκάστου ἀφαίρεσις στέρησις
λέγεται. καὶ ὁσαχῶς δὲ αἱ ἀπὸ τοῦ ᾱ ἀποφάσεις λέγον-
ται, τοσαυταχῶς καὶ αἱ στερήσεις λέγονται· ἄνισον μὲν
γὰρ τῷ μὴ ἔχειν ἰσότητα πεφυκὸς λέγεται, ἀόρατον δὲ
καὶ τῷ ὅλως μὴ ἔχειν χρῶμα [καὶ τῷ φαύλως], καὶ ἄπυν
καὶ τῷ μὴ ἔχειν ὅλως πόδας καὶ τῷ φαύλως. ἔτι καὶ τῷ
1023a μικρὸν ἔχειν, οἷον τὸ ἀπύρηνον, τοῦτο δ' ἐϛὶ τῷ φαύλως πως
ἔχειν. ἔτι τῷ μὴ ῥᾳδίως ἢ τῷ μὴ καλῶς, οἷον τὸ ἄτμητον
οὐ μόνον τῷ μὴ τέμνεσθαι ἀλλὰ καὶ τῷ μὴ ῥᾳδίως ἢ μὴ
καλῶς. ἔτι τῷ πάντῃ μὴ ἔχειν· τυφλὸς γὰρ οὐ λέγεται ὁ
ἑτερόφθαλμος ἀλλ' ὁ ἐν ἀμφοῖν μὴ ἔχων ὄψιν. διὸ οὐ
πᾶς ἀγαθὸς ἢ κακός, ἢ δίκαιος ἢ ἄδικος, ἀλλὰ καὶ τὸ
μεταξύ.

23 Τὸ ἔχειν λέγεται πολλαχῶς, ἕνα μὲν τρόπον τὸ
ἄγειν κατὰ τὴν αὐτοῦ φύσιν ἢ κατὰ τὴν αὐτοῦ ὁρμήν, διὸ
λέγεται πυρετός τε ἔχειν τὸν ἄνθρωπον καὶ οἱ τύραννοι τὰς
πόλεις καὶ τὴν ἐσθῆτα οἱ ἀμπεχόμενοι. ἕνα δ' ἐν ᾧ ἂν
τι ὑπάρχῃ ὡς δεκτικῷ, οἷον ὁ χαλκὸς ἔχει τὸ εἶδος τοῦ

20. βλάβαι] βλαβεραὶ **ETc**, καὶ αἱ βλαβεραὶ **as**, καὶ βλαβεραί **i** et fort. Alex. | 21. συμφορῶν] ἡδέων **E$A^b$**. | 22. στέρησις μὲν λέγεται **T**. | τῶν μὴ πεφυκότων **ETas**. | 23. ἦν **E**. | 26. ὁ ἀσπάλαξ **as**. | τὸ post κατὰ add **ET$H^b$**. | 27. ὃ **T**. | 30. καὶ — ᾖ om **$A^b$**. | ᾖ] fort. ᾗ. | καὶ ἐὰν καθ' **$A^b$**. | post πρὸς ὃ comma **cb**. | ἂν om **$A^b$**. | 34. et 35. et 36. τῷ] τὸ **$A^b$ $H^b$c**. | 34. ἰσότητα om **$A^b$**. | 35. καὶ τὸ φαύλως **T**, om **$A^b$** Alex **c**. | 36. πόδα **T**.

1023a 1. τὸν **T**. | post ἀπύρηνον colon **cb**. | τῷ **Ti**, τὸ **ascb**. | 2. ἔχον Ascl. | τῷ — τῷ] τὸ — τὸ **c**. | 3. ᾗ] ἢ τῷ **ETas**. | 4. τὸ **ET$A^b$** Ascl **c**. | ἔχον **$H^b$**. | 6. καὶ τὸ om **$A^b$**. | 8. ἔχειν δὲ λέγεται **$H^b$**. | ἕνα om **ET$H^b$**. | 9. ἄγον **$A^b$**. | αὐτοῦ utrobique **asc**. | ἑαυτοῦ φ. Alex. | 12. ὑπάρχοι **as**.

Digitized by Google

ἀνδριάντος καὶ τὴν νόσον τὸ σῶμα. ἕνα δ' ὡς τὸ περιέχον τὰ περιεχόμενα· ἐν ᾧ γάρ ἐστι περιεχόμενόν τι, ἔχεσθαι 115 ὑπὸ τούτου λέγεται, οἷον τὸ ἀγγεῖον ἔχειν τὸ ὑγρόν φαμεν καὶ τὴν πόλιν ἀνθρώπους καὶ τὴν ναῦν ναύτας· οὕτω δὲ καὶ τὸ ὅλον ἔχειν τὰ μέρη. ἔτι τὸ κωλῦον κατὰ τὴν αὑτοῦ ὁρμήν τι κινεῖσθαι ἢ πράττειν ἔχειν λέγεται τοῦτο αὐτό, οἷον καὶ οἱ κίονες τὰ ἐπικείμενα βάρη, καὶ ὡς οἱ ποιηταὶ τὸν Ἄτλαντα ποιοῦσι τὸν οὐρανὸν ἔχειν ὡς συμπεσόντ' ἂν ἐπὶ τὴν γῆν, ὥσπερ καὶ τῶν φυσιολόγων τινές φασιν. τοῦτον δὲ τὸν τρόπον καὶ τὸ συνέχον λέγεται ἃ συνέχει ἔχειν, ὡς διαχωρισθέντα ἂν κατὰ τὴν αὑτοῦ ὁρμὴν ἕκαστον. καὶ τὸ ἔν τινι δὲ εἶναι ὁμοιοτρόπως λέγεται καὶ ἑπομένως τῷ ἔχειν.

24 Τὸ ἔκ τινος εἶναι λέγεται ἕνα μὲν τρόπον ἐξ οὗ ἐστὶν ὡς ὕλης, καὶ τοῦτο διχῶς, ἢ κατὰ τὸ πρῶτον γένος ἢ κατὰ τὸ ὕστατον εἶδος, οἷον ἔστι μὲν ὡς ἅπαντα τὰ τηκτὰ ἐξ ὕδατος, ἔστι δ' ὡς ἐκ χαλκοῦ ὁ ἀνδριάς. ἕνα δ' ὡς ἐκ τῆς πρώτης κινησάσης ἀρχῆς, οἷον ἐκ τίνος ἡ μάχη; ἐκ λοιδορίας, ὅτι αὕτη ἀρχὴ τῆς μάχης. ἕνα δ' ἐκ τοῦ συνθέτου ἐκ τῆς ὕλης καὶ τῆς μορφῆς, ὥσπερ ἐκ τοῦ ὅλου τὰ μέρη καὶ ἐκ τῆς Ἰλιάδος τὸ ἔπος καὶ ἐκ τῆς οἰκίας οἱ λίθοι· τέλος μὲν γάρ ἐστιν ἡ μορφή, τέλειον δὲ τὸ ἔχον τέλος. τὰ δὲ ὡς ἐκ τοῦ μέρους τὸ εἶδος, οἷον ὁ ἄνθρωπος ἐκ τοῦ δίποδος καὶ ἡ συλλαβὴ ἐκ τοῦ στοιχείου· ἄλλως γὰρ τοῦτο καὶ ἡ ἀνδριὰς ἐκ τοῦ χαλκοῦ· ἐκ τῆς αἰσθητῆς γὰρ ὕλης ἡ συνθέτη οὐσία, ἀλλὰ καὶ τὸ εἶδος ἐκ τῆς τοῦ εἴδους ὕλης. τὰ μὲν οὖν οὕτω λέγεται, τὰ δ' ἐὰν κατὰ μέρος τι τούτων τις ὑπάρχῃ τῶν τρόπων, οἷον ἐκ πατρὸς καὶ μητρὸς τὸ τέκνον

13. τὰ περιέχοντα $A^b$ Alex. | 14. τὰ] καὶ $A^b$. | περιεχόμενον] περιέχον $A^b$. | 17. ἔχει *ETias*. | αὐτοῦ *asc* et fort. Alex. | 18. αὐτό] ταῦτα $A^b$. | 20. ποιοῦσιν ἄτλαντα $A^bH^b$. | ὡς συμπεσὸν *T*, ὡς μὴ συμπέσοιτ' *as*. | 21. καὶ add $A^b$ Alex. | post φασιν add ἄτλας δ' οὐρανὸν εὐρὺν ἔχει κρατερῆς ὑπ' ἀνάγκης $A^b$. | 22. συνέχειν $TH^b$. | λέγεται — ἔχειν] ἔχειν λέγεται $A^bH^b$. | 23. αὐτοῦ *asc*. | 24. ὁμοτρόπως *ET*. | 28. τὰ τηκτὰ τὰ *as*. | 29. ὥστ' $A^b$. | ὡς om *ET*. | τοῦ πρώτου κινήσαντος, omisso ἀρχῆς $A^b$, τοῦ πρώτως κινήσαντος, fort. Alex. | 30. οἷον ἐκ τῆς λοιδορίας ἡ μάχη, ὅτι $A^b$ et fort. Alex. | ἐκ τῆς λοιδ. *c*. | 31. αὐτὴ $TA^basc$. | 36. ἄλλως γὰρ τοῦτο parenthesi includunt *cb*.

1023 b 1. ὁ om Alex. | τοῦ om $A^b$ Alex. | 2. σύνθετος *Tas*. | post οὐσία punctum *b*. | 3. οὖν om *as*.

Digitized by Google

καὶ ἐκ γῆς τὰ φυτά, ὅτι ἔκ τινος μέρους αὐτῶν. ἕνα δὲ 116 μεθ' ὃ τῷ χρόνῳ, οἷον ἐξ ἡμέρας νὺξ καὶ ἐξ εὐδίας χειμών, ὅτι τοῦτο μετὰ τοῦτο. τούτων δὲ τὰ μὲν τῷ ἔχειν μεταβολὴν εἰς ἄλληλα οὕτω λέγεται, ὥσπερ καὶ τὰ νῦν εἰρημένα, τὰ δὲ τῷ κατὰ τὸν χρόνον ἐφεξῆς μόνον, οἷον ἐξ ἰσημερίας ἐγένετο ὁ πλοῦς, ὅτι μετ' ἰσημερίαν ἐγένετο, καὶ ἐκ Διονυσίων Θαργήλια, ὅτι μετὰ τὰ Διονύσια.

25 Μέρος λέγεται ἕνα μὲν τρόπον εἰς ὃ διαιρεθείη ἂν τὸ ποσὸν ὁπωσοῦν· ἀεὶ γὰρ τὸ ἀφαιρούμενον τοῦ ποσοῦ ᾗ ποσὸν μέρος λέγεται ἐκείνου, οἷον τῶν τριῶν τὰ δύο μέρος λέγεταί πως. ἄλλον δὲ τρόπον τὰ καταμετροῦντα τῶν τοιούτων μόνον· διὸ τὰ δύο τῶν τριῶν ἔστι μὲν ὡς λέγεται μέρος, ἔστι δ' ὡς οὔ. ἔτι εἰς ἃ τὸ εἶδος διαιρεθείη ἂν ἄνευ τοῦ ποσοῦ, καὶ ταῦτα μόρια λέγεται τούτου· διὸ τὰ εἴδη τοῦ γένους φασὶν εἶναι μόρια. ἔτι εἰς ἃ διαιρεῖταί τι ἢ ἐξ ὧν σύγκειται τὸ ὅλον, ἢ τὸ εἶδος ἢ τὸ ἔχον τὸ εἶδος, οἷον τῆς σφαίρας τῆς χαλκῆς ἢ τοῦ κύβου τοῦ χαλκοῦ καὶ ὁ χαλκὸς μέρος (τοῦτο δ' ἐστὶν ἡ ὕλη ἐν ᾗ τὸ εἶδος) καὶ ἡ γωνία μέρος. ἔτι τὰ ἐν τῷ λόγῳ τῷ δηλοῦντι ἕκαστον καὶ ταῦτα μόρια τοῦ ὅλου· διὸ τὸ γένος τοῦ εἴδους καὶ μέρος λέγεται, ἄλλως δὲ τὸ εἶδος τοῦ γένους μέρος.

26 Ὅλον λέγεται οὗ τε μηθὲν ἄπεστι μέρος ἐξ ὧν λέγεται ὅλον φύσει, καὶ τὸ περιέχον τὰ περιεχόμενα ὥστε ἕν τι εἶναι ἐκεῖνα. τοῦτο δὲ διχῶς· ἢ γὰρ ὡς ἕκαστον ἕν, ἢ ὡς ἐκ τούτων τὸ ἕν. τὸ μὲν γὰρ καθόλου καὶ τὸ ὅλως λεγόμενον ὡς ὅλον τι ὂν οὕτως ἐστὶ καθόλου ὡς πολλὰ περιέχον τῷ κατηγορεῖσθαι καθ' ἑκάστου καὶ ἓν ἅπαντα εἶναι ὡς ἕκαστον, οἷον ἄνθρωπον, ἵππον, θεόν, ὅτι ἅπαντα ζῷα. τὸ δὲ συνε- 117 χὲς καὶ πεπερασμένον, ὅταν ἕν τι ἐκ πλειόνων ᾖ ἐνυπαρχόντων, μάλιστα μὲν δυνάμει, εἰ δὲ μή, ἐνεργείᾳ. τούτων δ' αὐτῶν μᾶλλον τὰ φύσει ἢ τέχνῃ τοιαῦτα, ὥσπερ καὶ

6. εὐδείας $A^b H^b$. | 9. ἐφεξῆς μόνον om *T*. | 11. τὰ om $A^b$. | 12. διαιρεθῇ $H^b$. | 13. ὁπωσοῦν] ᾗ ποσόν fort. Alex. | 17. post εἶδος add τοῦ ζῴου *as*. | διαιρεθῇ $A^b$. | 19. τι om $A^b$ et fort. Alex, fort. recte. | 20. comma post ὅλον om *cb*. | τὸ post ἔχον om Alex. | 21. ἢ ὁ τοῦ $A^b$. | post μέρος colon et 22. post εἶδος punctum *cb*. | 22. ἐν ᾧ *as*. | 26. τε om *as*. | 27. τὸ ὅλον *as* et fort. Alex. | τὰ] ἓν καὶ τὰ $A^b$*as*. | 29. τὸ ὅλως] ὅλον $A^b$. | 30. τῷ] τὸ *Tas*. | 32. διότι $A^b H^b$. | 34. εἰ δὲ om *i*. | μή] μὴ καὶ *T*. | ἐντελεχείᾳ $A^b$.

Digitized by Google

ἐπὶ τοῦ ἑνὸς λέγομεν, ὡς οὔσης τῆς ὁλότητος ἑνότητός τινος. ἔτι τοῦ ποσοῦ ἔχοντος ἀρχὴν καὶ μέσον καὶ ἔσχατον, ὅσων 1024a
μὲν μὴ ποιεῖ ἡ θέσις διαφοράν, πᾶν λέγεται, ὅσων δὲ ποιεῖ, ὅλον· ὅσα δὲ ἄμφω ἐνδέχεται, καὶ ὅλα καὶ πάντα. ἔστι δὲ ταῦτα ὅσων ἡ μὲν φύσις ἡ αὐτὴ μένει τῇ μεταθέσει, ἡ δὲ μορφὴ οὔ, οἷον κηρὸς καὶ ἱμάτιον· καὶ γὰρ ὅλον καὶ πᾶν λέγεται· ἔχει γὰρ ἄμφω. ὕδωρ δὲ καὶ ὅσα ὑγρὰ καὶ ἀριθμὸς πᾶν μὲν λέγεται, ὅλος δ' ἀριθμὸς καὶ ὅλον ὕδωρ οὐ λέγεται, ἂν μὴ μεταφορᾷ. πάντα δὲ λέγεται, ἐφ' οἷς τὸ πᾶν ὡς ἐφ' ἑνί, ἐπὶ τούτοις πάντα ὡς ἐπὶ διῃρημένοις· πᾶς οὗτος ὁ ἀριθμός, πᾶσαι αὗται αἱ μονάδες.

27 Κολοβὸν δὲ λέγεται τῶν ποσῶν οὐ τὸ τυχόν, ἀλλὰ μεριστόν τε δεῖ αὐτὸ εἶναι καὶ ὅλον. τά τε γὰρ δύο οὐ κολοβὰ θατέρου ἀφαιρουμένου ἑνός (οὐ γὰρ ἴσον τὸ κολόβωμα καὶ τὸ λοιπὸν οὐδέποτ' ἐστίν), οὐδ' ὅλως ἀριθμὸς οὐδείς· καὶ γὰρ τὴν οὐσίαν δεῖ μένειν· εἰ κύλιξ κολοβός, ἔτι εἶναι κύλικα· ὁ δ' ἀριθμὸς οὐκέτι ὁ αὐτός. πρὸς δὲ τούτοις κἂν ἀνομοιομερῆ ᾖ, οὐδὲ ταῦτα πάντα· ὁ γὰρ ἀριθμὸς ἔστιν ὡς καὶ ἀνόμοια ἔχει μέρη, οἷον δυάδα, τριάδα. ἀλλ' ὅλως ὅσων μὴ ποιεῖ ἡ θέσις διαφορὰν οὐθὲν κολοβόν, οἷον ὕδωρ ἢ πῦρ,
118 ἀλλὰ δεῖ τοιαῦτα εἶναι ἃ κατὰ τὴν οὐσίαν θέσιν ἔχει. ἔτι συνεχῆ· ἡ γὰρ ἁρμονία ἐξ ἀνομοιομερῶν μὲν καὶ θέσιν ἔχει, κολοβὸς δὲ οὐ γίνεται. πρὸς δὲ τούτοις οὐδ' ὅσα ὅλα, οὐδὲ ταῦτα ὁτουοῦν μορίου στερήσει κολοβά. οὐ γὰρ δεῖ οὔτε τὰ κύρια τῆς οὐσίας οὔτε τὰ ὁπουοῦν ὄντα· οἷον ἂν τρυπηθῇ ἡ κύλιξ, οὐ κολοβός, ἀλλ' ἂν τὸ οὖς ἢ ἀκρωτήριόν τι. καὶ ὁ ἄνθρωπος οὐκ ἐὰν σάρκα ἢ τὸν σπλῆνα, ἀλλ' ἐὰν ἀκρωτήριον, καὶ τοῦτο οὐ πᾶν ἀλλ' ὃ μὴ ἔχει γένεσιν ἀφαιρεθὲν ὅλον. διὰ τοῦτο οἱ φαλακροὶ οὐ κολοβοί.

36. ἐλέγομεν $A^b$*as* et fort. Alex. | ἑνότητος ὁλότητός *T*.
1024*a* 1. ἔχοντος δὲ ἀρχὴν $A^b$. | 2. ποιεῖ ἡ] ποιῇ ἡ *E*. | 3. πᾶν *E Tas*. | 5. γὰρ om *T*. | 7. ὅλος δ'] ὁ δὲ πᾶς ὅλος $A^b$. | καὶ] ἢ $A^b$. | 8. μὴ κατὰ μεταφοράν $A^b$. | 9. ὅσοις $A^b$. | τούτοις τὰ πάντα $A^b$, τὸ πάντα Alex. | 11. δὴ *a*. | 12. τε om *T*. | δεῖ αὐτὸ om $A^b$. | αὐτὸ δεῖ *as*. | 13. ἀφῃρημένου *E*. | οὐ] καὶ *as*. | 14. λεῖπον Alex. | ὅλος $A^b$. | 15. ἔτι] ἔτι δεῖ *ETas*. | 16. ὁμοιομερῆ $A^b$. | γρ καὶ« ἀνομοιομερῆ ἢ οὐδὲ ταῦτα *E* mg. | 17. ὁ] οὐδὲ *T*. | ὡς *T*$A^b$ Alex *ia*, ceteri et *cb* ὅς. | 18. ὅσων] ὧν *ETas*. | 19. οὐδὲ *T*. | 21. ἀνομοίων $A^b$. | 22. ὅλα] ἄλλα $H^b$. | 23. δεῖ] δὴ $A^b$. | 24. ὁπωσοῦν *T*. | ἐὰν $A^b$. | 26. οὐκ ἐὰν] οὐκ ἂν $A^b$. | ἀκρωτήριόν τι καὶ $A^b$. | 27. οὔτ' ἂν $A^b$. | ἔχῃ *E*$A^b$.

Digitized by Google

28 *Γένος λέγεται τὸ μὲν ἐὰν ᾖ ἡ γένεσις συνεχὴς τῶν τὸ εἶδος ἐχόντων τὸ αὐτό, οἷον λέγεται ἕως ἂν ἀνθρώπων γένος ᾖ, ὅτι ἕως ἂν ᾖ ἡ γένεσις συνεχὴς αὐτῶν. τὸ δὲ ἀφ' οὗ ἂν ὦσι πρώτου κινήσαντος εἰς τὸ εἶναι· οὕτω γὰρ λέγονται Ἕλληνες τὸ γένος οἱ δ' Ἴωνες, τῷ οἱ μὲν ἀπὸ Ἕλληνος οἱ δὲ ἀπὸ Ἴωνος εἶναι πρώτου γεννήσαντος. καὶ μᾶλλον οἱ ἀπὸ τοῦ γεννήσαντος ἢ τῆς ὕλης· λέγονται γὰρ καὶ ἀπὸ τοῦ θήλεος τὸ γένος, οἷον οἱ ἀπὸ Πύρρας. ἔτι δὲ ὡς τὸ ἐπίπεδον*
1024b *τῶν σχημάτων γένος τῶν ἐπιπέδων καὶ τὸ στερεὸν τῶν στερεῶν· ἕκαστον γὰρ τῶν σχημάτων τὸ μὲν ἐπίπεδον τοιονδί, τὸ δὲ στερεόν ἐστι τοιονδί· τοῦτο δ' ἐστὶ τὸ ὑποκείμενον ταῖς διαφοραῖς. ἔτι ὡς ἐν τοῖς λόγοις τὸ πρῶτον ἐνυπάρχον, ὃ λέγεται ἐν τῷ τί ἐστι, τοῦτο γένος, οὗ διαφοραὶ λέγονται αἱ ποιότητες. τὸ μὲν οὖν γένος τοσαυταχῶς λέγεται, τὸ μὲν κατὰ γένεσιν συνεχῆ τοῦ αὐτοῦ εἴδους, τὸ δὲ κατὰ τὸ πρῶτον κινῆσαν ὁμοειδές, τὸ δ' ὡς ὕλη· οὗ γὰρ ἡ διαφορὰ καὶ ἡ ποιότης ἐστί, τοῦτ' ἐστὶ τὸ ὑποκείμενον, ὃ λέγομεν ὕλην. ἕτερα δὲ τῷ γένει λέγεται ὧν ἕτερον τὸ πρῶτον ὑποκείμενον καὶ* 119
*μὴ ἀναλύεται θάτερον εἰς θάτερον μηδ' ἄμφω εἰς ταὐτόν, οἷον τὸ εἶδος καὶ ἡ ὕλη ἕτερον τῷ γένει, καὶ ὅσα καθ' ἕτερον σχῆμα κατηγορίας τοῦ ὄντος λέγεται· τὰ μὲν γὰρ τί ἐστι σημαίνει τῶν ὄντων, τὰ δὲ ποιόν τι, τὰ δ' ὡς διῄρηται πρότερον· οὐδὲ γὰρ ταῦτα ἀναλύεται οὔτ' εἰς ἄλληλα οὔτ' εἰς ἕν τι.*

29 *Τὸ ψεῦδος λέγεται ἄλλον μὲν τρόπον ὡς πρᾶγμα ψεῦδος, καὶ τούτου τὸ μὲν τῷ μὴ συγκεῖσθαι ἢ ἀδύνατον εἶναι συντεθῆναι, ὥσπερ λέγεται τὸ τὴν διάμετρον εἶναι σύμμετρον ἢ τὸ σὲ καθῆσθαι· τούτων γὰρ ψεῦδος τὸ μὲν ἀεί, τὸ δὲ ποτέ· οὕτω γὰρ οὐκ ὄντα ταῦτα. τὰ δὲ ὅσα ἐστὶ μὲν ὄντα, πέφυκε μέντοι φαίνεσθαι ἢ μὴ οἷά ἐστιν ἢ ἃ μή ἐστιν, οἷον ἡ σκιαγραφία καὶ τὰ ἐνύπνια· ταῦτα γὰρ ἔστι μέν τι, ἀλλ' οὐχ ὧν ἐμποιεῖ τὴν φαντασίαν. πράγματα*

29. *μὲν*] *μὲν ἐν* $A^b$. | *ᾖ* om $A^bH^b$. | 31. *ὅτι ἕως*] *ὁτιοῦν* $A^b$. | *ᾖ* om $A^b c$. | ante *ἡ* comma *cb*. | *ἡ* om Alex. | *αὐτῶν συνεχής* $A^b$. | 32. *λέγονται οἱ μὲν ἕλληνες* $A^b$*asc*. | 33. *τῷ*] *τὸ* **T**. | 36. *οἱ* add $A^b$. | *δὲ* om $A^b$.

1024*b* 1. *γένος*] *τὸ γένος* **E**. | 4. *ὃ* om $A^b$. | 5. comma ante *τοῦτο* om *cb*. | 7. *τὸ* post *κατὰ* om **E**. | 8. *ὡς ἡ ὕλη* Alex. | 10. *ὧν τε ἕτερον* **E**. | 17. *ἄλλον*] *ἕνα* $H^b$. | 18. *ψευδές* **Ts**. | 19. *συντεθεῖναι* *a*. | 23. *καὶ τὰ ἐνύπνια*] *τὴν φαντασίαν* **T**.

Digitized by Google

μὲν οὖν ψευδῆ οὕτω λέγεται, ἢ τῷ μὴ εἶναι αὐτά, ἢ τῷ τὴν ἀπ' αὐτῶν φαντασίαν μὴ ὄντος εἶναι. λόγος δὲ ψευδὴς ὁ τῶν μὴ ὄντων ᾗ ψευδής. διὸ πᾶς λόγος ψευδὴς ἑτέρου ἢ οὗ ἐστὶν ἀληθής, οἷον ὁ τοῦ κύκλου ψευδὴς τριγώνου. ἑκάστου δὲ λόγος ἔστι μὲν ὡς εἷς ὁ τοῦ τί ἦν εἶναι, ἔστι δ' ὡς πολλοί, ἐπεὶ ταὐτό πως αὐτὸ καὶ αὐτὸ πεπονθός, οἷον Σωκράτης καὶ Σωκράτης μουσικός. ὁ δὲ ψευδὴς λόγος οὐθενός ἐστιν ἁπλῶς λόγος. διὸ Ἀντισθένης ᾤετο εὐήθως μηθὲν ἀξιῶν λέγεσθαι πλὴν τῷ οἰκείῳ λόγῳ ἓν ἐφ' ἑνός· ἐξ ὧν συνέβαινε μὴ εἶναι ἀντιλέγειν, σχεδὸν δὲ μηδὲ ψεύδεσθαι. ἔστι δ' ἕκαστον λέγειν οὐ μόνον τῷ αὐτοῦ λόγῳ, ἀλλὰ καὶ τῷ ἑτέρου, ψευδῶς μὲν καὶ παντελῶς, ἔστι δ' ὡς καὶ ἀληθῶς, ὥσπερ τὰ ὀκτὼ διπλάσια τῷ τῆς δυάδος λόγῳ. τὰ μὲν οὖν 1025a
120 οὕτω λέγεται ψευδῆ, ἄνθρωπος δὲ ψευδὴς ὁ εὐχερὴς καὶ προαιρετικὸς τῶν τοιούτων λόγων, μὴ δι' ἕτερόν τι ἀλλὰ δι' αὐτό, καὶ ὁ ἄλλοις ἐμποιητικὸς τῶν τοιούτων λόγων, ὥσπερ καὶ τὰ πράγματά φαμεν ψευδῆ εἶναι, ὅσα ἐμποιεῖ φαντασίαν ψευδῆ. διὸ ὁ ἐν τῷ Ἱππίᾳ λόγος παρακρούεται ὡς ὁ αὐτὸς ψευδὴς καὶ ἀληθής. τὸν δυνάμενον γὰρ ψεύσασθαι λαμβάνει ψευδῆ, οὗτος δ' ὁ εἰδὼς καὶ ὁ φρόνιμος· ἔτι τὸν ἑκόντα φαῦλον βελτίω. τοῦτο δὲ ψεῦδος λαμβάνει διὰ τῆς ἐπαγωγῆς· ὁ γὰρ ἑκὼν χωλαίνων τοῦ ἄκοντος κρείττων, τὸ χωλαίνειν τὸ μιμεῖσθαι λέγων, ἐπεὶ εἴγε χωλὸς ἑκών, χείρων ἴσως, ὥσπερ ἐπὶ τοῦ ἤθους, καὶ οὗτος.

30 Συμβεβηκὸς λέγεται ὃ ὑπάρχει μέν τινι καὶ ἀληθὲς εἰπεῖν, οὐ μέντοι οὔτ' ἐξ ἀνάγκης οὔτ' ἐπὶ τὸ πολύ, οἷον εἴ τις ὀρύττων φυτῷ βόθρον εὗρε θησαυρόν. τοῦτο τοίνυν συμβεβηκὸς τῷ ὀρύττοντι τὸν βόθρον, τὸ εὑρεῖν θησαυρόν· οὔτε γὰρ ἐξ ἀνάγκης τοῦτο ἐκ τούτου ἢ μετὰ τοῦτο, οὔθ' ὡς ἐπὶ τὸ πολὺ ἄν τις φυτεύῃ θησαυρὸν εὑρίσκει. καὶ μουσικός γ'

26. ὄντως *Ts*. | 30. οἱ πολλοί *T*. | 31. καὶ Σωκράτης om *A^b i*. | 32. ἀνοήτως *H^b*. | 35. αὐτῷ *Tas*. | τῷ τοῦ ἑτέρου *as*. | 36. δ' οὖν ὡς *Tas*.
1025*a* 2. δὲ om *E*. | 3. μὴ] οὐ *A^b*. | 4. αὐτό *E*, αὐτά *A^b*. | ὁ om *T*. | 5. φαμὲν καὶ πράγματα *ETas*. | 6. ψευδῆ φαντασίαν *A^b c*. | ὁ om codd. *asc*, sed habet Alex. | 7. ψεύδεσθαι *as*. | 9. ἑκόντα] εἰδότα *A^b c*. | τὰ φαῦλα *ETA^b c*. | 11. τὸ ante χωλ. om *A^b*. | 12. εἴς γε χ. *T*. | 13. οὕτως *A^b*, τοῦτο *ETas*. | 14. συμβεβηκὸς δὲ *as*. | 15. μέντοι γε *T*. | οὔτε δὲ ἐπὶ *A^b*. | 19. γ'] δὲ *A^b* et fort. Alex.

Digitized by Google

ἄν τις εἴη λευκός· ἀλλ' ἐπεὶ οὔτε ἐξ ἀνάγκης οὔθ' ὡς ἐπὶ τὸ πολὺ τοῦτο γίνεται, συμβεβηκὸς αὐτὸ λέγομεν. ὥστ' ἐπεὶ ἔστιν ὑπάρχον τὶ καὶ τινί, καὶ ἔνια τούτων καὶ ποὺ καὶ ποτέ, ὅ τι ἂν ὑπάρχῃ μέν, ἀλλὰ μὴ διότι τοδὶ ἦν ἢ νῦν ἢ ἐνταῦθα, συμβεβηκὸς ἔσται. οὐδὲ δὴ αἴτιον ὡρισμένον οὐθὲν τοῦ συμβεβηκότος ἀλλὰ τὸ τυχόν· τοῦτο δ' ἀόριστον. συνέβη τῳ εἰς Αἴγιναν ἐλθεῖν, εἰ μὴ διὰ τοῦτο ἀφίκετο ὅπως ἐκεῖ ἔλθῃ, ἀλλ' ὑπὸ χειμῶνος ἐξωσθεὶς ἢ ὑπὸ λῃστῶν ληφθείς. γέγονε μὲν δὴ καὶ ἔστι τὸ συμβεβηκός, ἀλλ' οὐχ ᾗ αὐτὸ ἀλλ' ᾗ ἕτερον· ὁ γὰρ χειμὼν αἴτιος τοῦ μὴ ὅπου ἔπλει ἐλ- 121
θεῖν, τοῦτο δ' ἦν Αἴγινα. λέγεται δὲ καὶ ἄλλως συμβεβηκός, οἷον ὅσα ὑπάρχει ἑκάστῳ καθ' αὑτὸ μὴ ἐν τῇ οὐσίᾳ ὄντα, οἷον τῷ τριγώνῳ τὸ δύο ὀρθὰς ἔχειν. καὶ ταῦτα μὲν ἐνδέχεται ἀΐδια εἶναι, ἐκείνων δὲ οὐθέν. λόγος δὲ τούτου ἐν ἑτέροις.

1025 b

# Ε.

Αἱ ἀρχαὶ καὶ τὰ αἴτια ζητεῖται τῶν ὄντων, δῆλον δὲ ὅτι ᾗ ὄντα. ἔστι γάρ τι αἴτιον ὑγιείας καὶ εὐεξίας, καὶ τῶν μαθηματικῶν εἰσὶν ἀρχαὶ καὶ στοιχεῖα καὶ αἴτια, καὶ ὅλως δὲ πᾶσα ἐπιστήμη διανοητικὴ ἢ μετέχουσά τι διανοίας περὶ αἰτίας καὶ ἀρχάς ἐστιν ἢ ἀκριβεστέρας ἢ ἁπλουστέρας. ἀλλὰ πᾶσαι αὗται περὶ ὄν τι, καὶ γένος τι περιγραψάμεναι περὶ τούτου πραγματεύονται, ἀλλ' οὐχὶ περὶ ὄντος ἁπλῶς οὐδὲ ᾗ ὄν, οὐδὲ τοῦ τί ἐστιν οὐθένα λόγον ποιοῦνται· ἀλλ' ἐκ τούτου αἱ μὲν αἰσθήσει ποιήσασαι αὐτὸ δῆλον, αἱ δ' ὑπόθεσιν λαβοῦσαι τὸ τί ἐστιν, οὕτω τὰ καθ' αὑτὰ ὑπάρχοντα τῷ γένει περὶ ὅ εἰσιν ἀποδεικνύουσιν ἢ ἀναγκαιότερον ἢ μαλακώτερον. διόπερ φανερὸν ὅτι οὐκ ἔστιν ἀπόδειξις οὐσίας οὐδὲ τοῦ τί ἐστιν

20. οὐκ — οὐδ' $A^b$. | 22. ὑπάρχοντι *as*. | τι om $A^b$. | 23. ἦν om *as*. | 25. ἀλλὰ om *E*. | 26. τῳ] τὸ *E*$A^b$*iasc*. | 27. ἢ ὑπὸ λ. ληφθείς om $H^b$ et fort. Alex. | 28. γεγονὼς *T*. | δὴ om *T*. | καὶ] ᾗ $A^b$. | ἔστι] ἐπὶ *T*, ἔσται *s*. | ***sed secundum se, non secundum alterum i***. | 29. αἴτιος om *T*. | ὅπου] οὗ $A^b$. | 30. ἦν] εἶναι $A^b$. | 31. καθ' αὑτὸ ἑκάστῳ *as*. | ἑκάστῳ om *T*. | μὴ] καὶ μὴ *T* et fort. Alex. | 32. οἷον] ὥσπερ $A^b$. | γρ καὶ ἂν τε ἀΐδια αἴτια Alex.

1025 b 3. δὴ $A^b$, γὰρ $H^b$. | 4. γὰρ αἴτια ὑ. Alex. | ὑγείας *Ea*. | 5. καὶ ante στοιχ. om *i*. | 6. ἢ καὶ μ. *as*. | 8. ὄν τι $A^b$ Alex, ἕν τι *iascb*. | comma ante καὶ om *cb*. | 11. ποιήσασθαι *a*.

Digitized by Google

ἐκ τῆς τοιαύτης ἐπαγωγῆς, ἀλλά τις ἄλλος τρόπος τῆς δηλώσεως. ὁμοίως δὲ οὐδ' εἰ ἔστιν ἢ μὴ ἔστι τὸ γένος περὶ ὃ πραγματεύονται οὐθὲν λέγουσι, διὰ τὸ τῆς αὐτῆς εἶναι διανοίας τό τε τί ἐστι δῆλον ποιεῖν καὶ εἰ ἔστιν. ἐπεὶ δὲ καὶ ἡ φυσικὴ ἐπιστήμη τυγχάνει οὖσα περὶ γένος τι τοῦ ὄντος (περὶ 122 γὰρ τὴν τοιαύτην ἐστὶν οὐσίαν ἐν ᾗ ἡ ἀρχὴ τῆς κινήσεως καὶ στάσεως ἐν αὐτῇ), δῆλον ὅτι οὔτε πρακτική ἐστιν οὔτε ποιητική. τῶν μὲν γὰρ ποιητικῶν ἐν τῷ ποιοῦντι ἡ ἀρχὴ ἢ νοῦς ἢ τέχνη ἢ δύναμίς τις, τῶν δὲ πρακτικῶν ἐν τῷ πράττοντι ἡ προαίρεσις· τὸ αὐτὸ γὰρ τὸ πρακτὸν καὶ τὸ προαιρετόν. ὥστε εἰ πᾶσα διάνοια ἢ πρακτικὴ ἢ ποιητικὴ ἢ θεωρητική, ἡ φυσικὴ θεωρητική τις ἂν εἴη, ἀλλὰ θεωρητικὴ περὶ τοιοῦτον ὂν ὅ ἐστι δυνατὸν κινεῖσθαι, καὶ περὶ οὐσίαν τὴν κατὰ τὸν λόγον ὡς ἐπὶ τὸ πολύ, οὐ χωριστὴν μόνον. δεῖ δὲ τὸ τί ἦν εἶναι καὶ τὸν λόγον πῶς ἐστὶ μὴ λανθάνειν, ὡς ἄνευ γε τούτου τὸ ζητεῖν μηθέν ἐστι ποιεῖν. τῶν δ' ὁριζομένων καὶ τῶν τί ἐστι τὰ μὲν οὕτως ὑπάρχει ὡς τὸ σιμόν, τὰ δ' ὡς τὸ κοῖλον. διαφέρει δὲ ταῦτα ὅτι τὸ μὲν σιμὸν συνειλημμένον ἐστὶ μετὰ τῆς ὕλης· ἔστι γὰρ τὸ μὲν σιμὸν κοίλη ῥίς, ἡ δὲ κοιλότης ἄνευ ὕλης αἰσθητῆς. εἰ δὴ πάντα τὰ φυσικὰ ὁμοίως τῷ σιμῷ λέγονται, οἷον ῥίς, ὀφθαλμός, πρόσωπον, σάρξ, ὀστοῦν, 1026a ὅλως ζῷον, φύλλον, ῥίζα, φλοιός, ὅλως φυτόν (οὐθενὸς γὰρ ἄνευ κινήσεως ὁ λόγος αὐτῶν, ἀλλ' ἀεὶ ἔχει ὕλην), δῆλον πῶς δεῖ ἐν τοῖς φυσικοῖς τὸ τί ἐστι ζητεῖν καὶ ὁρίζεσθαι, καὶ διότι καὶ περὶ ψυχῆς ἐνίας θεωρῆσαι τοῦ φυσικοῦ, ὅση μὴ ἄνευ τῆς ὕλης ἐστίν. ὅτι μὲν οὖν ἡ φυσικὴ θεωρητική τίς ἐστι, φανερὸν ἐκ τούτων. ἀλλ' ἔστι καὶ ἡ μαθηματικὴ θεωρητική. ἀλλ' εἰ ἀκινήτων καὶ χωριστῶν ἐστί, νῦν

15. τοιαύτης om *i*. | 17. τῆς τοιαύτης *T*. | 18. τε om $A^b$. | καὶ τὸ εἰ fort. Alex. | ἔστιν] ἔστι τοῦτο *ETias*. | 21. ἑαυτῇ $A^b$. | 22. ἐν — 23. πρακτικῶν om *T*. | 22. νοῦς ἐστὶν ἢ Alex *as*. | 23. πρακτῶν *E* Alex. | 24. post γὰρ τὸ add τῶν δὲ πρακτικῶν ἐν τῷ πράττοντι ἡ προαίρεσις. τὸ αὐτὸ γὰρ *T*. | τὸ post καὶ om $A^b$. | 25. εἰ] ἡ *T*, om $A^b$. | πᾶσα] ἡ ἅπασα *as*. | 26. φύσις $H^b$, ἡ φυσικὴ θεωρητικὴ om $A^b$. | τοιοῦτο $EA^b$. | 28. ante οὐ non distinguit *b*. | οὐ] ὡς οὐ *ET*. | 30. οὐδὲν fort. Alex. | ποιεῖν ἐστιν *Eas*. | τῶν] ἔστι δὲ τῶν $A^b$, omisso δ'. | δ'] δὴ *iasc*, fort. recte. | 31. οὕτως ὑπάρχει om $A^b$. | 33. μὲν om *E*. | 34. δὲ *T*.

1026a 1. ὀστοῦν om *T*. | 2. οὐδὲν ὅσον γὰρ *T*. | 3. αὐτῶν ὁ λόγος Alex. | ἀεὶ et 4. δῆλον om $A^b$. | 7. τίς add $A^bF^b$. | φανερὸν] δῆλον $H^b$. | τούτου $F^b$. | 8. ἐστί] ἔτι *T*. | ἄδηλον νῦν $F^b$.



Digitized by Google

ἄδηλον· ὅτι μέντοι ἔνια μαθήματα ᾗ ἀκίνητα καὶ ᾗ χωρι-
στὰ θεωρεῖ, δῆλον. εἰ δέ τί ἐστιν ἀΐδιον καὶ ἀκίνητον καὶ
χωριστόν, φανερὸν ὅτι θεωρητικῆς τὸ γνῶναι. οὐ μέντοι φυ-
σικῆς γε (περὶ κινητῶν γάρ τινων ἡ φυσική), οὐδὲ μαθημα- 123
τικῆς, ἀλλὰ προτέρας ἀμφοῖν. ἡ μὲν γὰρ φυσικὴ περὶ
ἀχώριστα μὲν ἀλλ' οὐκ ἀκίνητα, τῆς δὲ μαθηματικῆς ἔνια
περὶ ἀκίνητα μὲν οὐ χωριστὰ δ' ἴσως, ἀλλ' ὡς ἐν ὕλῃ· ἡ
δὲ πρώτη καὶ περὶ χωριστὰ καὶ ἀκίνητα. ἀνάγκη δὲ πάντα
μὲν τὰ αἴτια ἀΐδια εἶναι, μάλιστα δὲ ταῦτα· ταῦτα γὰρ
αἴτια τοῖς φανεροῖς τῶν θείων. ὥστε τρεῖς ἂν εἶεν φιλοσο-
φίαι θεωρητικαί, μαθηματική, φυσική, θεολογική. οὐ γὰρ
ἄδηλον ὅτι εἴ που τὸ θεῖον ὑπάρχει, ἐν τῇ τοιαύτῃ φύσει
ὑπάρχει, καὶ τὴν τιμιωτάτην δεῖ περὶ τὸ τιμιώτατον γένος
εἶναι. αἱ μὲν οὖν θεωρητικαὶ τῶν ἄλλων ἐπιστημῶν αἱρετώ-
τεραι, αὕτη δὲ τῶν θεωρητικῶν. ἀπορήσειε γὰρ ἄν τις πό-
τερόν ποθ' ἡ πρώτη φιλοσοφία καθόλου ἐστίν, ἢ περί τι γέ-
νος καὶ φύσιν τινὰ μίαν. οὐ γὰρ ὁ αὐτὸς τρόπος οὐδ' ἐν
ταῖς μαθηματικαῖς, ἀλλ' ἡ μὲν γεωμετρία καὶ ἀστρολογία
περί τινα φύσιν εἰσίν, ἡ δὲ καθόλου πασῶν κοινή. εἰ μὲν
οὖν μὴ ἔστι τις ἑτέρα οὐσία παρὰ τὰς φύσει συνεστηκυίας, ἡ
φυσικὴ ἂν εἴη πρώτη ἐπιστήμη· εἰ δ' ἔστι τις οὐσία ἀκίνητος,
αὕτη προτέρα, καὶ φιλοσοφία πρώτη, καὶ καθόλου οὕτως
ὅτι πρώτη· καὶ περὶ τοῦ ὄντος ᾗ ὂν ταύτης ἂν εἴη θεωρῆσαι,
καὶ τί ἐστι καὶ τὰ ὑπάρχοντα ᾗ ὄν.

2 Ἀλλ' ἐπεὶ τὸ ὂν τὸ ἁπλῶς λεγόμενον λέγεται πολ-
λαχῶς, ὧν ἓν μὲν ἦν τὸ κατὰ συμβεβηκός, ἕτερον δὲ τὸ
ὡς ἀληθές, καὶ τὸ μὴ ὂν ὡς τὸ ψεῦδος, παρὰ ταῦτα δ'
ἐστὶ τὰ σχήματα τῆς κατηγορίας, οἷον τὸ μὲν τί, τὸ δὲ
ποιόν, τὸ δὲ ποσόν, τὸ δὲ πού, τὸ δὲ ποτέ, καὶ εἴ τι ἄλλο
1026b σημαίνει τὸν τρόπον τοῦτον· ἔτι παρὰ ταῦτα πάντα τὸ δυ-

9. μέντοι] μὲν οὖν *Eas*. | 10. τί om *F*[b]. | ἀκίνητον καὶ ἀΐδιον *ETias*. | 12. μαθηματικῆς γε ἀλλ' ἑτέρας προτέρας *A*[b]. | 15. ὡς om *T*. | *sed ut materia i*. | 17. μὲν om *F*[b]. | εἶναι om *E*. | 18. θείων] αἰσθητῶν *T* et γρ Alex. | 21. post ὑπάρχει colon *cb*. | δεῖ] ἀεὶ *A*[b]. | 24. τι om *as*. | 25. τινὰ add *A*[b] et fort. Alex, ceteri et *c* om. | *non enim idem modus atque in mathem. i*. | 27. post φύσιν add ἰδίαν *as*. | ἡ] ἐκείνη *ETas*. | γρ καὶ πᾶσι rc *E*. | 30. post προτέρα non distinguunt *cb*. | καὶ ἡ φιλοσοφία *T*, fort. recte. | post πρώτη punctum *c*. | 32. ὑπάρχοντα καθόλου ᾗ *as*. | 33. λέγεται καὶ πολλαχῶς *H*[b]. | 35. τὸ post ὡς om *E*, legendum suspicor τὸ ὡς ψ. | 37. τὸ δὲ ποσὸν om *T*.

Digitized by Google

124 νάμει καὶ ἐνεργείᾳ· ἐπεὶ δὴ πολλαχῶς λέγεται τὸ ὄν, πρῶτον περὶ τοῦ κατὰ συμβεβηκὸς λεκτέον, ὅτι οὐδεμία ἐστὶ περὶ αὐτὸ θεωρία. σημεῖον δέ· οὐδεμιᾷ γὰρ ἐπιστήμῃ ἐπιμελὲς περὶ αὐτοῦ οὔτε πρακτικῇ οὔτε ποιητικῇ οὔτε θεωρητικῇ. οὔτε γὰρ ὁ ποιῶν οἰκίαν ποιεῖ ὅσα συμβαίνει ἅμα τῇ οἰκίᾳ γιγνομένῃ· ἄπειρα γάρ ἐστιν· τοῖς μὲν γὰρ ἡδεῖαν, τοῖς δὲ βλαβεράν, τοῖς δ' ὠφέλιμον οὐθὲν εἶναι κωλύει τὴν ποιηθεῖσαν, καὶ ἑτέραν ὡς εἰπεῖν πάντων τῶν ὄντων· ὧν οὐθενός ἐστιν ἡ οἰκοδομικὴ ποιητική. τὸν αὐτὸν δὲ τρόπον οὐδ' ὁ γεωμέτρης θεωρεῖ τὰ οὕτω συμβεβηκότα τοῖς σχήμασιν, οὐδ' εἰ ἕτερόν ἐστι τρίγωνον καὶ τρίγωνον δύο ὀρθὰς ἔχον. καὶ τοῦτο εὐλόγως συμπίπτει· ὥσπερ γὰρ ὄνομά τι μόνον τὸ συμβεβηκός ἐστιν. διὸ Πλάτων τρόπον τινὰ οὐ κακῶς τὴν σοφιστικὴν περὶ τὸ μὴ ὂν ἔταξεν. εἰσὶ γὰρ οἱ τῶν σοφιστῶν λόγοι περὶ τὸ συμβεβηκὸς ὡς εἰπεῖν μάλιστα πάντων, πότερον ἕτερον ἢ ταὐτὸν μουσικὸν καὶ γραμματικόν, καὶ μουσικὸς Κορίσκος καὶ Κορίσκος, καὶ εἰ πᾶν ὃ ἂν ᾖ, μὴ ἀεὶ δέ, γέγονεν, ὥστ' εἰ μουσικὸς ὢν γραμματικὸς γέγονε, καὶ γραμματικὸς ὢν μουσικός, καὶ ὅσοι δὴ ἄλλοι τοιοῦτοι τῶν λόγων εἰσίν· φαίνεται γὰρ τὸ συμβεβηκὸς ἐγγύς τι τοῦ μὴ ὄντος. δῆλον δὲ καὶ ἐκ τῶν τοιούτων λόγων· τῶν μὲν γὰρ ἄλλον τρόπον ὄντων ἔστι γένεσις καὶ φθορά, τῶν δὲ κατὰ συμβεβηκὸς οὐκ ἔστιν. ἀλλ' ὅμως λεκτέον ἔτι περὶ τοῦ συμβεβηκότος ἐφ' ὅσον ἐνδέχεται, τίς ἡ φύσις αὐτοῦ καὶ διὰ τίν' αἰτίαν ἐστίν· ἅμα γὰρ δῆλον ἴσως ἔσται καὶ διὰ τί ἐπιστήμη οὐκ ἔστιν αὐτοῦ. ἐπεὶ οὖν ἐστὶν ἐν τοῖς οὖσι τὰ μὲν ἀεὶ ὡσαύτως ἔχοντα καὶ ἐξ ἀνάγκης, οὐ τῆς κατὰ τὸ βίαιον λεγομένης ἀλλ' ἣν λέγομεν τῷ μὴ ἐνδέχεσθαι ἄλλως, τὰ δ'
125 ἐξ ἀνάγκης μὲν οὐκ ἔστιν οὐδ' ἀεί, ὡς δ' ἐπὶ τὸ πολύ, αὕτη ἀρχὴ καὶ αὕτη αἰτία ἐστὶ τοῦ εἶναι τὸ συμβεβηκός· ὃ γὰρ

1026b 2. καὶ τὸ ἐνεργείᾳ $A^b$. | ἐπεὶ δὴ de coni. scripsi, ἐπειδὴ ET, ἐπειδὴ οὖν Alex, *cum itaque* i, ἐπεὶ δὲ ascb. | 3. περὶ αὐτό ἐστι ETas. | 9. *ob eas res omnes esse aliam* i. | 10. δὲ om T. | 11. θεωρεῖ post σχήμασιν $B^bC^bF^b$. | 12. ἐστι τὸ τρίγωνον as. | καὶ τρίγωνον om S. | 13. ὄνομά τι $H^b$ Alex, ὀνόματι iascb. | τὸ κατὰ συμβ. Alex. | 14. περὶ τὴν σοφ. τὸ μὴ ὂν iasc. | 17. καὶ γρ.] ἢ γρ. $A^b$. | 18. καὶ Κορίσκος om E. | 25. ὅσων T. | 26. ἴσως] εἴγ' T, om $H^b$. | ἔσται ἴσως as. | 29. τῷ] τὸ $TH^b$. | 30. οὐθ' ὡς ἐπὶ as. | post πολύ addendum coniicit τὸ δ' οὐδ' ὡς ἐπὶ τὸ πολὺ Spengel, dubito num recte. | 31. αὕτη αἰτία] *huius causa* i.



Digitized by Google

*ἂν ᾖ μήτ' ἀεὶ μήθ' ὡς ἐπὶ τὸ πολύ, τοῦτό φαμεν συμβεβηκὸς εἶναι. οἷον ἐπὶ κυνὶ ἂν χειμὼν γένηται καὶ ψῦχος, τȣ̃το συμβῆναί φαμεν, ἀλλ' οὐκ ἂν πνῖγος καὶ ἀλέα, ὅτι τὸ μὲν ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολύ, τὸ δ' οὔ. καὶ τὸν ἄνθρωπον λευκὸν εἶναι συμβέβηκεν (ȣ̓́τε γὰρ ἀεὶ ȣ̓́θ' ὡς ἐπὶ τὸ πολύ), ζῷον δ' ȣ̓ κατὰ συμβεβηκός. καὶ τὸ ὑγιάζειν δὲ τὸν οἰκο-* 1027*a* *δόμον κατὰ συμβεβηκός, ὅτι ȣ̓ πέφυκε τȣ̃το ποιεῖν οἰκοδόμος ἀλλ' ἰατρός, ἀλλὰ συνέβη ἰατρὸν εἶναι τὸν οἰκοδόμον. καὶ ὀψοποιὸς ἡδονῆς ϛοχαζόμενος ποιήσειεν ἄν τι ὑγιεινόν, ἀλλ' οὐ κατὰ τὴν ὀψοποιητικήν· διὸ συνέβη φαμέν, καὶ ἔϛιν ὡς ποιεῖ, ἁπλῶς δ' ȣ̓́. τῶν μὲν γὰρ ἄλλων ἐνίοτε δυνάμεις εἰσὶν αἱ ποιητικαί, τῶν δ' ȣ̓δεμία τέχνη ȣ̓δὲ δύναμις ὡρισμένη· τῶν γὰρ κατὰ συμβεβηκὸς ὄντων ἢ γινομένων καὶ τὸ αἴτιόν ἐϛι κατὰ συμβεβηκός. ὥϛ' ἐπειδὴ οὐ πάντα ἐστὶν ἐξ ἀνάγκης καὶ ἀεὶ ἢ ὄντα ἢ γινόμενα, ἀλλὰ τὰ πλεῖϛα ὡς ἐπὶ τὸ πολύ, ἀνάγκη εἶναι τὸ κατὰ συμβεβηκὸς ὄν· οἷον ȣ̓́τ' ἀεὶ ȣ̓́θ' ὡς ἐπὶ τὸ πολὺ ὁ λευκὸς μουσικός ἐϛιν, ἐπεὶ δὲ γίγνεταί ποτε, κατὰ συμβεβηκὸς ἔϛαι. εἰ δὲ μή, πάντ' ἔϛαι ἐξ ἀνάγκης. ὥϛε ἡ ὕλη ἔσται αἰτία ἡ ἐνδεχομένη παρὰ τὸ ὡς ἐπὶ τὸ πολὺ ἄλλως τȣ̃ συμβεβηκότος. ἀρχὴν δὲ τηνδὶ ληπτέον, πότερον ȣ̓θέν ἐϛιν ȣ̓́τ' αἰεὶ ȣ̓́θ' ὡς ἐπὶ τὸ πολύ, ἢ τοῦτο ἀδύνατον. ἔστιν ἄρα τι παρὰ ταῦτα τὸ ὁπότερ' ἔτυχε καὶ κατὰ συμβεβηκός. ἀλλὰ πότερον τὸ ὡς ἐπὶ τὸ πολύ, τὸ δ' ἀεὶ οὐθενὶ ὑπάρχει, ἢ ἐστὶν ἄττα ἀΐδια; περὶ μὲν οὖν τούτων ὕϛερον σκεπτέον, ὅτι δ' ἐπιϛήμη οὐκ ἔϛι τȣ̃ συμβεβηκότος φανερόν· ἐπιϛήμη μὲν* 126 *γὰρ πᾶσα ἢ τοῦ ἀεὶ ἢ τοῦ ὡς ἐπὶ τὸ πολύ. πῶς γὰρ ἢ μαθήσεται ἢ διδάξει ἄλλον; δεῖ γὰρ ὡρίσθαι ἢ τῷ ἀεὶ ἢ*

32. *εἶναι συμβεβηκός* $H^b$. | 33. *ψῦχος*] *πάγος* $H^b$. | 37. *καὶ τὸ τὸν οἰκοδόμον ὑγείαν ποιῆσαι κ.* *ET*$H^b$*ias*.

1027*a* 1. *κατὰ συμβεβηκός*] *συμβεβηκός* *E* Alex, *συμβέβηκεν* *Tas*. | 3. *ὁ ὀψ.* Alex. | *ἡδονῇ* $A^b$. | *τινι* $A^bH^b$ Alex *c*. | *ὑγίειαν* $H^b$. | 5. *ἄλλαι* *T*$A^b$*ias*. | *δυνάμεις ἐνίοτε* *as*. | *ἐνίοτε* om $H^b$. | ex Alex scribendum suspicor *ἄλλων αἰτίαι τε καὶ δυνάμεις εἰσίν*. | 7. *γενομένων* $A^b$. | 8. *ἐπεὶ* $A^b$ $H^b$ Alex. | 11. *οὔτ'*] *τοῦτ'* *T*. | *πολὺ ἀνάγκη ὁ* *T*. | 13. *πάντες τε ἐξ* *T*. | *ἔσται ἡ ὕλη* $A^b$, *ἡ ὕλη ἐστὶν* $H^b$. | *αἰτία* post 14. *συμβεβηκότος* $A^b$, utrobique *as*. | 14. *τὸ* post *ἐπὶ* om *S*. | *ἄλλως* om $A^bH^b$*c*. | 15. *τὴν δὲ* $A^b$ $H^b$. | 16. *ἔστιν*] *εἴη* $A^b$. | 18. *γρ πότερον τὸ μὲν ὡς* *E* mg. | *οὐθενὶ*] *οὐδὲν* Ascl. | 19. *ἐπισκεπτέον* *T*. | 21. *πᾶσα*] *ὂν ἢ πᾶσα* *T*. | *γὰρ ἂν ἢ* *E*.

Digitized by Google

τῷ ὡς ἐπὶ τὸ πολύ, οἷον ὅτι ὠφέλιμον τὸ μελίκρατον τῷ πυρέττοντι ὡς ἐπὶ τὸ πολύ. τὸ δὲ παρὰ τοῦτο οὐχ ἕξει λέγειν, πότε οὔ, οἷον νουμηνίᾳ· ἢ γὰρ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολὺ καὶ τὸ τῇ νουμηνίᾳ· τὸ δὲ συμβεβηκός ἐστι παρὰ ταῦτα. τί μὲν οὖν ἐστὶ τὸ συμβεβηκὸς καὶ διὰ τίν' αἰτίαν, καὶ ὅτι ἐπιστήμη οὐκ ἔστιν αὐτοῦ, εἴρηται.

3 Ὅτι δ' εἰσὶν ἀρχαὶ καὶ αἴτια γεννητὰ καὶ φθαρτὰ ἄνευ τοῦ γίγνεσθαι καὶ φθείρεσθαι, φανερόν. εἰ γὰρ μὴ τοῦτ', ἐξ ἀνάγκης πάντ' ἔσται, εἰ τοῦ γιγνομένου καὶ φθειρομένου μὴ κατὰ συμβεβηκὸς αἴτιόν τι ἀνάγκη εἶναι. πότερον γὰρ ἔσται τοδὶ ἢ οὔ; ἐάν γε τοδὶ γένηται· εἰ δὲ μή, οὔ. τοῦτο δὲ ἐὰν ἄλλο. καὶ οὕτω δῆλον ὅτι ἀεὶ χρόνου ἀφαιρουμένου
ἀπὸ πεπερασμένου χρόνου ἥξει ἐπὶ τὸ νῦν. ὥστε ὅδε ἀποθα- 1027 b
νεῖται νόσῳ ἢ βίᾳ, ἐάν γε ἐξέλθῃ· τοῦτο δὲ ἐὰν διψήσῃ· τοῦτο δὲ ἐὰν ἄλλο· καὶ οὕτως ἥξει εἰς ὃ νῦν ὑπάρχει, ἢ εἰς τῶν γεγονότων τι· οἷον ἐὰν διψήσῃ· τοῦτο δ' εἰ ἐσθίει δριμέα· τοῦτο δ' ἤτοι ὑπάρχει ἢ οὔ· ὥστ' ἐξ ἀνάγκης ἀποθανεῖται ἢ οὐκ ἀποθανεῖται. ὁμοίως δὲ κἂν ὑπερπηδήσῃ τις εἰς τὰ γενόμενα, ὁ αὐτὸς λόγος· ἤδη γὰρ ὑπάρχει τοῦτο ἔν τινι, λέγω δὲ τὸ γεγονός. ἐξ ἀνάγκης ἄρα πάντα ἔσται τὰ ἐσόμενα, οἷον τὸ ἀποθανεῖν τὸν ζῶντα· ἤδη γάρ τι γέγονεν, οἷον τὰ ἐναντία ἐν τῷ αὐτῷ σώματι· ἀλλ' εἰ νόσῳ ἢ βίᾳ, οὔπω, ἀλλ' ἐὰν τοδὶ γένηται. δῆλον ἄρα ὅτι μέχρι τινὸς βαδίζει ἀρχῆς, αὕτη δ' οὐκέτι εἰς ἄλλο. ἔσται οὖν ἡ τοῦ ὁπότερ' ἔτυχεν αὕτη, καὶ αἴτιον τῆς γενέσεως αὐτῆς οὐθέν.
127 ἀλλ' εἰς ἀρχὴν ποίαν καὶ αἴτιον ποῖον ἡ ἀναγωγὴ ἡ τοιαύτη, πότερον ὡς εἰς ὕλην ἢ ὡς εἰς τὸ οὗ ἕνεκα ἢ ὡς εἰς τὸ κινῆσαν, μάλιστα σκεπτέον.

4 Περὶ μὲν οὖν τοῦ κατὰ συμβεβηκὸς ὄντος ἀφείσθω·

23. ὅτι] τί T. | τῷ πυρέττοντι τὸ μελίκρατον Tas. | 25. οὔ om $A^b$ et fort. Alex, sed retinet Ascl. | γρ ᾗ γὰρ ἀεὶ E mg. | 26. τὸ ante τῇ add E. ex Alex fort. scribendum ᾗ γὰρ ἀεὶ ἢ ὡς ἐπὶ τὸ πολύ, καὶ τῇ νουμηνίᾳ. | 28. αὐτοῦ οὐκ ἔστιν S. | 29. γεννητὰ καὶ φθαρτὰ om $F^b$. | 30. καὶ φθείρεσθαι om $F^b$, sed habet Alex. | 32. μὴ om S. | 33. γὰρ om $H^b$ Alex. | 34. τοῦτο δὲ ἐὰν de coniectura dedi cum i et Cas, τούτου δὲ Alex et γρ E mg, τοῦτο δὲ ascb. | ἄλλου T et E mg.

1027 b 1. χρόνου om Alex. | 2. ἢ νόσῳ ἢ as. | τοῦτο — διψήσῃ om $A^b$i. | 3. ἂν $A^b$. | 8. γένος T. | 9. οἷον] ἢ S. | 10. σώματι om $A^b$. | 12. αὐτὴ ETas. | οὐκ ἔστιν εἰς Tas. | 13. post αὐτῆς add ἄλλο $A^b$cb. | 15. εἰς alterum om $A^b$.

Digitized by Google

διώρισται γὰρ ἱκανῶς. τὸ δὲ ὡς ἀληθὲς ὄν, καὶ μὴ ὂν ὡς ψεῦδος, ἐπειδὴ περὶ σύνθεσίν ἐστι καὶ διαίρεσιν, τὸ δὲ σύνολον περὶ μερισμὸν ἀντιφάσεως (τὸ μὲν γὰρ ἀληθὲς τὴν κατάφασιν ἐπὶ τῷ συγκειμένῳ ἔχει, τὴν δ' ἀπόφασιν ἐπὶ τῷ διῃρημένῳ, τὸ δὲ ψεῦδος τούτου τοῦ μερισμοῦ τὴν ἀντίφασιν· πῶς δὲ τὸ ἅμα ἢ τὸ χωρὶς νοεῖν συμβαίνει, ἄλλος λόγος· λέγω δὲ τὸ ἅμα καὶ τὸ χωρὶς ὥστε μὴ τὸ ἐφεξῆς ἀλλ' ἕν τι γίγνεσθαι)· οὐ γάρ ἐστι τὸ ψεῦδος καὶ τὸ ἀληθὲς ἐν τοῖς πράγμασιν, οἷον τὸ μὲν ἀγαθὸν ἀληθές, τὸ δὲ κακὸν εὐθὺς ψεῦδος, ἀλλ' ἐν διανοίᾳ· περὶ δὲ τὰ ἁπλᾶ καὶ τὰ τί ἐστιν οὐδ' ἐν τῇ διανοίᾳ· ὅσα μὲν οὖν δεῖ θεωρῆσαι περὶ τὸ οὕτως ὂν καὶ μὴ ὄν, ὕστερον ἐπισκεπτέον. ἐπεὶ δὲ ἡ συμπλοκή ἐστι καὶ ἡ διαίρεσις ἐν διανοίᾳ ἀλλ' οὐκ ἐν τοῖς πράγμασι, τὸ δ' οὕτως ὂν ἕτερον ὂν τῶν κυρίως (ἢ γὰρ τὸ τί ἐστιν ἢ ὅτι ποιὸν ἢ ὅτι ποσὸν ἢ εἴ τι ἄλλο συνάπτει ἢ διαιρεῖ ἡ διάνοια), τὸ μὲν ὡς συμβεβηκὸς καὶ τὸ ὡς ἀληθὲς ὂν ἀφετέον· τὸ γὰρ αἴτιον τοῦ μὲν ἀόριστον, τοῦ δὲ τῆς
1028a διανοίας τι πάθος, καὶ ἀμφότερα περὶ τὸ λοιπὸν γένος τοῦ ὄντος, καὶ οὐκ ἔξω δηλοῦσιν οὖσάν τινα φύσιν τοῦ ὄντος. διὸ ταῦτα μὲν ἀφείσθω, σκεπτέον δὲ τοῦ ὄντος αὐτοῦ τὰ αἴτια καὶ τὰς ἀρχὰς ᾗ ὄν. φανερὸν δ' ἐν οἷς διωρισάμεθα περὶ τοῦ ποσαχῶς λέγεται ἕκαστον, ὅτι πολλαχῶς λέγεται τὸ ὄν.

# Z.

Τὸ ὂν λέγεται πολλαχῶς, καθάπερ διειλόμεθα πρό- 128
τερον ἐν τοῖς περὶ τοῦ ποσαχῶς· σημαίνει γὰρ τὸ μὲν τί

19. περὶ $H^b$, περὶ an παρὰ Alex dubium, ceteri παρά. | 20. ἀντιφάσεων *S*. | post ἀντιφάσεως et 23. post ἀντίφασιν et 24. post λόγος punctum, 25. post γίγνεσθαι colon *cb*, 28. post διανοίᾳ punctum *b*. | 21. κατὰ ἐπὶ τῶν συγκειμένων *T*. | τῶν συγκειμένων *as*. | 22. τῶν διῃρημένων *as*. | ὁρισμοῦ *T*. | 23. νοεῖν post δὲ $H^b$. | συμβαίνει νοεῖν Alex. | 24. δὴ $H^b$. | καὶ] ἢ *E*. | τὸ om $A^bF^b$. | τῷ $ESA^bc$. | 25. ψεῦδός τε καὶ *E*. | 27. εὐθὺ $A^b$, om *ETias*. | ἁπλῶς *S*. | 28. τῇ om $TA^b$. | μὲν om $H^b$. | 29. τὸ] τοῦ *a*. | οὕτως] ὄντως $H^b$. | 30. καὶ] ἢ *ES*, om *T*. | ἐν τῇ δ Alex. | 31. κυρίων *ETas*. | 32. εἰ om $A^bc$ et fort. Alex. | 33. διαιρεῖ Alex, ἀφαιρεῖ *ascb*. | ὡς σ.] οὖν σ. *T*. | ἀληθῶς $A^bF^b$ et γρ *E* mg.

1028a 1. περὶ] παρὰ *as*. | 2. τοῦ om $A^b$. | 5. ὅτι — ὄν om $A^b$. post ὄν add *ES* σημαίνει γὰρ τὸ μὲν τί ἐστιν, *E* etiam τοῦτο δοκεῖ ἀτελὲς εἶναι. | 11. πολλαχῶς *as*.

Digitized by Google

ἐϛι καὶ τόδε τι, τὸ δὲ ὅτι ποιὸν ἢ ποσὸν ἢ τῶν ἄλλων ἕκαϛον τῶν ȣ̔́τω κατηγορȣμένων. τοσαυταχῶς δὲ λεγομένȣ τȣ̃ ὄντος φανερὸν ὅτι τȣ́των πρῶτον ὂν τὸ τί ἐϛιν, ὅπερ σημαίνει τὴν ȣ̓σίαν. ὅταν μὲν γὰρ εἴπωμεν ποῖόν τι τόδε, ἢ ἀγαθὸν λέγομεν ἢ κακόν, ἀλλ' ȣ̓ τρίπηχυ ἢ ἄνθρωπον· ὅταν δὲ τί ἐϛιν, οὐ λευκὸν ȣ̓δὲ θερμὸν ȣ̓δὲ τρίπηχυ, ἀλλ' ἄνθρωπον ἢ θεόν. τὰ δ' ἄλλα λέγεται ὄντα τῷ τοῦ οὕτως ὄντος τὰ μὲν ποσότητας εἶναι, τὰ δὲ ποιότητας, τὰ δὲ πάθη, τὰ δὲ ἄλλο τι τοιοῦτον. διὸ κἂν ἀπορήσειέ τις πότερον τὸ βαδίζειν καὶ τὸ ὑγιαίνειν καὶ τὸ καθῆσθαι ἕκαστον αὐτῶν ὂν ἢ μὴ ὄν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ὁτουοῦν τῶν τοιȣ́των· ȣ̓θὲν γὰρ αὐτῶν ἐϛὶν οὔτε καθ' αὑτὸ πεφυκὸς οὔτε χωρίζεσθαι δυνατὸν τῆς οὐσίας, ἀλλὰ μᾶλλον, εἴπερ, τὸ βαδίζον τῶν ὄντων τι καὶ τὸ καθήμενον καὶ τὸ ὑγιαῖνον. ταῦτα δὲ μᾶλλον φαίνεται ὄντα, διότι ἐστί τι τὸ ὑποκείμενον αὐτοῖς ὡρισμένον· τοῦτο δ' ἐϛὶν ἡ οὐσία καὶ τὸ καθ' ἕκαϛον, ὅπερ ἐμφαίνεται ἐν τῇ κατηγορίᾳ τῇ τοιαύτῃ· τὸ ἀγαθὸν γὰρ ἢ τὸ καθήμενον οὐκ ἄνευ τούτου λέγεται. δῆλον οὖν ὅτι διὰ ταύτην κἀκείνων ἕκαϛόν ἐστιν. ὥϛε τὸ πρώτως ὂν καὶ ȣ̓ τὶ ὂν ἀλλ' ὂν ἁπλῶς ἡ ȣ̓σία ἂν εἴη. πολλαχῶς μὲν ȣ̃ν λέγεται τὸ πρῶτον· ὅμως δὲ πάντων ἡ οὐσία πρῶτον καὶ λόγῳ καὶ γνώσει καὶ χρόνῳ. τῶν μὲν γὰρ ἄλλων κατηγορημά-
129 των ȣ̓θὲν χωριστόν, αὕτη δὲ μόνη. καὶ τῷ λόγῳ δὲ τοῦτο πρῶτον· ἀνάγκη γὰρ ἐν τῷ ἑκάϛȣ λόγῳ τὸν τῆς ȣ̓σίας ἐνυπάρχειν. καὶ εἰδέναι τότ' οἰόμεθα ἕκαϛον μάλιϛα, ὅταν τί ἐϛιν ὁ ἄνθρωπος γνῶμεν ἢ τὸ πῦρ, μᾶλλον ἢ τὸ ποιὸν ἢ τὸ ποσὸν ἢ τὸ πȣ̃, ἐπεὶ καὶ αὐτῶν τούτων τότε ἕκαϛον ἴσμεν, 1028b
ὅταν τί ἐστι τὸ ποσὸν ἢ τὸ ποιὸν γνῶμεν. καὶ δὴ καὶ τὸ πάλαι τε καὶ νῦν καὶ ἀεὶ ζητȣ́μενον καὶ ἀεὶ ἀπορούμενον, τί τὸ ὄν, τοῦτό ἐϛι τίς ἡ οὐσία. τοῦτο γὰρ οἱ μὲν ἓν εἶναι

12. ὅτι om *A*[b]. | 14. τὸ om *T*. | 16. καλὸν *A*[b]*F*[b]. | 18. ὄντα fort. om Alex p. 425, 23. 26. | τῷ] τὸ *T*. | οὕτως] ὄντως *Tis*. | 19. εἶναι ποσότητες Alex. | ποιότητες Alex. | 20. τοιοῦτον om *A*[b]. | καὶ *TA*[b]. | 21. τὸ καθῆσθαι om Alex, ante ἕκαστον add *et i*. | ἢ μὴ ὂν] σημαίνει *A*[b]. | 25. τι om *A*[b]*F*[b]*c*. | 28. ἐν τῇ τοιαύτῃ κ. Alex. | 32. πάντως *A*[b] *E* mg. | πρῶτον καὶ φύσει καὶ *H*[b]. | 33. post χρόνῳ add καὶ φύσει *ias*. | 35. ἑκάστω *T*. | οὐσίας λόγον ἐνυπάρχειν *ETas*. | 36. post εἰδέναι add δὲ *as*. | τοῦτο *T*. | 37. τὸ ante πῦρ om *A*[b].

1028b 2. ἐστι] ἐστιν ἢ *ET*. | εἰδῶμεν *ET*, ἴδωμεν *as*. | 3. καὶ νῦν om *E*. | 4. ἡ om *Tas*.

Digitized by Google

φασιν, οἱ δὲ πλείω ἢ ἕν, καὶ οἱ μὲν πεπερασμένα, οἱ δὲ ἄπειρα. διὸ καὶ ἡμῖν καὶ μάλιστα καὶ πρῶτον καὶ μόνον ὡς εἰπεῖν περὶ τοῦ οὕτως ὄντος θεωρητέον τί ἐστιν.

2 Δοκεῖ δ' ἡ οὐσία ὑπάρχειν φανερώτατα μὲν τοῖς σώμασιν· διὸ τά τε ζῷα καὶ τὰ φυτὰ καὶ τὰ μόρια αὐτῶν οὐσίας εἶναί φαμεν, καὶ τὰ φυσικὰ σώματα, οἷον πῦρ καὶ ὕδωρ καὶ γῆν καὶ τῶν τοιούτων ἕκαστον, καὶ ὅσα ἢ μόρια τούτων ἢ ἐκ τούτων ἐστίν, ἢ μορίων ἢ πάντων, οἷον ὅ τε οὐρανὸς καὶ τὰ μόρια αὐτοῦ, ἄστρα καὶ σελήνη καὶ ἥλιος. πότερον δὲ αὗται μόναι οὐσίαι εἰσὶν ἢ καὶ ἄλλαι, ἢ τούτων μὲν οὐθὲν ἕτεραι δέ τινες, σκεπτέον. δοκεῖ δέ τισι τὰ τοῦ σώματος πέρατα, οἷον ἐπιφάνεια καὶ γραμμὴ καὶ στιγμὴ καὶ μονάς, εἶναι οὐσίαι, καὶ μᾶλλον ἢ τὸ σῶμα καὶ τὸ στερεόν. ἔτι παρὰ τὰ αἰσθητὰ οἱ μὲν οὐκ οἴονται εἶναι οὐθὲν τοιοῦτον, οἱ δὲ πλείω καὶ μᾶλλον ὄντα ἀΐδια, ὥσπερ Πλάτων τά τε εἴδη καὶ τὰ μαθηματικὰ δύο οὐσίας, τρίτην δὲ τὴν τῶν αἰσθητῶν σωμάτων οὐσίαν. Σπεύσιππος δὲ καὶ πλείους οὐσίας ἀπὸ τοῦ ἑνὸς ἀρξάμενος, καὶ ἀρχὰς ἑκάστης 130
οὐσίας ἄλλην μὲν ἀριθμῶν, ἄλλην δὲ μεγεθῶν, ἔπειτα ψυχῆς· καὶ τοῦτον δὴ τὸν τρόπον ἐπεκτείνει τὰς οὐσίας. ἔνιοι δὲ τὰ μὲν εἴδη καὶ τοὺς ἀριθμοὺς τὴν αὐτὴν ἔχειν φασὶ φύσιν, τὰ δὲ ἄλλα ἐχόμενα, γραμμὰς καὶ ἐπίπεδα, μέχρι πρὸς τὴν τοῦ οὐρανοῦ οὐσίαν καὶ τὰ αἰσθητά. περὶ δὴ τούτων τί λέγεται καλῶς ἢ μὴ καλῶς, καὶ τίνες εἰσὶν οὐσίαι, καὶ πότερον εἰσί τινες παρὰ τὰς αἰσθητὰς ἢ οὐκ εἰσί, καὶ αὗται πῶς εἰσί, καὶ πότερον ἔστι τις χωριστὴ οὐσία, καὶ διὰ τί καὶ πῶς, ἢ οὐδεμία παρὰ τὰς αἰσθητάς, σκεπτέον, ὑποτυπωσαμένοις τὴν οὐσίαν πρῶτον τί ἐστιν.

3 Λέγεται δ' ἡ οὐσία, εἰ μὴ πλεοναχῶς, ἀλλ' ἐν τέτταρσί γε μάλιστα· καὶ γὰρ τὸ τί ἦν εἶναι καὶ τὸ καθόλου καὶ τὸ γένος οὐσία δοκεῖ εἶναι ἑκάστου, καὶ τέταρτον τούτων τὸ ὑποκείμενον. τὸ δ' ὑποκείμενόν ἐστι καθ' οὗ τὰ ἄλλα λέγε-

6. μόνως Alex. | 8. δ' ἡ] δὴ *T*. | μὲν ἐν τοῖς fort. Alex. | 11. ἢ] δὴ *A*[b]. | μορίων] μόριον *as*, τινῶν fort. Alex. | 14. αὐταὶ *E*. | εἰσὶν οὐσίαι *H*[b]. | post ἄλλαι *ET* Ascl *c* ἢ τούτων τινὲς ἢ καὶ ἄλλαι (vel ἄλλων), *A*[b] τινὲς καὶ ἄλλων ἢ τούτων. | 17. τῶ σῶμα ἢ τὸ *T*. | 20. τρίτην — 22. ἑνὸς om pr *T*. | 21. καὶ om *A*[b]. | 23. μεγεθῶν καὶ ἔπειτα *T*. | 27. δὲ *ETas*. | 28. ἢ μὴ καλῶς om *as*. | 32. πρῶτον τὴν οὐσίαν *as*. | πρῶτον fort. om Alex. | 33. δ' ἡ] δὴ *Tas*, δὲ *A*[b]. | 34. ἦν om *T*. | 35. ἡ οὐσία *as*.

Digitized by Google

ται, ἐκεῖνο δὲ αὐτὸ μηκέτι κατ' ἄλλου. διὸ πρῶτον περὶ τούτου διοριστέον· μάλιστα γὰρ δοκεῖ εἶναι οὐσία τὸ ὑποκείμενον 1029*a*
πρῶτον. τοιοῦτον δὲ τρόπον μέν τινα ἡ ὕλη λέγεται, ἄλλον δὲ τρόπον ἡ μορφή, τρίτον δὲ τὸ ἐκ τούτων. λέγω δὲ τὴν μὲν ὕλην οἷον τὸν χαλκόν, τὴν δὲ μορφὴν τὸ σχῆμα τῆς ἰδέας, τὸ δ' ἐκ τούτων τὸν ἀνδριάντα τὸ σύνολον. ὥστε εἰ τὸ εἶδος τῆς ὕλης πρότερον καὶ μᾶλλον ὄν, καὶ τοῦ ἐξ ἀμφοῖν πρότερον ἔσται διὰ τὸν αὐτὸν λόγον. νῦν μὲν οὖν τύπῳ εἴρηται τί ποτ' ἐστὶν ἡ οὐσία, ὅτι τὸ μὴ καθ' ὑποκειμένου ἀλλὰ καθ' οὗ τὰ ἄλλα. δεῖ δὲ μὴ μόνον οὕτως· οὐ γὰρ ἱκανόν.
131 αὐτό τε γὰρ τοῦτο ἄδηλον, καὶ ἔτι ἡ ὕλη οὐσία γίνεται. εἰ γὰρ μὴ αὕτη οὐσία, τίς ἐστιν ἄλλη διαφεύγει. περιαιρουμένων γὰρ τῶν ἄλλων οὐ φαίνεται οὐθὲν ὑπομένον. τὰ μὲν γὰρ ἄλλα τῶν σωμάτων πάθη καὶ ποιήματα καὶ δυνάμεις, τὸ δὲ μῆκος καὶ πλάτος καὶ βάθος ποσότητές τινες ἀλλ' οὐκ οὐσίαι· τὸ γὰρ ποσὸν οὐκ οὐσία, ἀλλὰ μᾶλλον ᾧ ὑπάρχει ταῦτα πρώτῳ, ἐκεῖνό ἐστιν ἡ οὐσία. ἀλλὰ μὴν ἀφαιρουμένου μήκους καὶ πλάτους καὶ βάθους οὐθὲν ὁρῶμεν ὑπολειπόμενον, πλὴν εἴ τι ἔστι τὸ ὁριζόμενον ὑπὸ τούτων, ὥστε τὴν ὕλην ἀνάγκη φαίνεσθαι μόνην οὐσίαν οὕτω σκοπουμένοις. λέγω δ' ὕλην ἣ καθ' αὑτὴν μήτε τὶ μήτε ποσὸν μήτε ἄλλο μηθὲν λέγεται οἷς ὥρισται τὸ ὄν. ἔστι γάρ τι καθ' οὗ κατηγορεῖται τούτων ἕκαστον, ᾧ τὸ εἶναι ἕτερον καὶ τῶν κατηγοριῶν ἑκάστῃ· τὰ μὲν γὰρ ἄλλα τῆς οὐσίας κατηγορεῖται, αὕτη δὲ τῆς ὕλης. ὥστε τὸ ἔσχατον καθ' αὑτὸ οὔτε τὶ οὔτε ποσὸν οὔτε ἄλλο οὐθέν ἐστιν. οὐδὲ δὴ αἱ ἀποφάσεις· καὶ γὰρ αὗται ὑπάρξουσι κατὰ συμβεβηκός. ἐκ μὲν οὖν τούτων θεωροῦσι συμβαίνει οὐσίαν εἶναι τὴν ὕλην. ἀδύνατον δέ· καὶ γὰρ τὸ χωριστὸν καὶ τὸ τόδε τι ὑπάρχειν δοκεῖ μάλιστα τῇ οὐσίᾳ, διὸ τὸ εἶδος καὶ τὸ ἐξ ἀμφοῖν οὐσία δόξειεν ἂν εἶναι μᾶλλον τῆς ὕλης. τὴν μὲν τοίνυν ἐξ ἀμφοῖν οὐσίαν, λέγω δὲ

1029*a* 1. γὰρ] δὲ *Tas*. | 2. δὴ *S*. | φαίνεται $A^bH^b$. | 3. λέγω δὲ et 5. τὸν om $A^b$. | 5. τὸ ante σύνολον om *i*. | 6. τὸ ἐξ $A^b$*i* Alex. | 9. μὴ $ESA^b$: vulgo οὐ. | 10. τε om $A^b$. | 11. αὐτὴ $A^b$*as*. | ἐστιν] fort. ἔσται. | 13. ποιήματα καὶ] ποιητικαὶ *T*. | 16. ταῦτα αὐτὰ *ETias*. | πρώτως *E Tas*. | ἣ om $A^b$. | μὴν καὶ ἀφαιρουμένου $A^b$. | 19. μόνον *T*. | 20. δὴ $H^b$. | ἣ *Sa*. | μήτε τι] μηκέτι *S*, om $H^b$. | 22. ᾧ] ὥστε $A^b$. | 23. ἑκάστη *as*. | 24. καθαυτὸν *S*. | 26. ὑπάρχουσι *T*. | 28. τὸ om $A^bH^b$. | 29. εἶδος] εἶδος τὸ χωριστὸν $H^b$. | μᾶλλον εἶναι *Tas*. | 30. τοίγε νῦν *T*. | δὴ $H^b$.

Digitized by Google

τὴν ἐκ τῆς ὕλης καὶ τῆς μορφῆς, ἀφετέον· ὑςέρα γὰρ καὶ δήλη. φανερὰ δέ πως καὶ ἡ ὕλη. περὶ δὲ τῆς τρίτης σκεπτέον· αὕτη γὰρ ἀπορωτάτη. ὁμολογοῦνται δ' οὐσίαι εἶναι τῶν αἰσθητῶν τινές, ὥςε ἐν ταύταις ζητητέον πρῶτον.

1029b 4 Ἐπεὶ δ' ἐν ἀρχῇ διειλόμεθα πόσοις ὁρίζομεν τὴν ȣσίαν, καὶ τούτων ἕν τι ἐδόκει εἶναι τὸ τί ἦν εἶναι, θεωρητέον περὶ αὐτοῦ· πρὸ ἔργȣ γὰρ τὸ μεταβαίνειν εἰς τὸ γνωριμώτερον. 132 ἡ γὰρ μάθησις ȣ̈τω γίνεται πᾶσι διὰ τῶν ἧττον γνωρίμων φύσει εἰς τὰ γνώριμα μᾶλλον· καὶ τȣ̃το ἔργον ἐςίν, ὥσπερ ἐν ταῖς πράξεσι τὸ ποιῆσαι ἐκ τῶν ἑκάςῳ ἀγαθῶν τὰ ὅλως ἀγαθὰ ἑκάςῳ ἀγαθά, ȣ̈τως ἐκ τῶν αὐτῷ γνωριμωτέρων τὰ τῇ φύσει γνώριμα αὐτῷ γνώριμα. τὰ δ' ἑκάςοις γνώριμα καὶ πρῶτα πολλάκις ἠρέμα ἐστὶ γνώριμα, καὶ μικρὸν ἢ οὐθὲν ἔχει τȣ̃ ὄντος· ἀλλ' ὅμως ἐκ τῶν φαύλως μὲν γνωστῶν, αὐτῷ δὲ γνωςῶν, τὰ ὅλως γνωςὰ γνῶναι πειρατέον, μεταβαίνοντας, ὥσπερ εἴρηται, διὰ τȣ́των αὐτῶν. καὶ πρῶτον εἴπωμεν ἔνια περὶ αὐτȣ̃ λογικῶς, ὅτι ἔςι τὸ τί ἦν εἶναι ἑκάστῳ ὃ λέγεται καθ' αὐτό. οὐ γάρ ἐστι τὸ σοὶ εἶναι τὸ μουσικῷ εἶναι· οὐ γὰρ κατὰ σαυτὸν εἶ μουσικός. ὃ ἄρα κατὰ σαυτόν. οὐδὲ δὴ τȣ̃το πᾶν· ȣ̓ γὰρ τὸ ȣ̈τως καθ' αὐτὸ ὡς ἐπιφάνεια λευκόν, ὅτι οὐκ ἔστι τὸ ἐπιφανείᾳ εἶναι τὸ λευκῷ εἶναι. ἀλλὰ μὴν οὐδὲ τὸ ἐξ ἀμφοῖν τὸ ἐπιφανείᾳ λευκῇ εἶναι. διὰ τί; ὅτι πρόσεστιν αὐτό. ἐν ᾧ ἄρα μὴ ἐνέςαι λόγῳ αὐτό, λέγοντι αὐτό, ȣ̈τος ὁ λόγος τȣ̃ τί ἦν εἶναι ἑκάςῳ. ὥς' εἰ τὸ ἐπιφανείᾳ λευκῇ εἶναί ἐςι τὸ ἐπιφανείᾳ εἶναι λείᾳ, τὸ λευκῷ καὶ λείῳ εἶναι τὸ αὐτὸ καὶ ἕν. ἐπεὶ δ' ἔστι καὶ κατὰ τὰς ἄλλας κατηγορίας σύνθετα (ἔςι γάρ

31. ἐκ] ἔκ τε $A^b$cb. | γὰρ] δὲ S. | 32. καὶ ante ἡ om T. | 33. αὐτὴ as.
1029b 1. ἐπεὶ δ' — 3. αὐτοῦ ponenda videntur post 12. τούτων αὐτῶν. | ἐπειδὴ ἐν $H^b$. | ὁριζόμεθα $H^b$. | 2. δοκεῖ ETias. | 4. πᾶσι om $H^b$. | ante ἧττον fort. add πρώτων τῶν Alex. | 5. τῇ φύσει $H^b$ et fort. Alex. | τοῦτο] τὸ αὐτὸ ET. | 6. ἐν ταῖς] ἐνίαις $A^b$. | ἑκάστου $H^b$. | 7. αὐτῶν as. | 8. αὐτῷ γνώριμα om $A^b$. | 9. ἐστὶ add $A^b$ Alex. | 10. ὅμως δ' Alex. | γνωριστῶν T$A^b$asc. | 11. αὐτῶν as. | αὐτῷ δὲ γνωστῶν om E. | 12. μεταβαίνοντα $A^b$, μεταβαίνοντες a. | 14. ἑκάστῳ de coniect. dedi, ἕκαστον ascb, εἶναι ὃ λέγεται ἕκαστον Alex, fort. recte. | 15. ὃ] ὁ a. | ὃ ἄρα κ. σαυτόν om $A^b$. | 17. ἐπιφανεία λευκόν γρ E mg. | λευκή as. | ἐπιφάνεια a. | 18. λευκὸν $A^b$. | ἐπιφάνεια λευκὴ $A^b$a. | εἶναι διὰ τί om $A^b$. | 19. αὐτό $A^b$ Alex, αὐτή (vel αὔτη) γρ Alex: ceteri αὕτη. | 20. ἐνέσται] ἔστι Alex, fort. ἔνεστι. | αὐτό post λόγῳ om $A^b$. | 21. ἐπιφάνεια λευκὴ et ἐπιφάνεια εἶναι λεία $A^b$. | 22. τὸ λευκῷ] εἶναι ἀεὶ τὸ λευκῷ T, τῷ λευκῷ a. | 23. καὶ om T.

Digitized by Google

τι ὑποκείμενον ἑκάστῳ, οἷον τῷ ποιῷ καὶ τῷ ποσῷ καὶ τῷ ποτὲ καὶ τῷ ποῦ καὶ τῇ κινήσει), σκεπτέον ἆρ' ἔστι λόγος τοῦ τί ἦν εἶναι ἑκάστῳ αὐτῶν, καὶ ὑπάρχει καὶ τούτοις τὸ τί ἦν
133 εἶναι, οἷον λευκῷ ἀνθρώπῳ τί ἦν λευκῷ ἀνθρώπῳ. ἔστω δὴ ὄνομα αὐτῷ ἱμάτιον. τί ἐστι τὸ ἱματίῳ εἶναι; ἀλλὰ μὴν οὐδὲ τῶν καθ' αὑτὸ λεγομένων οὐδὲ τοῦτο. ἢ τὸ οὐ καθ' αὑτὸ λέγεται διχῶς, καὶ τούτου ἐστὶ τὸ μὲν ἐκ προσθέσεως, τὸ δὲ οὔ. τὸ μὲν γὰρ τῷ αὐτὸ ἄλλῳ προσκεῖσθαι λέγεται ὃ ὁρίζεται, οἷον εἰ τὸ λευκῷ εἶναι ὁριζόμενος λέγοι λευκοῦ ἀνθρώπου λόγον· τὸ δὲ τῷ ἄλλο αὐτῷ, οἷον εἰ σημαίνοι τὸ ἱμάτιον λευκὸν ἄνθρωπον, ὁ δὲ ὁρίζοι τὸ ἱμάτιον ὡς λευκόν· τὸ δὲ λευκὸς ἄνθρωπος ἔστι μὲν λευκόν, οὐ μέντοι τί ἦν [εἶναι] 1030 a
λευκῷ εἶναι. ἀλλὰ τῷ ἱματίῳ εἶναι ἆρα ἔστι τί ἦν εἶναί τι [ἢ] ὅλως ἢ οὔ; ὅπερ γάρ τόδε τι ἐστὶ τὸ τί ἦν εἶναι· ὅταν δ' ἄλλο κατ' ἄλλου λέγηται, οὐκ ἔστιν ὅπερ τόδε τι, οἷον ὁ λευκὸς ἄνθρωπος οὐκ ἔστιν ὅπερ τόδε τι, εἴπερ τὸ τόδε τι ταῖς οὐσίαις ὑπάρχει μόνον. ὥστε τὸ τί ἦν εἶναί ἐστιν ὅσων ὁ λόγος ἐστὶν ὁρισμός. ὁρισμὸς δ' ἐστὶν οὐκ ἂν ὄνομα λόγῳ ταὐτὸ σημαίνῃ (πάντες γὰρ ἂν εἶεν οἱ λόγοι ὅροι· ἔσται γὰρ ὄνομα ὁτῳοῦν λόγῳ ταὐτόν, ὥστε καὶ ἡ Ἰλιὰς ὁρισμὸς ἔσται), ἀλλ' ἐὰν πρώτου τινὸς ᾖ· τοιαῦτα δ' ἐστὶν ὅσα λέγεται μὴ τῷ ἄλλο κατ' ἄλλου λέγεσθαι. οὐκ ἔσται ἄρα οὐθενὶ τῶν μὴ γένους εἰδῶν ὑπάρχον τὸ τί ἦν εἶναι, ἀλλὰ τούτοις μόνον· ταῦτα γὰρ δοκεῖ οὐ κατὰ μετοχὴν λέγεσθαι καὶ πάθος, οὐδ' ὡς συμβεβηκός· ἀλλὰ λόγος μὲν ἔσται ἑκάστου καὶ τῶν ἄλλων τί σημαίνει, ἐὰν ᾖ ὄνομα, ὅτι τόδε τῷδε

24. τῷ ante ποσῷ om Alex. | καὶ τ. ποσῷ om *as*. | 26. ἑκάστῳ εἶναι αὐτῶν *E* et, omisso αὐτῶν, *as*, ἑκάστου αὐτῶν εἶναι *T*. | 27. post ἦν adde εἶναι. | τί ἦν λ. ἀνθρώπῳ om $A^b$. | 28. αὐτὸ $A^b$. | 29. οὐδὲ om $A^b$. | λεγομένων οὐδὲ τοῦτο om *T*. | 30. ἐστί τι τὸ *ETas*. | προθέσεως *a*. | 31. τῷ] τὸ *S*. | 32. τῶ *ST*. | 33. σημαίνει *Tas*. | 34. ὁρίζει *as*. | post λευκόν punctum *cb*.

1030 a 1. τὸ δὲ *Tias*, τὸ δὴ *cb*. | 2. εἶναι] ἀνθρώπῳ *Tas*. | ante ἀλλὰ comma, ante ἆρα punctum *iascb* Alex. | τῷ ἱματίῳ de coniectura dedi, τὸ ἱματίῳ *iascb*, τὸ ἱμάτιον fort. Alex, ἆρα τοῦ ἱματίου, τουτέστι τοῦ συνθέτου, ἐστὶν ὁρισμὸς ἢ οὐκ ἔστιν Ascl. | ἔστι τὸ τί $F^b$*as*. | 3. signum interrogandi fort. post ὅλως ponendum. | γὰρ τόδε τι Alex, γάρ τι $A^b$ et γρ *E*, γάρ τι ἦν εἶναι *iascb*. | 4. οἷον — 5. ὅπερ τόδε τι om $TA^b$. | 5. τι om $EA^bc$. | 6. ὁ λόγος ὅσων *T*. | 7. λ. ὁρισμός ἐστιν Alex. | 8. σημαῖνον *as*. | 9. ταὐτόν om $A^bH^b$. | 10. ᾖ om $A^b$. | 11. κατ' ἄλλου om $A^bF^b$. | 15. post ὄνομα non distinguunt *cb*.

Digitized by Google

ὑπάρχει, ἢ ἀντὶ λόγου ἁπλοῦ ἀκριβέστερος· ὁρισμὸς δ' οὐκ
ἔσται οὐδὲ τὸ τί ἦν εἶναι. ἢ καὶ ὁ ὁρισμὸς ὥσπερ καὶ τὸ τί
ἐστι πλεοναχῶς λέγεται· καὶ γὰρ τὸ τί ἐστιν ἕνα μὲν τρό-
πον σημαίνει τὴν οὐσίαν καὶ τὸ τόδε τι, ἄλλον δὲ ἕκαστον 134
τῶν κατηγορουμένων, ποσόν, ποιὸν καὶ ὅσα ἄλλα τοιαῦτα.
ὥσπερ γὰρ καὶ τὸ ἔστιν ὑπάρχει πᾶσιν ἀλλ' οὐχ ὁμοίως,
ἀλλὰ τῷ μὲν πρώτως τοῖς δ' ἑπομένως, οὕτω καὶ τὸ τί ἐστιν
ἁπλῶς μὲν τῇ οὐσίᾳ πῶς δὲ τοῖς ἄλλοις· καὶ γὰρ τὸ ποιὸν
ἐροίμεθ' ἂν τί ἐστιν, ὥστε καὶ τὸ ποιὸν τῶν τί ἐστι μὲν ἀλλ'
οὐχ ἁπλῶς, ἀλλ' ὥσπερ ἐπὶ τοῦ μὴ ὄντος λογικῶς φασί
τινες εἶναι τὸ μὴ ὂν οὐχ ἁπλῶς ἀλλὰ μὴ ὄν, οὕτω καὶ τὸ
ποιόν. δεῖ μὲν οὖν σκοπεῖν καὶ τὸ πῶς δεῖ λέγειν περὶ ἕκα-
στον, οὐ μὴν μᾶλλόν γε ἢ τὸ πῶς ἔχει. διὸ καὶ νῦν ἐπεὶ τὸ
λεγόμενον φανερόν, καὶ τὸ τί ἦν εἶναι ὁμοίως ὑπάρξει πρώ-
τως μὲν καὶ ἁπλῶς τῇ οὐσίᾳ εἶτα καὶ τοῖς ἄλλοις, ὥσπερ
καὶ τὸ τί ἐστιν, οὐχ ἁπλῶς τί ἦν εἶναι, ἀλλὰ ποιῷ ἢ ποσῷ
τί ἦν εἶναι. δεῖ γὰρ ἢ ὁμωνύμως ταῦτα φάναι εἶναι ὄντα,
ἢ προστιθέντας καὶ ἀφαιροῦντας, ὥσπερ καὶ τὸ μὴ ἐπιστητὸν
ἐπιστητόν, ἐπεὶ τό γε ὀρθόν ἐστι μήτε ὁμωνύμως φάναι
μήτε ὡσαύτως, ἀλλ' ὥσπερ τὸ ἰατρικὸν τῷ πρὸς τὸ αὐτὸ
1030b μὲν καὶ ἕν, οὐ τὸ αὐτὸ δὲ καὶ ἕν, οὐ μέντοι οὐδὲ ὁμωνύμως·
οὐδὲ γὰρ ἰατρικὸν σῶμα καὶ ἔργον καὶ σκεῦος λέγεται οὔτε
ὁμωνύμως οὔτε καθ' ἕν, ἀλλὰ πρὸς ἕν. ταῦτα μὲν οὖν
ὁποτέρως τις ἐθέλει λέγειν διαφέρει οὐθέν· ἐκεῖνο δὲ φανερὸν
ὅτι ὁ πρώτως καὶ ἁπλῶς ὁρισμὸς καὶ τὸ τί ἦν εἶναι τῶν
οὐσιῶν ἐστίν. οὐ μὴν ἀλλὰ καὶ τῶν ἄλλων ὁμοίως ἐστί, πλὴν
οὐ πρώτως. οὐ γὰρ ἀνάγκη, ἂν τοῦτο τιθῶμεν, τούτου ὁρισμὸν
εἶναι ὃ ἂν λόγῳ τὸ αὐτὸ σημαίνῃ, ἀλλὰ τινὶ λόγῳ. τοῦτο
δ' ἐὰν ἑνὸς ᾖ, μὴ τῷ συνεχεῖ ὥσπερ ἡ Ἰλιὰς ἢ ὅσα συν-
δέσμῳ, ἀλλ' ἐὰν ὁσαχῶς λέγεται τὸ ἕν. τὸ δ' ἓν λέγεται
ὥσπερ τὸ ὄν· τὸ δὲ ὂν τὸ μὲν τόδε τι, τὸ δὲ ποσόν, τὸ δὲ 135

17. ὁ om Alex. | 21. τὸ τί ἐστιν *TA^b as* Alex. | 22. τὸ μὲν *a*. | 23. τοῖς ἄλλοις et γὰρ τὸ om *A^b*. | 24. τῶν] τὸ *S*. | 27. τὸ om Alex. | ἑκάστου *T*, ἕκαστα Alex. | 31. post ἐστιν comma *as* Alex, comma om *cb*. | 32. εἶναι post φάναι om Alex. | 35. τὸ post πρὸς om *Tas*.

1030b 2. οὐδὲν *ETias*. | γὰρ τὸ Alex. | καὶ ἔργον fort. om Alex. | 3. ταῦτα μὲν οὖν] ἀλλὰ ταῦτα μὲν *A^bcb*: ceteri τ. μ. οὖν. | 4. θέλει *E Tas*. | διαφέροι *A^b*. | 5. πρῶτος *A^b*. | 6. ὅμως *A^b*, omissis ἐστί, πλὴν οὐ πρώτως. | 8. ὃ ἐὰν λόγῳ *Tas*, ὃ ἂν ὄνομα λόγῳ fort. Alex. | τῷ αὐτῷ *T*. | 9. ᾖ om *A^b*. | ὅσαι *E*. | 10. λέγηται *ES*.

Digitized by Google

ποιόν τι σημαίνει. διὸ καὶ λευκοῦ ἀνθρώπου ἔσται λόγος καὶ ὁρισμός· ἄλλον δὲ τρόπον καὶ τοῦ λευκοῦ καὶ οὐσίας.

5 Ἔχει δ' ἀπορίαν, ἐάν τις μὴ φῇ ὁρισμὸν εἶναι τὸν ἐκ προσθέσεως λόγον, τίνος ἔσται ὁρισμὸς τῶν οὐχ ἁπλῶν ἀλλὰ συνδεδυασμένων; ἐκ προσθέσεως γὰρ ἀνάγκη δηλοῦν. λέγω δ' οἷον, ἔστι ῥὶς καὶ κοιλότης, καὶ σιμότης τὸ ἐκ τῶν δυοῖν λεγόμενον, τῷ τόδε ἐν τῷδε, καὶ οὐ κατὰ συμβεβηκός γε οὔθ' ἡ κοιλότης οὔθ' ἡ σιμότης πάθος τῆς ῥινός, ἀλλὰ καθ' αὑτήν· οὐδ' ὡς τὸ λευκὸν Καλλίᾳ ἢ ἀνθρώπῳ, ὅτι Καλλίας λευκὸς ᾧ συμβέβηκεν ἀνθρώπῳ εἶναι, ἀλλ' ὡς τὸ ἄρρεν τῷ ζῴῳ καὶ τὸ ἴσον τῷ ποσῷ καὶ πάνθ' ὅσα λέγεται καθ' αὑτὰ ὑπάρχειν. ταῦτα δ' ἐστὶν ἐν ὅσοις ὑπάρχει ἢ ὁ λόγος ἢ τοὔνομα, οὗ ἐστὶ τοῦτο τὸ πάθος, καὶ μὴ ἐνδέχεται δηλῶσαι χωρίς, ὥσπερ τὸ λευκὸν ἄνευ τοῦ ἀνθρώπου ἐνδέχεται, ἀλλ' οὐ τὸ θῆλυ ἄνευ τοῦ ζῴου. ὥστε τούτων τὸ τί ἦν εἶναι καὶ ὁ ὁρισμὸς ἢ οὐκ ἔστιν οὐθενὸς ἢ ἔστιν ἄλλως, καθάπερ εἰρήκαμεν. ἔστι δ' ἀπορία καὶ ἑτέρα περὶ αὐτῶν. εἰ μὲν γὰρ τὸ αὐτό ἐστι σιμὴ ῥὶς καὶ κοίλη ῥίς, τὸ αὐτὸ ἔσται τὸ σιμὸν καὶ τὸ κοῖλον· εἰ δὲ μὴ διὰ τὸ ἀδύνατον εἶναι εἰπεῖν τὸ σιμὸν ἄνευ τοῦ πράγματος οὗ ἐστὶ πάθος καθ' αὑτό (ἔστι γὰρ τὸ σιμὸν κοιλότης ἐν ῥινί), τὸ ῥῖνα σιμὴν εἰπεῖν ἢ οὐκ ἔστιν ἢ δὶς τὸ αὐτὸ ἔσται εἰρημένον, ῥὶς ῥὶς κοίλη· ἡ γὰρ ῥὶς ἡ σιμὴ ῥὶς ῥὶς κοίλη ἔσται. διὸ ἄτοπον τὸ ὑπάρχειν τοῖς τοιούτοις τὸ τί ἦν εἶναι· εἰ δὲ μή, εἰς ἄπειρον εἶσιν· ῥινὶ γὰρ ῥινὶ σιμῇ ἔτι ἄλλο ἐνέσται. δῆλον τοίνυν ὅτι μόνης τῆς οὐσίας ἐστὶν ὁ ὁρι- 1031*a*
136 σμός. εἰ γὰρ καὶ τῶν ἄλλων κατηγοριῶν, ἀνάγκη ἐκ προσθέσεως εἶναι, οἷον τοῦ ποιοῦ καὶ περιττοῦ· οὐ γὰρ ἄνευ ἀριθμοῦ, οὐδὲ τὸ θῆλυ ἄνευ ζῴου. τὸ δ' ἐκ προσθέσεως λέγω ἐν οἷς

13. δὲ et τοῦ om $A^b$. | 15. προθέσεως $TF^b$. | ἔσται ὁ ὁρισμὸς $A^b$. | 17. τῶν] τοῖν *Tas*, om Alex. | 18. τῷ om *ET*. | κατὰ om *Tas*. | post συμβεβηκός γε punctum *sc*. | 23. αὐτὸ Alex. | 24. τοῦτο πάθος *as*. | 26. ὁ om $A^bF^b$, fort. recte. | 27. ἢ ἔστιν] ἢ εἰ ἔστιν *Tas*. | ἀλλ' ὡς καθάπερ *T*, ἀλλὰ καθάπερ Alex *as*. | 28. δὲ καὶ ἑτέρα ἀπορία $H^b$. | 29. ἐστι καὶ σιμὴ ῥ. *as*. | 31. ἄνευ] καὶ ἄνευ *as*. | ἔστι γὰρ] καὶ ἔστι *ET*, καὶ ἔσται *ias*. | 33. εἰρημένον] εἰρημένον σιμὴ ῥὶς εἰ $A^bH^b$, omissis ῥὶς ῥὶς — κοίλη. | 34. ῥὶς om *Tas*. | 35. μὴ] καὶ *T*. | ῥῖν $A^b$, ῥινῇ $SB^bC^b$. | ῥινῇ $SB^bC^b$. | σιμὴ $A^ba$. | ἔτι om $SA^bB^bC^bi$.

1031*a* 1. ἄλλο ἐνέστη *T*, ἄλλο ἔσται $A^b$, om $SB^bC^b$. | μόνον $A^bc$. | ὁ om $TF^bas$. | 3. τοῦ ποιοῦ] fort. τοῦ ἀρτίου. | 4. τὸ θῆλυ] ὁ τοῦ θήλεος *ETias*. | λέγομεν $A^bc$.

Digitized by Google

συμβαίνει δὶς τὸ αὐτὸ λέγειν, ὥσπερ ἐν τȣ́τοις. εἰ δὲ τȣ̃το
ἀληθές, οὐδὲ συνδυαζομένων ἔσται, οἷον ἀριθμοῦ περιττοῦ·
ἀλλὰ λανθάνει ὅτι οὐκ ἀκριβῶς λέγονται οἱ λόγοι. εἰ δ'
εἰσὶ καὶ τούτων ὅροι, ἤτοι ἄλλον τρόπον εἰσὶν ἢ καθάπερ
ἐλέχθη πολλαχῶς λεκτέον εἶναι τὸν ὁρισμὸν καὶ τὸ τί ἦν
εἶναι. ὥϛε ὡδὶ μὲν ȣ̓θενὸς ἔϛαι ὁρισμός, ȣ̓δὲ τὸ τί ἦν εἶναι
ȣ̓θενὶ ὑπάρξει πλὴν ταῖς οὐσίαις, ὡδὶ δ' ἔϛαι. ὅτι μὲν οὖν
ἐϛὶν ὁ ὁρισμὸς ὁ τȣ̃ τί ἦν εἶναι λόγος, καὶ τὸ τί ἦν εἶναι ἢ
μόνων τῶν οὐσιῶν ἐστὶν ἢ μάλιϛα καὶ πρώτως καὶ ἁπλῶς,
δῆλον.

6 Πότερον δὲ ταὐτόν ἐστιν ἢ ἕτερον τὸ τί ἦν εἶναι καὶ
ἕκαϛον, σκεπτέον. ἔϛι γάρ τι πρὸ ἔργȣ πρὸς τὴν περὶ τῆς
οὐσίας σκέψιν· ἕκαστόν τε γὰρ οὐκ ἄλλο δοκεῖ εἶναι τῆς
ἑαυτȣ̃ ȣ̓σίας, καὶ τὸ τί ἦν εἶναι λέγεται εἶναι ἡ ἑκάϛȣ ȣ̓σία.
ἐπὶ μὲν δὴ τῶν λεγομένων κατὰ συμβεβηκὸς δόξειεν ἂν
ἕτερον εἶναι, οἷον λευκὸς ἄνθρωπος ἕτερον καὶ τὸ λευκῷ ἀν-
θρώπῳ εἶναι. εἰ γὰρ τὸ αὐτό, καὶ τὸ ἀνθρώπῳ εἶναι καὶ τὸ
λευκῷ ἀνθρώπῳ τὸ αὐτό· τὸ αὐτὸ γὰρ ἄνθρωπος καὶ λευ-
κὸς ἄνθρωπος, ὡς φασίν, ὥϛε καὶ τὸ λευκῷ ἀνθρώπῳ καὶ
τὸ ἀνθρώπῳ. ἢ οὐκ ἀνάγκη, ὅσα κατὰ συμβεβηκός, εἶναι
ταὐτά· οὐ γὰρ ὡσαύτως τὰ ἄκρα γίγνεται ταὐτά. ἀλλ'
ἴσως γ' ἐκεῖνο δόξειεν ἂν συμβαίνειν, τὰ ἄκρα γίγνεσθαι
ταὐτὰ κατὰ συμβεβηκός, οἷον τὸ λευκῷ εἶναι καὶ τὸ μου- 137
σικῷ εἶναι· δοκεῖ δ' οὔ. ἐπὶ δὲ τῶν καθ' αὑτὰ λεγομένων
ἀεὶ ἀνάγκη ταὐτὸν εἶναι· οἷον εἴ τινές εἰσιν ȣ̓σίαι ὧν ἕτεραι
μή εἰσιν ȣ̓σίαι μηδὲ φύσεις ἕτεραι πρότεραι, οἵας φασὶ τὰς
ἰδέας εἶναί τινες. εἰ γὰρ ἔσται ἕτερον αὐτὸ τὸ ἀγαθὸν καὶ
τὸ ἀγαθῷ εἶναι, καὶ ζῷον καὶ τὸ ζῴῳ, καὶ τὸ ὄντι καὶ τὸ

5. ἐν om $A^b$. | 5. συνδ.] συνδοιαζομένων *T*, τῶν συνδυαζ. *as*. | 7. λαμβάνει *E*. | 8. ἤτοι] ἢ τῶ *T*. | 9. εἶναι om *T*. | 10. ὡδὶ] ὧδ' εἰ *T*. | 12. ὁ post ἐστὶν add $A^b$ et fort. Alex, dubito num recte. | post εἶναι in $SB^bC^b$ lacuna literarum ferme quadraginta. | λόγος — εἶναι om *T*. | 13. μόνων *S*: ceteri et *c* μόνον. | 15. ταὐτό *as*. | 17. τε om *ES*. | 20. τῶ *S*. | 21. εἰ — εἶναι om *T*. | αὐτῷ *a*. | καὶ τὸ $A^b$, καὶ τῷ (vel καὶ τὸ) Alex: ceteri om. | τῶ *T*, om *Eas*. | 23. ὥστε] εἶναι $A^b$. | 23. et 24. τῶ $STH^ba$. | 25. ante ἀλλ' comma *cb*. | 26. τ' $A^b$. | ἂν om $A^b$. | γενέσθαι $A^b$. | 27. ταὐτὰ τὰ κατὰ $A^b$, fort. recte. | τῷ μ. *a*. | 28. εἶναι] εἶναι ὡς *E*, om *S* $A^b$ et fort. Alex. | 29. ἀεὶ ἀνάγκη] ἆρ' ἀνάγκη $A^b$ Alex *cb*, ἀνάγκη ἀεὶ *S* $H^b$: ceteri ἀεὶ ἀνάγκη. | ταὐτὰ *as*. | 30. πρότερον οἷον $A^b$. | εἶναί τινες τὰς ἰδέας $H^b$. | 32. τῷ ἀγ. *a*. | τῶ ζ. *a*. | ζῴῳ εἶναι *s*. | τὸ ὄντι] τῷ ὄντι *as*, ὄντι $H^b$.

Digitized by Google

ὄν, ἔσονται ἄλλαι τ' οὐσίαι καὶ φύσεις καὶ ἰδέαι παρὰ τὰς 1031b
λεγομένας, καὶ πρότεραι οὐσίαι ἐκεῖναι, εἰ τὸ τί ἦν εἶναι
οὐσία ἐστίν. καὶ εἰ μὲν ἀπολελυμέναι ἀλλήλων, τῶν μὲν
οὐκ ἔσται ἐπιστήμη, τὰ δ' οὐκ ἔσται ὄντα (λέγω δὲ τὸ ἀπο-
λελύσθαι, εἰ μήτε τῷ ἀγαθῷ αὐτῷ ὑπάρχει τὸ εἶναι ἀγαθῷ,
μήτε τούτῳ τὸ εἶναι ἀγαθόν)· ἐπιστήμη γὰρ ἑκάστου ἐστὶν ὅταν
τὸ τί ἦν ἐκείνῳ εἶναι γνῶμεν. καὶ ἐπὶ ἀγαθοῦ καὶ τῶν ἄλ-
λων ὁμοίως ἔχει· ὥστ' εἰ μηδὲ τὸ ἀγαθῷ εἶναι ἀγαθόν, οὐδὲ
τὸ ὄντι ὄν, οὐδὲ τὸ ἑνὶ ἕν. ὁμοίως δὲ πάντα ἔστιν ἢ οὐθὲν τὰ
τί ἦν εἶναι· ὥστ' εἰ μηδὲ τὸ ὄντι ὄν, οὐδὲ τῶν ἄλλων οὐθέν.
ἔτι ᾧ μὴ ὑπάρχει ἀγαθῷ εἶναι, οὐκ ἀγαθόν. ἀνάγκη ἄρα
ἓν εἶναι τὸ ἀγαθὸν καὶ ἀγαθῷ εἶναι καὶ καλὸν καὶ καλῷ
εἶναι, ὅσα μὴ κατ' ἄλλο λέγεται, ἀλλὰ καθ' αὑτὰ καὶ
πρῶτα. καὶ γὰρ τοῦτο ἱκανὸν ἐὰν ὑπάρχῃ, κἂν μὴ ᾖ εἴδη·
μᾶλλον δ' ἴσως κἂν ᾖ εἴδη. ἅμα δὲ δῆλον καὶ ὅτι εἴπερ
εἰσὶν αἱ ἰδέαι οἵας τινές φασιν, οὐκ ἔσται τὸ ὑποκείμενον
οὐσία· ταύτας γὰρ οὐσίας μὲν ἀναγκαῖον εἶναι, μὴ καθ'
ὑποκειμένου δέ· ἔσονται γὰρ κατὰ μέθεξιν. ἔκ τε δὴ τούτων
138 τῶν λόγων ἓν καὶ ταὐτὸ οὐ κατὰ συμβεβηκὸς αὐτὸ ἕκαστον
καὶ τὸ τί ἦν εἶναι, καὶ ὅτι γε τὸ ἐπίστασθαι ἕκαστον τοῦτό
ἐστι τὸ τί ἦν εἶναι ἐπίστασθαι, ὥστε κατὰ τὴν ἔκθεσιν
ἀνάγκη ἕν τι εἶναι ἄμφω. τὸ δὲ κατὰ συμβεβηκὸς λεγό-
μενον, οἷον τὸ μουσικὸν ἢ λευκόν, διὰ τὸ διττὸν σημαίνειν,
οὐκ ἀληθὲς εἰπεῖν ὡς ταὐτὸ τὸ τί ἦν εἶναι καὶ αὐτό· καὶ
γὰρ ᾧ συμβέβηκε λευκὸν καὶ τὸ συμβεβηκός, ὥστ' ἔστι
μὲν ὡς ταὐτόν, ἔστι δὲ ὡς οὐ ταὐτὸ τὸ τί ἦν εἶναι καὶ αὐτό·

1031 b 1. καὶ φύσεις om *as*. | 2. οὐσίαι] καὶ οὐσίαι $A^b$. | 3. οὐσία $A^bH^b$ Alex, οὐσίας *iascb*. | μέν εἰσιν ἀπ. Alex. | 4. οὐκ ἔστιν ἐπιστ. *T*. | ante λέγω et 6. post ἀγαθόν punctum *cb*. | δὲ] δὴ $H^b$. | 6. ἐστὶν ὅταν] αὕτη *ias*, mox omisso γνῶμεν. | 7. εἶναι ἐκείνῳ $A^b$*cb*: ceteri ἐκείνῳ εἶναι. | 8. ἔχει] ἐπάγει *T*, om $H^b$. | τὸ *ES* Alex *s*, τῷ *acb*. | 9. τὸ — τὸ *E* Alex, τὸ — τῷ *s*, τῷ — τῷ *acb*. | ἔστιν] fort. ἔσται. | 10. τῷ ὄντι *Ta*. | ὄν om *T*. | οὐθενί *i*. | 12. καὶ τὸ ἀγαθῷ *Ts*, καὶ τῷ ἀγ. *a*. | καὶ τὸ κ. καὶ τὸ (τῷ *a*) καλῷ *as*. | 13. καὶ ὅσα Alex. | ἄλλο] ἄλλου *Tas*. | πρῶτα καὶ καθ' αὑτά *ESTas*. | 14. ἂν $A^b$. | ὑπάρχει *T*. | καὶ $H^b$. | 15. ᾖ om $A^b$. | 16. αἱ om Alex. | οἵας — 17. γὰρ] lacuna in $SB^bC^b$. | 16. ἔστι Alex *as*. | 17. οὐσία om $H^b$. | ἀνάγκη εἶναι $A^b$, εἶναι ἀναγκαῖον *S*. | 18. ἔσονται] δέονται $B^b$. | 20. γε] δὲ *S*. | τούτων $SB^bC^b$. | 21. post ὥστε add καὶ $A^b$*cb*. | 22. τι om $A^b$. | 23. ἢ] καὶ $A^b$. | 25. συμβαίνει $A^b$. | λευκῷ *ET* et (omisso καὶ) *as*, om $A^b$.

Digitized by Google

τὸ μὲν γὰρ ἀνθρώπῳ καὶ τὸ λευκῷ ἀνθρώπῳ ȣ ταὐτό, τῷ πάθει δὲ ταὐτό. ἄτοπον δ' ἂν φανείη κἂν εἴ τις ἑκάστῳ ὄνομα θεῖτο τῶν τί ἦν εἶναι· ἔσται γὰρ καὶ παρ' ἐκεῖνο ἄλλο, οἷον τῷ τί ἦν εἶναι ἵππῳ τί ἦν εἶναι [ἵππῳ] ἕτερον. καίτοι τί κωλύει καὶ νῦν εἶναι ἔνια εὐθὺς τί ἦν εἶναι, εἴπερ οὐσία τὸ τί ἦν εἶναι; ἀλλὰ μὴν οὐ μόνον ἕν, ἀλλὰ καὶ ὁ 1032a λόγος ὁ αὐτὸς αὐτῶν, ὡς δῆλον καὶ ἐκ τῶν εἰρημένων· οὐ γὰρ κατὰ συμβεβηκὸς ἓν τὸ ἑνὶ εἶναι καὶ ἕν. ἔτι εἰ ἄλλο ἔϛαι, εἰς ἄπειρον εἶσιν· τὸ μὲν γὰρ ἔϛαι τί ἦν εἶναι τȣ̃ ἑνός, τὸ δὲ τὸ ἕν, ὥϛε καὶ ἐπ' ἐκείνων ὁ αὐτὸς ἔϛαι λόγος. ὅτι μὲν ȣ̓̃ν ἐπὶ τῶν πρώτων καὶ καθ' αὑτὰ λεγομένων τὸ ἑκάϛῳ εἶναι καὶ ἕκαϛον τὸ αὐτὸ καὶ ἕν ἐϛι, δῆλον. οἱ δὲ σοφιϛικοὶ ἔλεγχοι πρὸς τὴν θέσιν ταύτην φανερὸν ὅτι τῇ αὐτῇ λύονται λύσει, καὶ εἰ ταὐτὸ Σωκράτης καὶ Σωκράτει εἶναι· οὐθὲν γὰρ διαφέρει ȣ̓́τε ἐξ ὧν ἐρωτήσειεν ἄν τις, ȣ̓́τε ἐξ ὧν λύων ἐπιτύχοι. πῶς μὲν ȣ̓̃ν τὸ τί ἦν εἶναι ταὐτὸν καὶ πῶς ȣ̓ ταὐτὸν ἑκάϛῳ, εἴρηται.

7 Τῶν δὲ γιγνομένων τὰ μὲν φύσει γίγνεται, τὰ δὲ 139 τέχνῃ, τὰ δὲ ἀπὸ ταὐτομάτȣ. πάντα δὲ τὰ γιγνόμενα ὑπό τέ τινος γίγνεται καὶ ἔκ τινος καὶ τί. τὸ δὲ τὶ λέγω καθ' ἑκάϛην κατηγορίαν· ἢ γὰρ τόδε ἢ ποσὸν ἢ ποιὸν ἢ πȣ̃. αἱ δὲ γενέσεις αἱ μὲν φυσικαὶ αὗταί εἰσιν ὧν ἡ γένεσις ἐκ φύσεώς ἐϛιν. τὸ δ' ἐξ ȣ̃ γίγνεται, ἣν λέγομεν ὕλην· τὸ δ' ὑφ' οὗ, τῶν φύσει τι ὄντων· τὸ δὲ τί, ἄνθρωπος ἢ φυτὸν ἢ ἄλλο τι τῶν τοιȣ́των, ἃ δὴ μάλιϛα λέγομεν ȣ̓σίας εἶναι. ἅπαντα δὲ τὰ γιγνόμενα ἢ φύσει ἢ τέχνῃ ἔχει ὕλην· δυ-

27. τὸ μὲν Alex, τῷ μὲν *ascb*. | καὶ τὸ $A^b$ Alex, καὶ τῷ *ascb*. | 29. τιθεῖτο $A^b$, θοῖτο *s*. | ἔσται — 30. τῷ τί ἦν εἶναι om *T*. | 29. παρ' ἐκείνῳ *a*. | 30. οἷον add $A^b$ et fort. Alex. | οἷον τ. τ. η. ε. ἵππῳ om *ias*. | τῷ] τὸ *E*. | ἵππῳ τί] τὸ γὰρ τι *ESB^bC^b*. | ἵππῳ ante ἕτερον omittendum est. Obs. p. 94. | ἕτερον om *i*. | 31. νῦν εὐθὺς εἶναί τινα Alex. | 32. οὐσίαι *T*. | οὐ] καὶ οὐ *SB^bC^b*.

1032a 1. καὶ om *Tias*. | οὔτε $H^b$. | 2. καὶ om $A^b$. | ἔτι εἰ] εἴτι εἰ *T*. | 3. ἔσται om *T*. | ἔσται τὸ τί *Tas*. | τοῦ ἑνός $A^b$ et fort. Alex, τὸ ἓν εἶναι *T*: ceteri τὸ ἑνὶ εἶναι fort. recte. | 4. ἔσται ὁ αὐτὸς $A^b$. | 5. post τῶν lacuna literarum trium in $B^bC^b$. | 6. καὶ ante ἓν om $A^b$, καὶ ἓν om $H^b$. | 8. εἰ] εἰς $A^b$. | Σωκράτει] σωκράτην $A^b$. | 9. ἐρωτηθεὶς $A^b$, ἐρωτηθείη $H^b$. | 12. δὲ om $A^b$. | γίνονται $H^b$ Alex. | 14. τὶ] τί *cb*. | 15. ἢ ποῦ et 18. τι om $H^b$. | 16. post εἰσιν add ἤτοι ἐκείνων τῶν γεγονότων *as*. | 18. ὄντος *T*. | τί] τι ὁ *ET*, τὶ ὁ *as*. | 20. δύναται Alex.

Digitized by Google

νατὸν γὰρ καὶ εἶναι καὶ μὴ εἶναι ἕκαστον αὐτῶν, τοῦτο δ'
ἐστὶν ἐν ἑκάστῳ ὕλη. καθόλου δὲ καὶ ἐξ οὗ φύσις καὶ καθ' ὃ
φύσις· τὸ γὰρ γιγνόμενον ἔχει φύσιν, οἷον φυτὸν ἢ ζῷον·
καὶ ὑφ' οὗ, ἡ κατὰ τὸ εἶδος λεγομένη φύσις ἡ ὁμοειδής·
αὕτη δ' ἐν ἄλλῳ· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ. οὕτω μὲν
οὖν γίγνεται τὰ γιγνόμενα διὰ τὴν φύσιν· αἱ δ' ἄλλαι γε-
νέσεις λέγονται ποιήσεις. πᾶσαι δ' εἰσὶν αἱ ποιήσεις ἢ ἀπὸ
τέχνης ἢ ἀπὸ δυνάμεως ἢ ἀπὸ διανοίας. τούτων δέ τινες
γίγνονται καὶ ἀπὸ ταὐτομάτου καὶ ἀπὸ τύχης παραπλη-
σίως ὥσπερ ἐν τοῖς ἀπὸ φύσεως γιγνομένοις· ἔνια γὰρ
κἀκεῖ ταὐτὰ καὶ ἐκ σπέρματος γίγνεται καὶ ἄνευ σπέρ-
ματος. περὶ μὲν οὖν τούτων ὕστερον ἐπισκεπτέον, ἀπὸ τέχνης
δὲ γίγνεται ὅσων τὸ εἶδος ἐν τῇ ψυχῇ. εἶδος δὲ λέγω τὸ 1032*b*
τί ἦν εἶναι ἑκάστου καὶ τὴν πρώτην οὐσίαν. καὶ γὰρ τῶν ἐναν-
τίων τρόπον τινὰ τὸ αὐτὸ εἶδος· τῆς γὰρ στερήσεως οὐσία ἡ
οὐσία ἡ ἀντικειμένη, οἷον ὑγίεια νόσου· ἐκείνης γὰρ ἀπουσίᾳ
δηλοῦται ἡ νόσος, ἡ δ' ὑγίεια ὁ ἐν τῇ ψυχῇ λόγος καὶ ἐν
140 τῇ ἐπιστήμῃ. γίγνεται δὴ τὸ ὑγιὲς νοήσαντος οὕτως· ἐπειδὴ
τοδὶ ὑγίεια, ἀνάγκη, εἰ ὑγιὲς ἔσται, τοδὶ ὑπάρξαι, οἷον ὁμα-
λότητα, εἰ δὲ τοῦτο, θερμότητα. καὶ οὕτως ἀεὶ νοεῖ, ἕως ἂν
ἀγάγῃ εἰς τοῦτο ὃ αὐτὸς δύναται ἔσχατον ποιεῖν. εἶτα ἤδη
ἡ ἀπὸ τούτου κίνησις ποίησις καλεῖται, ἡ ἐπὶ τὸ ὑγιαίνειν.
ὥστε συμβαίνει τρόπον τινὰ ἐξ ὑγιείας τὴν ὑγίειαν γίνεσθαι
καὶ τὴν οἰκίαν ἐξ οἰκίας, τῆς ἄνευ ὕλης τὴν ἔχουσαν ὕλην·
ἡ γὰρ ἰατρική ἐστι καὶ οἰκοδομικὴ τὸ εἶδος τῆς ὑγιείας
καὶ τῆς οἰκίας. λέγω δ' οὐσίαν ἄνευ ὕλης τὸ τί ἦν εἶναι.

21. καὶ ante εἶναι om *as*. | τούτω $B^bC^b$. | 22. ἐν $A^b$, ἡ ἐν *Tas*: ceteri ἡ, fort. recte. | καθὸ *ascb*. | 23. ἠγνωμένον *T*. | ἢ om *S*. | post ζῷον punctum *b*. | 24. ἐφ' $F^b$. | ἡ post φύσις om Alex. | 26. οὖν om *T*. | 27. πᾶσαι δ' εἰσὶν αἱ ποιήσεις om $C^b$. | ἢ om $A^b$. | 28. ἀπὸ ante διανοίας add $A^b$ et fort. Alex. | 30. ὑπὸ *ESTas*. | 31. ταῦτα *S*. | 31. 32. post σπέρματος add γίγνεται *a*.

1032*b* 1. ὧν *as*. | δὲ post εἶδος om $C^b$. | 4. ἡ] ἡ πῇ οὐσία *ET*, om $SA^bB^bC^b$. | ἀπουσία *as*. | 5. δηλοῦται om $A^b$. | 5. 6. καὶ ἐν τῇ] καὶ ὁ ἐν τῇ *Tas*, καὶ ἡ $A^b$. | 6. δὲ $STA^bas$. | οὕτως om *Sas*. | 7. τὸ δι' ὑγίειαν *STas*. | ἔσται om $A^b$. | 7. 8. ὁμαλότητι *T*. | 8. εἰ δὲ τοῦτο, θερμότητα om *T*. | 9. *ı* ex *ι* coniicit ἀναγάγῃ. | εἰς τὸ αὐτὸ δύνασθαι τὸ ἔσχατον $A^b$. | 10. τούτου $EH^b$: ceteri τούτων. | 11. ὑγείαν ἐξ ὑγείας *as*, τὴν ὑγίειαν ἐξ ὑγείας *c*, τὴν ὑγίειαν ἐκ τῆς ὑγείας fort. Alex. | 12. post καὶ lacuna in $B^bC^b$. | 13. ἡ] εἰ *T*. | ἐστι post οἰκοδ. *T*, om $F^b$. | ante οἰκοδ. add ἡ $H^bb$. | 13. 14. τῆς ὑγείας καὶ τῆς οἰκοδομίας *E*, τῆς οἰκίας καὶ τῆς ὑγείας Alex.



Digitized by Google

*τῶν δὲ γενέσεων καὶ κινήσεων ἡ μὲν νόησις καλεῖται ἡ δὲ ποίησις, ἡ μὲν ἀπὸ τῆς ἀρχῆς καὶ τοῦ εἴδους νόησις, ἡ δ' ἀπὸ τοῦ τελευταίου τῆς νοήσεως ποίησις. ὁμοίως δὲ καὶ τῶν ἄλλων τῶν μεταξὺ ἕκαστον γίγνεται. λέγω δ' οἷον εἰ ὑγιανεῖ, δεῖ ὁμαλυνθῆναι. τί οὖν ἐστὶ τὸ ὁμαλυνθῆναι; τοδί. τοῦτο δ' ἔσται εἰ θερμανθήσεται. τοῦτο δὲ τί ἐστι; τοδί. ὑπάρχει δὲ τοδὶ δυνάμει· τοῦτο δ' ἤδη ἐπ' αὐτῷ. τὸ δὴ ποιοῦν καὶ ὅθεν ἄρχεται ἡ κίνησις τοῦ ὑγιαίνειν, ἐὰν μὲν ἀπὸ τέχνης, τὸ εἶδός ἐστι τὸ ἐν τῇ ψυχῇ, ἐὰν δ' ἀπὸ ταὐτομάτου, ἀπὸ τούτου ὅ ποτε τοῦ ποιεῖν ἀρχὴ τῷ ποιοῦντι ἀπὸ τέχνης, ὥσπερ καὶ ἐν τῷ ἰατρεύειν ἴσως ἀπὸ τοῦ θερμαίνειν ἡ ἀρχή, τοῦτο δὲ ποιεῖ τῇ τρίψει· ἡ θερμότης τοίνυν ἡ ἐν τῷ σώματι ἢ μέρος τῆς ὑγιείας ἢ ἕπεταί τι αὐτῇ τοιοῦτον ὅ ἐστι μέρος τῆς ὑγιείας, ἢ διὰ πλειόνων· τοῦτο δ' ἔσχατον τὸ ποιοῦν, καὶ τὸ οὕτως μέρος ἐστὶ τῆς ὑγιείας καὶ τῆς οἰκίας, οἷον οἱ λίθοι, καὶ τῶν ἄλλων. ὥστε καθάπερ λέγεται, ἀδύ-* 141
*νατον γενέσθαι εἰ μηθὲν προϋπάρχοι. ὅτι μὲν οὖν τι μέρος ἐξ ἀνάγκης ὑπάρξει, φανερόν· ἡ γὰρ ὕλη μέρος· ἐνυπάρ-*
1033 a *χει γὰρ καὶ γίγνεται αὕτη. ἀλλ' ἆρα καὶ τῶν ἐν τῷ λόγῳ. ἀμφοτέρως δὲ λέγομεν τοὺς χαλκοῦς κύκλους τί εἰσι, καὶ τὴν ὕλην λέγοντες ὅτι χαλκός, καὶ τὸ εἶδος ὅτι σχῆμα τοιόνδε· καὶ τοῦτό ἐστι τὸ γένος εἰς ὃ πρῶτον τίθεται. ὁ δὴ χαλκοῦς κύκλος ἔχει ἐν τῷ λόγῳ τὴν ὕλην. ἐξ οὗ δὲ ὡς ὕλης γίνεται ἔνια λέγεται, ὅταν γένηται, οὐκ ἐκεῖνο ἀλλ' ἐκείνινον, οἷον ὁ ἀνδριὰς οὐ λίθος ἀλλὰ λίθινος. ὁ δ' ἄνθρωπος ὁ ὑγιαίνων οὐ λέγεται ἐκεῖνο ἐξ οὗ· αἴτιον δ' ὅτι γίγνε-*

17. *τέλους* fort. Alex. | *καὶ ἐπὶ τῶν* ***ET***. | 18. *τῶν μ. ἕκαστον* om $H^b$. | 18. 19. *ὑγιαίνει* ***T***, *ὑγιανθῇ* ***as***. | 19. *δεῖ*] *δέοι ἂν* $A^b$***cb***: ceteri et Alex *δεῖ*. | 20. *τί* om $A^b$. | 21. *δὲ — τοῦτο* om ***T***. | *τοδὶ* ***iasc*** Alex et *γρ* ***E***, *τωδὶ* ***b***. | 22. *τὸ* $A^b$. | 24. *τούτου δηλονότι ὅ* ***as***. | *ὅ ποτε*] *ὅπερ* Alex, fort. recte. | *ἀρχὴ* ***STias*** Alex, *ἄρχεται* $H^b$, *ἄρχει* ***cb***. | 25. *ὡς ὅπερ* $H^b$. | *θερμοῦ* $H^b$. | 26. *τοίνυν*] *οὖν* $A^b$. | *ἡ* om $A^b$. | 27. *ἢ ἕπεται — 28. ὑγιείας* om $TA^b$. | 28. *ἢ διὰ — 29. ὑγιείας* om $B^bC^b$. | 28. *ἔσχατόν ἐστι τὸ* $A^b$. | 29. *ποιοῦν, καὶ τὸ οὕτως*] fort. *ποιοῦν καὶ αὐτό πως*. | *καὶ τὸ οὕτως μέρος ἐστὶ*] *τὸ μέρος* $A^bH^b$. | 31. *τι*] *τὸ* ***ESTas***. | 32. *ὑπάρξει ἐξ ἀνάγκης* ***Tas***. | *φανερὸν* om ***T***.

1033 a 1. *αὐτή* ***T***. | *ἀλλ' ἆρα* ***i***. | 2. *δὲ*] *quidem* ***i***, fort. scribendum *γε*. | *χαλκοῦς* $A^bH^b$ Alex: ceteri *πολλούς*. | 3. *καὶ εἰ τὴν* $A^b$. | 4. *ὁ δὲ* ***as***. | 5. *χαλκὸς* $A^b$. | *τὴν*] *καὶ τὴν* $H^b$. | *δὴ* $H^b$. | 5. 6. *γίνεται ὡς ὕλης* $H^b$. | 6. post *ἔνια* comma ***cb***. | *γένηται*] *λέγηται* $F^b$. | 7. *ἐκεῖνον* $SC^bH^b$. | *ὁ* post *οἷον* om ***EST***.

Digitized by Google

ται ἐκ τῆς στερήσεως καὶ τοῦ ὑποκειμένου ὃ λέγομεν τὴν ὕλην, οἷον καὶ ὁ ἄνθρωπος καὶ ὁ κάμνων γίγνεται ὑγιής. μᾶλλον μέντοι λέγεται γίγνεσθαι ἐκ τῆς στερήσεως, οἷον ἐκ κάμνοντος ὑγιὴς ἢ ἐξ ἀνθρώπου. διὸ κάμνων μὲν ὑγιὴς οὐ λέγεται, ἄνθρωπος δὲ καὶ ἄνθρωπος ὑγιής. ὧν δ' ἡ στέρησις ἄδηλος καὶ ἀνώνυμος, οἷον ἐν χαλκῷ σχήματος ὁποιουῦν ἢ ἐν πλίνθοις καὶ ξύλοις οἰκίας, ἐκ τούτων δοκεῖ γίγνεσθαι ὡς ἐκεῖ ἐκ κάμνοντος. διὸ ὥσπερ οὐδ' ἐκεῖ ἐξ οὗ τοῦτο ἐκεῖνο οὐ λέγεται, οὐδ' ἐνταῦθα ὁ ἀνδριὰς ξύλον, ἀλλὰ παράγεται ξύλινος, οὐ ξύλον, καὶ χαλκοῦς ἀλλ' οὐ χαλκός, καὶ λίθινος ἀλλ' οὐ λίθος, καὶ ἡ οἰκία πλινθίνη ἀλλ' οὐ πλίνθοι, ἐπεὶ οὐδ' ὡς ἐκ ξύλου γίγνεται ἀνδριὰς ἢ ἐκ πλίνθων οἰκία, ἐάν τις σφόδρα ἐπιβλέπῃ, οὐκ ἂν ἁπλῶς εἴποι, διὰ τὸ δεῖν μεταβάλλοντος γίγνεσθαι ἐξ οὗ, ἀλλ' οὐχ ὑπομένοντος. διὰ μὲν οὖν τοῦτο οὕτως λέγεται.

8 Ἐπεὶ δὲ ὑπό τινός τε γίγνεται τὸ γιγνόμενον (τοῦτο δὲ 142 λέγω ὅθεν ἡ ἀρχὴ τῆς γενέσεώς ἐστι) καὶ ἔκ τινος (ἔστω δὲ μὴ ἡ στέρησις τοῦτο ἀλλ' ἡ ὕλη· ἤδη γὰρ διώρισται ὃν τρόπον τοῦτο λέγομεν) καὶ τὶ γίγνεται (τοῦτο δ' ἐστὶν ἢ σφαῖρα ἢ κύκλος ἢ ὅ τι ἔτυχε τῶν ἄλλων), ὥσπερ οὐδὲ τὸ ὑποκείμενον ποιεῖ τὸν χαλκόν, οὕτως οἰδὲ τὴν σφαῖραν, εἰ μὴ κατὰ συμβεβηκός, ὅτι ἡ χαλκῆ σφαῖρα σφαῖρά ἐστιν, ἐκείνην δὲ ποιεῖ. τὸ γὰρ τόδε τι ποιεῖν ἐκ τοῦ ὅλως ὑποκειμένου τόδε τι ποιεῖν ἐστίν. λέγω δ' ὅτι τὸν χαλκὸν στρογγύλον ποιεῖν ἐστὶν οὐ τὸ στρογγύλον ἢ τὴν σφαῖραν ποιεῖν, ἀλλ' ἕτερόν τι, οἷον τὸ εἶδος τοῦτο ἐν ἄλλῳ. εἰ γὰρ ποιεῖ, ἔκ 1033b τινος ἂν ποιοίη ἄλλου· τοῦτο γὰρ ὑπέκειτο. οἷον ποιεῖ χαλκῆν σφαῖραν· τοῦτο δὲ οὕτως ὅτι ἐκ τουδί, ὅ ἐστι χαλκός, τοδὶ ποιεῖ, ὅ ἐστι σφαῖρα. εἰ οὖν καὶ τοῦτο ποιεῖ αὐτό, δῆλον ὅτι ὡσαύτως ποιήσει, καὶ βαδιοῦνται αἱ γενέσεις εἰς ἄπει-

9. ἐκ om $F^b$. | 11. ἐκ τῆς στερήσεως γίγνεσθαι *Tas*. | 12. μὲν ὁ ὑγ. *Tas*. | 13. καὶ] καὶ ὁ $A^b$. | 14. συνώνυμος *T*. | γρ ἐκ χαλκοῦ *E*. | σχῆμα τὸ *T* $H^b$*as*. | ὁποιονοῦν *T*$H^b$*as*, ὁποι οὖν *E*. | 15. *ex his non dicentur fieri i*. | 17. ἐντεῦθεν *Sas*. | 19. ἐπεὶ] ὡς εἰ *T*. | 21. ἐπιβλέπη σφόδρα *ETas*. | εἶπε $A^b$: ceteri εἴποιε. | 25. ὅθεν καὶ ἡ *as*. | δὴ *T*. | 27. λέγομεν τοῦτο *as*. | τὶ Alex, ὃ *ascb*. | ἢ] ἡ *T*, ἢ ἡ *as*. | 28. ἢ ὁ κ. *as*. | 31. ποιεῖ] οὐ ποιεῖ *ias*. | τι om *T*. | ποιεῖν om $A^b$. | ὅλου *Tas*. | 32. τι add $A^b$ Alex, om cum ceteris *c*. | 33. ποιεῖν ἐστὶν] ποιῆσαι $A^bH^b$.

1033b 1. ποιῇ ἀλλ' οὐ *T*, ποιοίη ἢ ἄλλου *Ea* (ποιοῖοι) *s*. | ποιεῖ $A^b$ Alex, ποιεῖν *iascb*. | 2. ἐστιν ὁ χαλκός *T*. | 3. τόδε $A^b$. | ὅ] ὅτι $A^b$.



Digitized by Google

ρον. φανερὸν ἄρα ὅτι οὐδὲ τὸ εἶδος, ἢ ὁτιδήποτε χρὴ καλεῖν τὴν ἐν τῷ αἰσθητῷ μορφήν, οὐ γίγνεται, οὐδ' ἔστιν αὐτοῦ γένεσις, οὐδὲ τὸ τί ἦν εἶναι· τοῦτο γάρ ἐστιν ὃ ἐν ἄλλῳ γίγνεται ἢ ὑπὸ τέχνης ἢ ὑπὸ φύσεως ἢ δυνάμεως. τὸ δὲ χαλκῆν σφαῖραν εἶναι ποιεῖ. ποιεῖ γὰρ ἐκ χαλκοῦ καὶ σφαίρας· εἰς τοδὶ γὰρ τὸ εἶδος ποιεῖ, καὶ ἔστι τοῦτο σφαῖρα χαλκῆ. τοῦ δὲ σφαίρᾳ εἶναι ὅλως εἰ ἔσται γένεσις, ἔκ τινός τι ἔσται. δεήσει γὰρ διαιρετὸν εἶναι ἀεὶ τὸ γιγνόμενον, καὶ εἶναι τὸ μὲν τόδε τὸ δὲ τόδε, λέγω δ' ὅτι τὸ μὲν ὕλην τὸ δ' εἶδος. εἰ δή ἐστι σφαῖρα τὸ ἐκ τοῦ μέσου σχῆμα ἴσον, τούτου τὸ μὲν 143
ἐν ᾧ ἔσται ὃ ποιεῖ, τὸ δ' ἐν ἐκείνῳ, τὸ δ' ἅπαν τὸ γεγονός, οἷον ἡ χαλκῆ σφαῖρα. φανερὸν δὴ ἐκ τῶν εἰρημένων ὅτι τὸ μὲν ὡς εἶδος ἢ οὐσία λεγόμενον οὐ γίγνεται, ἡ δὲ σύνοδος ἡ κατὰ ταύτην λεγομένη γίγνεται, καὶ ὅτι ἐν παντὶ τῷ γενομένῳ ὕλη ἔνεστι, καὶ ἔστι τὸ μὲν τόδε τὸ δὲ τόδε. πότερον οὖν ἔστι τις σφαῖρα παρὰ τάσδε ἢ οἰκία παρὰ τὰς πλίνθους; ἢ οὐδ' ἄν ποτε ἐγίγνετο, εἰ οὕτως ἦν, τόδε τι· ἀλλὰ τὸ τοιόνδε σημαίνει, τόδε δὲ καὶ ὡρισμένον οὐκ ἔστιν, ἀλλὰ ποιεῖ καὶ γεννᾷ ἐκ τοῦδε τοιόνδε· καὶ ὅταν γεννηθῇ, ἔστι τόδε τοιόνδε. τὸ δ' ἅπαν τόδε Καλλίας ἢ Σωκράτης ἐστὶν ὥσπερ ἡ σφαῖρα ἡ χαλκῆ ἡδί, ὁ δ' ἄνθρωπος καὶ τὸ ζῷον ὥσπερ σφαῖρα χαλκῆ ὅλως. φανερὸν ἄρα ὅτι ἡ τῶν εἰδῶν αἰτία, ὡς εἰώθασί τινες λέγειν τὰ εἴδη, εἰ ἔστιν ἄττα παρὰ τὰ καθ' ἕκαστα, πρός τε τὰς γενέσεις καὶ τὰς οὐσίας οὐθὲν χρήσιμα· οὐδ' ἂν εἶεν διά γε ταῦτα οὐσίαι καθ' αὑτάς. ἐπὶ μὲν δή τινων καὶ φανερὸν ὅτι τὸ γεννῶν τοιοῦτον μὲν οἷον τὸ γεννώμενον, οὐ μέντοι τὸ αὐτό γε, οὐδ' ἓν τῷ ἀριθμῷ ἀλλὰ τῷ εἴδει, οἷον ἐν τοῖς φυσικοῖς· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, ἂν μή τι παρὰ φύσιν γένηται, οἷον ἵππος ἡμίονον. καὶ

5. οὔτε **ETas**. | 6. οὐ om $A^bF^bc$. | 7. εἶναι] εἶναι τοῦτο **Tas**, εἶναι τούτω **E**. | 8. ἢ prius om $A^b$. | ἀπὸ — ἀπὸ **as**. | 9. καὶ σφαίρας] σφαῖραν $A^b$. | 10. τὸ] τοδὶ τὸ **ETias**. | post χαλκῆ add τοῦτο δὲ σφαῖρα εἶναι **ias**. | 11. σφαῖρα **as**. | ἔσται $A^b$ Alex, ἔστι **iascb**. | 12. εἶναι om **T**. | ἀεὶ om $A^b$. | 13. τὸ δὲ om $A^b$. | τὸ μὲν] τὴν μὲν **T**. | 14. δέ **T**. | 15. ὃ] οὗ $A^b$. | 17. ἢ] ἡ $A^b$, ἢ ὡς **Eas**. | 18. ἅπαντι **ET** Ascl **as**. | 19. ἔνεστι] ἐστὶ $A^bH^b$. | καὶ ἔστι om **as**. | 20. τι **T**. | τάδε **E**. | 21. ante ἢ comma et post τόδε τι interrogandi signum **cb**. | 21. 22. ἀλλ' ὅτι τοιόνδε **ETias**. | 23. τόδε] δῆλον $H^b$. | 25. ἡδὶ om **T**. | 26. ἡ — αἰτία] *causae* **i**. | 28. τὰς post καὶ add $A^bH^b$, dubito num recte. | χρησίμη $A^b$. | 29. ἑαυτάς $A^b$. | 30. καὶ om $A^bH^b$. | 31. ἀλλ' ἓν τῷ **ETias** | 33. ἐὰν **Tas**.

Digitized by Google

*ταῦτα δὲ ὁμοίως· ὃ γὰρ ἂν κοινὸν εἴη ἐφ' ἵππου καὶ ὄνου,*
*οὐκ ὠνόμασται τὸ ἐγγύτατα γένος, εἴη δ' ἂν ἄμφω ἴσως* 1034 a
*οἷον ἡμίονος. ὥϛε φανερὸν ὅτι ὐθὲν δεῖ ὡς παράδειγμα εἶδος*
*κατασκευάζειν (μάλιστα γὰρ ἂν ἐν τούτοις ἐπεζητοῦντο·*
*ὐσίαι γὰρ [αἱ] μάλιϛα αὗται), ἀλλὰ ἱκανὸν τὸ γεννῶν ποιῆ-*
*σαι καὶ τοῦ εἴδυς αἴτιον εἶναι ἐν τῇ ὕλῃ. τὸ δ' ἅπαν ἤδη*
*τὸ τοιόνδε εἶδος ἐν ταῖσδε ταῖς σαρξὶ καὶ ὀστοῖς Καλλίας*
144 *καὶ Σωκράτης· καὶ ἕτερον μὲν διὰ τὴν ὕλην, ἑτέρα γάρ,*
*ταὐτὸ δὲ τῷ εἴδει· ἄτομον γὰρ τὸ εἶδος.*

9 *Ἀπορήσειε δ' ἄν τις διὰ τί τὰ μὲν γίγνεται καὶ τέχνῃ*
*καὶ ἀπὸ ταὐτομάτυ, οἷον ὑγίεια, τὰ δ' ὔ, οἷον οἰκία. αἴτιον*
*δ' ὅτι τῶν μὲν ἡ ὕλη ἡ ἄρχυσα τῆς γενέσεως ἐν τῷ ποιεῖν*
*καὶ γίγνεσθαί τι τῶν ἀπὸ τέχνης, ἐν ᾗ ὑπάρχει τι μέρος*
*τῦ πράγματος, ἡ μὲν τοιαύτη ἐϛὶν οἵα κινεῖσθαι ὑφ' αὑτῆς,*
*ἡ δ' ὔ, καὶ ταύτης ἡ μὲν ὡδὶ οἵα τε, ἡ δὲ ἀδύνατος· πολλὰ*
*γὰρ δύναται μὲν ὑφ' αὑτῶν κινεῖσθαι ἀλλ' οὐχ ὡδί, οἷον*
*ὀρχήσασθαι. ὅσων ὖν τοιαύτη ἡ ὕλη, οἷον οἱ λίθοι, ἀδύνα-*
*τον ὡδὶ κινηθῆναι εἰ μὴ ὑπ' ἄλλυ, ὡδὶ μέντοι ναί· καὶ τὸ*
*πῦρ. διὰ τῦτο τὰ μὲν ὐκ ἔϛαι ἄνευ τῦ ἔχοντος τὴν τέχνην,*
*τὰ δ' ἔϛαι· ὑπὸ γὰρ τούτων κινηθήσεται τῶν οὐκ ἐχόντων*
*μὲν τὴν τέχνην, κινεῖσθαι δὲ δυναμένων αὐτῶν, ἢ ὑπ' ἄλ-*
*λων οὐκ ἐχόντων τὴν τέχνην, ἢ ἐκ μέρυς. δῆλον δ' ἐκ τῶν*
*εἰρημένων καὶ ὅτι τρόπον τινὰ πάντα γίγνεται ἐξ ὁμωνύμυ,*
*ὥϛπερ τὰ φύσει, ἢ ἐκ μέρους ὁμωνύμου, οἷον ἡ οἰκία ἐξ*
*οἰκίας, ἢ ὑπὸ νοῦ (ἡ γὰρ τέχνη τὸ εἶδος), ἢ ἐκ μέρους ἢ*
*ἔχοντός τι μέρος, ἐὰν μὴ κατὰ συμβεβηκὸς γίγνηται· τὸ*
*γὰρ αἴτιον τῦ ποιεῖν πρῶτον καθ' αὑτὸ μέρος. θερμότης γὰρ*
*ἡ ἐν τῇ κινήσει θερμότητα ἐν τῷ σώματι ἐποίησεν· αὕτη*
*δ' ἐστὶν ἢ ὑγίεια ἢ μέρος, ἢ ἀκολουθεῖ αὐτῇ μέρος τι τῆς*
*ὑγιείας ἢ αὐτὴ ἡ ὑγίεια· διὸ καὶ λέγεται ποιεῖν, ὅτι ἐκεῖνο*

1034 a 1. *ἐγγυτάτω* ***Tas***, *ἐγγύτατον* fort. Alex. | 2. *οὐθὲν*] *οὐ* Alex. | 4. *αἱ* om $A^b$ Alex. | 8. *ταὐτὰ* $A^b$. | *τῷ εἴδει*] *τωδὶ* ***T***. | 9. *καὶ τέχνῃ* om $A^b$. | 12. *ἀπὸ τῆς τέχνης* ***Tas***. | 14. et 15. et 17. *ὧδε* $A^b$. | 15. *δυνατὰ* ***E***. | 17. *μέντ' εἶναι* $A^b$. | 20. *μὲν* om $A^b H^b$. | *ἢ* om $A^b$. | 21. *δ'* om $H^b$. | 22. *ἅπαντα τρόπον τινὰ* $F^b$, *τρόπον τινὰ ἅπαντα* ***ETas***. | *ὁμωνύμων* ***Tas***. | 23. *ὥσπερ — ὁμωνύμου* om ***T***. | 24. *ἢ ὑπὸ*] fort. *τῆς ὑπὸ*. | *μέρους ἢ*] *μέρους συνωνύμου ἢ* Alex, om $A^b$. | 25. *τι*] *τὸ* $A^b$. | *γένηται* $H^b$. | 26. *αἴτιον* om $A^b$. | 28. *ἢ ὑγίεια*] *ἤτοι ὑγίεια* ***ETas***. | 29. *ἡ* add $EA^b$ Alex ***a***.

Digitized by Google

ποιεῖ τὴν ὑγίειαν ᾧ ἀκολουθεῖ καὶ συμβέβηκε θερμότης. ὥστε ὥσπερ ἐν τοῖς συλλογισμοῖς πάντων ἀρχὴ ἡ οὐσία (ἐκ γὰρ τοῦ τί ἐστιν οἱ συλλογισμοί εἰσιν), ἐνταῦθα δὲ αἱ γενέσεις. ὁμοίως δὲ καὶ τὰ φύσει συνιστάμενα τούτοις ἔχει. τὸ μὲν γὰρ σπέρμα ποιεῖ ὥσπερ τὰ ἀπὸ τέχνης· ἔχει γὰρ δυνά- 145
1034b μει τὸ εἶδος, καὶ ἀφ' οὗ τὸ σπέρμα ἐστί πως ὁμώνυμον· οὐ γὰρ πάντα οὕτω δεῖ ζητεῖν ὡς ἐξ ἀνθρώπου ἄνθρωπος, καὶ γὰρ γυνὴ ἐξ ἀνδρός· διὸ ἡμίονος οὐκ ἐξ ἡμιόνου· ἀλλ' ἐὰν μὴ πήρωμα ᾖ. ὅσα δὲ ἀπὸ ταὐτομάτου ὥσπερ ἐκεῖ γίγνεται, ὅσων ἡ ὕλη δύναται καὶ ὑφ' αὑτῆς κινεῖσθαι ταύτην τὴν κίνησιν ἣν τὸ σπέρμα κινεῖ· ὅσων δὲ μή, ταῦτα ἀδύνατα γίγνεσθαι ἄλλως πως ἢ ἐξ αὐτῶν. οὐ μόνον δὲ περὶ τῆς οὐσίας ὁ λόγος δηλοῖ τὸ μὴ γίγνεσθαι τὸ εἶδος, ἀλλὰ περὶ πάντων ὁμοίως τῶν πρώτων κοινὸς ὁ λόγος, οἷον ποσοῦ ποιοῦ καὶ τῶν ἄλλων κατηγοριῶν. γίγνεται γὰρ ὥσπερ ἡ χαλκῆ σφαῖρα, ἀλλ' οὐ σφαῖρα οὐδὲ χαλκός, καὶ ἐπὶ χαλκοῦ, εἰ γίγνεται (ἀεὶ γὰρ δεῖ προϋπάρχειν τὴν ὕλην καὶ τὸ εἶδος), οὕτως καὶ ἐπὶ τοῦ τί ἐστι καὶ ἐπὶ τοῦ ποιοῦ καὶ ποσοῦ καὶ τῶν ἄλλων ὁμοίως κατηγοριῶν· οὐ γὰρ γίγνεται τὸ ποιὸν ἀλλὰ τὸ ποιὸν ξύλον, οὐδὲ τὸ ποσὸν ἀλλὰ τὸ ποσὸν ξύλον ἢ ζῷον. ἀλλ' ἴδιον τῆς οὐσίας ἐκ τούτων λαβεῖν ἐστιν ὅτι ἀνάγκη προϋπάρχειν ἑτέραν οὐσίαν ἐντελεχείᾳ οὖσαν ἣ ποιεῖ, οἷον ζῷον, εἰ γίγνεται ζῷον· ποιὸν δ' ἢ ποσὸν οὐκ ἀνάγκη ἀλλ' ἢ δυνάμει μόνον.

10 Ἐπεὶ δὲ ὁ ὁρισμὸς λόγος ἐστί, πᾶς δὲ λόγος μέρη ἔχει, ὡς δ' ὁ λόγος πρὸς τὸ πρᾶγμα, καὶ τὸ μέρος τοῦ λόγου πρὸς τὸ μέρος τοῦ πράγματος ὁμοίως ἔχει, ἀπορεῖται ἤδη πότερον δεῖ τὸν τῶν μερῶν λόγον ἐνυπάρχειν ἐν τῷ τοῦ ὅλου λόγῳ

30. καὶ ᾧ συμβέβηκε T, om $H^b$. | θερμότης] ἡ θερμότης E, fort. ἡ ὑγίεια cum Alex p. 467, 25 — 31. | 32. δὲ om Alex. | 33. δὴ E. | 34. τὸ E. | δύναμιν $A^b$.

1034b 1. post σπέρμα comma, post ὁμώνυμον punctum, et 2. ante καὶ et 3. post ἡμιόνου parenthesis signa b. | πως] πρῶτον $A^b$. | 2. δὴ ζητῇ T. | 3. ἀλλ' om $A^b$ et fort. Alex. | 4. ὅσα δὲ om $H^b$. | 5. δύναται om $A^b$. | 6. 7. ἀδύνατον T Alex. | 7. αὐτοῦ $H^b$. | 11. καὶ — 12. γίγνεται om $H^b$. | 12. εἰ add $EA^b$, dubito num recte. | ἀεὶ] εἰ $A^b$. | 13. οὕτω δὲ καὶ as. | 17. ἀναγκαῖον $A^b$ Alex. | ἑτέραν] ἀεὶ ἑτέραν ETias. | οὖσαν ἐντελεχεία T. | 18. ἣ] ἢ a. | εἰ γίγνεται ζῷον om $A^b$. | 19. ἢ] ᾗ as, om $A^bF^b$. | 20. δὲ ὁ Alex, δὴ ὁ $TH^b$, δὲ ascb. | 21. τοῦ — 22. μέρος om $A^b$. | 23. δεῖ om T. | τοῦ ὅλου] ὅλῳ $H^b$.

Digitized by Google

ἢ οὔ. ἐπ' ἐνίων μὲν γὰρ φαίνονται ἐνόντα, ἐπ' ἐνίων δ' οὔ. τοῦ
146 μὲν γὰρ κύκλου ὁ λόγος οὐκ ἔχει τὸν τῶν τμημάτων, ὁ δὲ τῆς
συλλαβῆς ἔχει τὸν τῶν στοιχείων· καίτοι διαιρεῖται καὶ ὁ
κύκλος εἰς τὰ τμήματα ὥσπερ καὶ ἡ συλλαβὴ εἰς τὰ στοι-
χεῖα. ἔτι δ' εἰ πρότερα τὰ μέρη τοῦ ὅλου, τῆς δ' ὀρθῆς ἡ
ὀξεῖα μέρος καὶ ὁ δάκτυλος τοῦ ζῴου, πρότερον ἂν εἴη ἡ ὀξεῖα
τῆς ὀρθῆς καὶ ὁ δάκτυλος τοῦ ἀνθρώπου. δοκεῖ δ' ἐκεῖνα εἶναι
πρότερα· τῷ λόγῳ γὰρ λέγονται ἐξ ἐκείνων, καὶ τῷ εἶναι
δὲ ἄνευ ἀλλήλων πρότερα. ἢ πολλαχῶς λέγεται τὸ μέρος,
ὧν εἷς μὲν τρόπος τὸ μετροῦν κατὰ τὸ ποσόν. ἀλλὰ τοῦτο
μὲν ἀφείσθω· ἐξ ὧν δ' ἡ οὐσία ὡς μερῶν, τοῦτο σκεπτέον.
εἰ οὖν ἐστὶ τὸ μὲν ὕλη τὸ δ' εἶδος τὸ δ' ἐκ τούτων, καὶ 1035a
οὐσία ἥ τε ὕλη καὶ τὸ εἶδος καὶ τὸ ἐκ τούτων, ἔστι μὲν ὡς
καὶ ἡ ὕλη μέρος τινὸς λέγεται, ἔστι δ' ὡς οὔ, ἀλλ' ἐξ ὧν
ὁ τοῦ εἴδους λόγος. οἷον τῆς μὲν κοιλότητος οὐκ ἔστι μέρος
ἡ σάρξ (αὕτη γὰρ ἡ ὕλη ἐφ' ἧς γίγνεται), τῆς δὲ σιμό-
τητος μέρος· καὶ τοῦ μὲν συνόλου ἀνδριάντος μέρος ὁ χαλ-
κός, τοῦ δ' ὡς εἴδους λεγομένου ἀνδριάντος οὔ. λεκτέον γὰρ
τὸ εἶδος καὶ ᾗ εἶδος ἔχει ἕκαστον, τὸ δ' ὑλικὸν οὐδέποτε
καθ' αὑτὸ λεκτέον. διὸ ὁ μὲν τοῦ κύκλου λόγος οὐκ ἔχει
τὸν τῶν τμημάτων, ὁ δὲ τῆς συλλαβῆς τὸν τῶν στοιχείων·
τὰ μὲν γὰρ στοιχεῖα τοῦ λόγου μέρη τοῦ εἴδους καὶ οὐχ ὕλη,
τὰ δὲ τμήματα οὕτως μέρη ὡς ὕλη ἐφ' οἷς ἐπιγίγνεται·
ἐγγυτέρω μέντοι τοῦ εἴδους ἢ ὁ χαλκός, ὅταν ἐν χαλκῷ ἡ
στρογγυλότης ἐγγένηται. ἔστι δ' ὡς οὐδὲ τὰ στοιχεῖα πάντα
τῆς συλλαβῆς ἐν τῷ λόγῳ ἐνέσται, οἷον ταδὶ τὰ κήρινα
ἢ τὰ ἐν τῷ ἀέρι· ἤδη γὰρ καὶ ταῦτα μέρος τῆς συλλα-
147 βῆς ὡς ὕλη αἰσθητή. καὶ γὰρ ἡ γραμμὴ οὐκ εἰ διαιρου-
μένη εἰς τὰ ἡμίση φθείρεται, ἢ ὁ ἄνθρωπος εἰς τὰ ὀστᾶ

24. ἢ οὔ om $A^b$. | ἐπ' ἐνίων $TA^b$*ias* Alex, ἐνίων *cb*. | ἐνόντες $ETA^b$. | ἐπ' ἐνίων *Tias* Alex, ἐνίων *cb*. | 26. καίτοι] καίτοι καὶ $A^b$, καὶ Alex. | καὶ om Alex. | 28. πρότερον $TA^b$*as*. | τὸ μέρος $A^b$. | 29. τοῦ — 30. δάκτυλος om $A^b$. | 30. εἶναι om *T*. | 31. καὶ τῷ] καὶ τὸ *Ta*. | 34. ὡς] ἐστὶ fort. Alex.

1035*a* 1. 2. καὶ ἡ οὐσία ἥ Alex. | 3. ἀλλ'] *quandoquidem i*. | 4. ὁ om *Tas*. | 4. 5. ἡ σὰρξ μέρος $A^b$*as*. | 5. ἡ om *Eas*. | ἀφ' *Tas*. | 6. μέρος τι. καὶ *ETias*. | ὅλου *as*. | 7. εἶδος *T*. | 8. τὸ εἶδος] *specie i*. | 10. συλλαβῆς ἔχει τὸν $A^b$. | 12. τμήματα τούτων οὕτως $A^b$. | 14. ἅπαντα $A^b$*c*. | 17. οὐχ om $H^b$. | ἀεὶ *T*. | 18. ἢ ὁ] ὡς *is*, ὁ om Alex *a*. | ὀστᾶ] στοιχεῖα *T*.

Digitized by Google

*καὶ νεῦρα καὶ σάρκας, διὰ τοῦτο καὶ εἰσὶν ἐκ τούτων οὕτως ὡς ὄντων τῆς οὐσίας μερῶν, ἀλλ' ὡς ἐξ ὕλης, καὶ τοῦ μὲν συνόλου μέρη, τοῦ εἴδους δὲ καὶ οὗ ὁ λόγος οὐκέτι· διόπερ οὐδ' ἐν τοῖς λόγοις. τῶν μὲν οὖν ἐνέσται ὁ τῶν τοιούτων μερῶν λόγος, τῶν δ' οὐ δεῖ ἐνεῖναι, ἂν μὴ ᾖ τοῦ συνειλημμένου· διὰ γὰρ τοῦτο ἔνια μὲν ἐκ τούτων ὡς ἀρχῶν ἐστὶν εἰς ἃ φθείρονται, ἔνια δ' οὐκ ἔστιν. ὅσα μὲν οὖν συνειλημμένα τὸ εἶδος καὶ ἡ ὕλη ἐστίν, οἷον τὸ σιμὸν ἢ ὁ χαλκοῦς κύκλος, ταῦτα μὲν φθείρεται εἰς ταῦτα καὶ μέρος αὐτῶν ἡ ὕλη· ὅσα δὲ μὴ συνείληπται τῇ ὕλῃ ἀλλ' ἄνευ ὕλης, ὧν οἱ λόγοι τοῦ εἴδους μόνον, ταῦτα δ' οὐ φθείρεται, ἢ ὅλως ἢ οὔτοι οὕτω γε. ὥστ' ἐκείνων μὲν ἀρχαὶ καὶ μέρη τὰ ὑφ' αὐτά, τοῦ δ' εἴδους οὔτε μέρη οὔτ' ἀρχαὶ ταῦτα. καὶ διὰ τοῦτο φθείρεται ὁ πήλινος ἀνδριὰς εἰς πηλὸν καὶ ἡ χαλκῆ σφαῖρα εἰς χαλκὸν καὶ ὁ Καλλίας εἰς σάρκα καὶ ὀστᾶ, ἔτι δὲ ὁ κύκλος εἰς τὰ τμήματα· ἔστι γάρ τι ὃ συνείληπται τῇ*

1035*b* *ὕλῃ· ὁμωνύμως γὰρ λέγεται κύκλος ὅ τε ἁπλῶς λεγόμενος καὶ ὁ καθ' ἕκαστα, διὰ τὸ μὴ εἶναι ἴδιον ὄνομα τοῖς καθ' ἕκαστον. εἴρηται μὲν οὖν καὶ νῦν τἀληθές, ὅμως δ' ἔτι σαφέστερον εἴπωμεν ἐπαναλαβόντες. ὅσα μὲν γὰρ τοῦ λόγου μέρη καὶ εἰς ἃ διαιρεῖται ὁ λόγος, ταῦτα πρότερα, ἢ πάντα ἢ ἔνια. ὁ δὲ τῆς ὀρθῆς λόγος οὐ διαιρεῖται εἰς ὀξείας λόγον, ἀλλὰ τῆς ὀξείας εἰς ὀρθήν· χρῆται γὰρ ὁ ὁριζόμενος τὴν ὀξεῖαν τῇ ὀρθῇ· ἐλάττων γὰρ ὀρθῆς ἡ ὀξεῖα.* 148
*ὁμοίως δὲ καὶ ὁ κύκλος καὶ τὸ ἡμικύκλιον ἔχουσιν· τὸ γὰρ ἡμικύκλιον τῷ κύκλῳ ὁρίζεται καὶ ὁ δάκτυλος τῷ ὅλῳ· τὸ γὰρ τοιόνδε μέρος ἀνθρώπου δάκτυλος. ὥσθ' ὅσα μὲν μέρη ὡς ὕλη καὶ εἰς ἃ διαιρεῖται ὡς ὕλην, ὕστερα·*

19. *ἔστιν* **S**, *ἐκεῖν'* $A^b$. | 21. *οὐδ'*] *καὶ* $A^b$. | 22. *τῶν* — 23. *ἐνεῖναι*] *διόπερ τοῖς μὲν ἐνέσται ὁ τῶν τοιούτων μερῶν λόγος, τοῖς δ' οὐ δεῖ ἐνεῖναι γρ* **E**. | 22. *οὖν*] *οὖν οὐκ* **ES**, om $A^b$. | 23. *οὐδ' εἶεν εἶναι* ***as***. | *ἐὰν μὴ τοῦ* $A^b$. | 24. *γὰρ τούτου* **T**. | *ὡς* om $A^b$. | 25. *ὅσα*] *ἔνια*, suprascripto *ὅσα* $A^b$. | 26. *χαλκὸς* ***a***. | 27. *καὶ τὸ μέρος* **T**. | *καὶ μ. α. ἡ ὕλη* om ***i***. | 28. *τῇ*] *ἡ* **S**. | *ἄνευ τῆς ὕλης οἷον λόγοι* **ET*ias***. | 29. 30. *ἢ οὐ τοιούτῳ γε* $A^b$, *ἢ οὔτι οὕτω γε* **E*c***, *ἢ ὅτι οὕτως τε* **T*a*** (*γε*) ***s***. | 30. 31. *τὰ ὑφ' αὐτά*] *ταῦτα* $A^b$, vel hoc scribendum vel audacius ex Alex 474, 15 *τὰ ὑλικά* coniiciendum arbitror. | 31. *ταῦτα* om $A^b$. | 32. *καὶ* — 33. *χαλκὸν* om $H^b$. | *χαλκῆ* addidi ex Alex, om ***iascb***. | 33. 34. *δὲ ὁμοίως ὁ* $A^b$***c***. | 34. *τις ὃς* **ET**, fort. recte.

1035*b* 1. *λέγεται ὁ κ.* **T**. | 1. 2. *λεγόμενος* om Alex. | 2. *οἱ* **E*as***. | *καθ' ἕκαστον* Alex. | 3. *καὶ νῦν* om **T**. | *δέ τι* **ST**. | 9. *ὁ* et *τὸ* prius om **E** **T**$H^b$. | 12. *ὕλη*] *εἰς ὕλην* **T**. | *ὡς*] *ὡς εἰς* **E*as***.

Digitized by Google

*ὅσα δὲ ὡς τοῦ λόγου καὶ τῆς οὐσίας τῆς κατὰ τὸν λόγον, πρότερα, ἢ πάντα ἢ ἔνια. ἐπεὶ δὲ ἡ τῶν ζῴων ψυχή (τοῦτο γὰρ οὐσία τοῦ ἐμψύχου) ἡ κατὰ τὸν λόγον οὐσία καὶ τὸ εἶδος καὶ τὸ τί ἦν εἶναι τῷ τοιῷδε σώματι (ἕκαστον γοῦν τὸ μέρος ἐὰν ὁρίζηται καλῶς, οὐκ ἄνευ τοῦ ἔργου ὁριεῖται, ὃ οὐχ ὑπάρξει ἄνευ αἰσθήσεως)· ὥστε τὰ ταύτης μέρη πρότερα, ἢ πάντα ἢ ἔνια, τοῦ συνόλου ζῴου, καὶ καθ' ἕκαστον δὴ ὁμοίως. τὸ δὲ σῶμα καὶ τὰ τούτου μόρια ὕστερα ταύτης τῆς οὐσίας, καὶ διαιρεῖται εἰς ταῦτα ὡς εἰς ὕλην οὐχ ἡ οὐσία ἀλλὰ τὸ σύνολον. τοῦ μὲν οὖν συνόλου πρότερα ταῦτ' ἔστιν ὥς, ἔστι δ' ὡς οὔ· οὐδὲ γὰρ εἶναι δύναται χωριζόμενα· οὐδὲ γὰρ ὁ πάντως ἔχων δάκτυλος ζῴου, ἀλλ' ὁμώνυμος ὁ τεθνεώς. ἔνια δ' ἅμα, ὅσα κύρια καὶ ἐν ᾧ πρώτῳ ὁ λόγος καὶ ἡ οὐσία, οἷον εἰ τοῦτο καρδία ἢ ἐγκέφαλος· διαφέρει γὰρ οὐθὲν πότερον τοιοῦτον. ὁ δ' ἄνθρωπος καὶ ὁ ἵππος καὶ τὰ οὕτως ἐπὶ τῶν καθ' ἕκαστα, καθόλου δέ, οὐκ ἔστιν οὐσία, ἀλλὰ σύνολόν τι ἐκ τουδὶ τοῦ λόγου καὶ τησδὶ τῆς ὕλης ὡς καθόλου· καθ' ἕκαστον δ' ἐκ τῆς ἐσχάτης ὕλης ὁ Σωκράτης ἤδη ἐστίν, καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. μέρος μὲν οὖν ἐστὶ καὶ τοῦ εἴδους (εἶδος δὲ λέγω τὸ τί ἦν εἶναι) καὶ τοῦ συνόλου τοῦ ἐκ τοῦ εἴδους καὶ τῆς ὕλης καὶ τῆς ὕλης αὐτῆς. ἀλλὰ τοῦ λόγου μέρη τὰ τοῦ εἴδους μόνον ἐστίν, ὁ δὲ λόγος ἐστὶ τοῦ*
149 *καθόλου· τὸ γὰρ κύκλῳ εἶναι καὶ κύκλος καὶ ψυχῇ εἶναι* 1036*a*
*καὶ ψυχὴ ταὐτό. τοῦ δὲ συνόλου ἤδη, οἷον κύκλου τουδί, τῶν καθ' ἕκαστά τινος ἢ αἰσθητοῦ ἢ νοητοῦ (λέγω δὲ νοητοὺς μὲν οἷον τοὺς μαθηματικούς, αἰσθητοὺς δὲ οἷον τοὺς χαλκοῦς καὶ ξυλίνους), τούτων δὲ οὐκ ἔστιν ὁρισμός, ἀλλὰ μετὰ νοήσεως ἢ αἰσθήσεως γνωρίζονται. ἀπελθόντα δ' ἐκ τῆς*

15. 16. καὶ τὸ εἶδος οὐσία *Si*. | 16. τοιούτῳ *ETas*. | post σώματι et 18. post αἰσθήσεως colon *b*. | ἑκάστου *ETias*. | 17. καλῶς] τὸ μέρος καλῶς $A^b$, καλῶς τὸ μέρος fort. Alex. | 18. ὑπάρχει $STH^b$. | ταύτης] τοιαῦτα *T*. | 21. αὐτὰ *T*. | 22. οὐχ ἡ οὐσία *a*, οὐκ οὐσίαν $A^b$. | οὖν et 23. ἔστιν ὥς om *T*. | 24. οὐ *ESc*. | παντοίως $H^b$, ἄλλως πως $A^b$. | 27. πότερον τὸ τοιοῦτον $A^b$. | ὁ δ'] ὁ δὲ καθόλου fort. Alex. | 28. ὁ om $A^b$. | τὰ] ταῦτα $A^b$. | post ἕκαστα colo, post δέ non distinguunt *cb*. | δέ] δ' *cb*. | 33. καὶ] ὥσπερ καὶ Alex. | τοῦ ἐκ] τῷ ἐκ *S*. | καὶ τῆς ὕλης de coniectura addidi. | τῆς] ὡς $A^b$. | 34. ἐστὶ τοῦ] modo ἐστὶ τοῦ, modo ἐστὶ τὸ Alex.

1036*a* 2. ἤδη] ἡ *EST*. | 2. 3. τουδὶ καὶ τῶν *ESTi*, fort. recte. | 3. ἢ post τινος om *ESi*. | 5. ante ξυλίνους add τοὺς $A^b cb$. | δὲ] δὲ δὴ *as*. | 6. ἀπελθόντα scripsi cum *i*, coll. p. 1040*a* 3, ἀπελθόντας *ascb*.

Digitized by Google

ἐντελεχείας οὐ δῆλον πότερόν ποτέ εἰσιν ἢ οὐκ εἰσίν, ἀλλ' ἀεὶ λέγονται καὶ γνωρίζονται τῷ καθόλου λόγῳ. ἡ δ' ὕλη ἄγνωστος καθ' αὑτήν. ὕλη δ' ἡ μὲν αἰσθητή ἐστιν ἡ δὲ νοητή, αἰσθητὴ μὲν οἷον χαλκὸς καὶ ξύλον καὶ ὅση κινητὴ ὕλη, νοητὴ δὲ ἡ ἐν τοῖς αἰσθητοῖς ὑπάρχουσα μὴ ᾗ αἰσθητά, οἷον τὰ μαθηματικά. πῶς μὲν οὖν ἔχει περὶ ὅλου καὶ μέρους, καὶ περὶ τοῦ προτέρου καὶ ὑστέρου, εἴρηται. πρὸς δὲ τὴν ἐρώτησιν ἀνάγκη ἀπαντᾶν, ὅταν τις ἔρηται πότερον ἡ ὀρθὴ καὶ ὁ κύκλος καὶ τὸ ζῷον πρότερον, ἢ εἰς ἃ διαιροῦνται καὶ ἐξ ὧν εἰσί, τὰ μέρη, ὅτι οὐχ ἁπλῶς. εἰ μὲν γάρ ἐστι καὶ ἡ ψυχὴ ζῷον ἔμψυχον ἢ ἕκαστον ἡ ἑκάστου, καὶ ὁ κύκλος τὸ κύκλῳ εἶναι, καὶ ἡ ὀρθὴ τὸ ὀρθῇ εἶναι καὶ ἡ οὐσία ἡ τῆς ὀρθῆς, τὶ μὲν καὶ τινὸς φατέον ὕστερον, οἷον τῶν ἐν τῷ λόγῳ καὶ τινὸς ὀρθῆς (καὶ γὰρ ἡ μετὰ τῆς ὕλης ἡ χαλκῆ ὀρθή, καὶ ἡ ἐν ταῖς γραμμαῖς ταῖς καθ' ἕκαστα)· ἡ δ' ἄνευ ὕλης τῶν μὲν ἐν τῷ λόγῳ ὕστερα, τῶν δ' ἐν τῷ καθ' ἕκαστα μορίων προτέρα. ἁπλῶς δ' οὐ φατέον. εἰ δ' ἑτέρα καὶ μή ἐστιν ἡ ψυχὴ ζῷον, καὶ οὕτω τὰ μὲν φατέον τὰ δ' οὐ φατέον, ὥσπερ εἴρηται.

11 Ἀπορεῖται δ' εἰκότως καὶ ποῖα τοῦ εἴδους μέρη καὶ ποῖα οὔ, ἀλλὰ τοῦ συνειλημμένου. καίτοι τούτου μὴ δήλου 150
ὄντος οὐκ ἔστιν ὁρίσασθαι ἕκαστον. τοῦ γὰρ καθόλου καὶ τοῦ εἴδους ὁ ὁρισμός· ποῖα οὖν ἐστὶ τῶν μερῶν ὡς ὕλη καὶ ποῖα οὔ, ἐὰν μὴ ᾖ φανερά, οὐδὲ ὁ λόγος ἔσται φανερὸς ὁ τοῦ πράγματος. ὅσα μὲν οὖν φαίνεται ἐπιγιγνόμενα ἐφ' ἑτέρων τῷ εἴδει, οἷον κύκλος ἐν χαλκῷ καὶ λίθῳ καὶ ξύλῳ, ταῦτα μὲν δῆλα εἶναι δοκεῖ ὅτι οὐθὲν τῆς τοῦ κύκλου οὐσίας ὁ χαλκὸς οὐδ' ὁ λίθος διὰ τὸ χωρίζεσθαι αὐτῶν. ὅσα δὲ μὴ ὁρᾶται χωριζόμενα, οὐθὲν μὲν κωλύει ὁμοίως ἔχειν

7. ποτέ om $A^b$. | 9. ἐστιν om T. | 10. διανοητή T. | ὅσα κινεῖται $A^b$. | 11. νοητὴ] ἡ $A^b$. | μὴ om $H^b$. | αἰσθητὰ] αἰσθητοῖς $F^b$. | 12. οἷον] ὄντα $A^b$. | 12. 13. ὅλου καὶ περὶ μέρους $A^b$, μέρους καὶ ὅλου Alex. | 13. περὶ τοῦ om Alex. | 14. ἅπαντα T. | ἐρωτᾷ Tas. | 15. πρότερα E. | διαιρεῖται $A^b$. | 16. καὶ] τὰ as. | τὰ μέρη fort. om Alex. | 17. ante ζῷον fort. add τὸ Alex p. 478, 25. 479, 17. | ἢ ἔμψυχον (ἔμψυχος E) ἢ ἕκαστον $EA^b$ Alex ic, ἢ ἕκαστον ἢ ἔμψυχον S. | ἡ Alex, ᾗ E, ἢ iascb. | 17. 18. καὶ ὁ κύκλος Alex as, καὶ κύκλος cb. | 18. τῷ κ. s. | ἡ om $A^b$. | τὸ] τῇ as. | 19. τί — τίνος asc. | ὕστερον om as. | 20. τίνος as. | post ὀρθῆς punctum cb. | 25. οὐ om S. | 26. τοῦ] ἔσται τοῦ $A^b$, ἐστι τοῦ $F^b$. | 27. 28. δηλοῦντος οὐκ T. | 29. ποῖα οὖν] ἢ ποῖα οὖν $A^b$. | 33. μὲν οὖν δ. as.

Digitized by Google

*τούτοις, ὥσπερ κἂν εἰ οἱ κύκλοι πάντες ἑωρῶντο χαλκοῖ* 1036*b* *(οὐθὲν γὰρ ἂν ἧττον ἦν ὁ χαλκὸς οὐθὲν τοῦ εἴδους), χαλεπὸν δὲ ἀφελεῖν τοῦτο τῇ διανοίᾳ. οἷον τὸ τοῦ ἀνθρώπου εἶδος ἀεὶ ἐν σαρξὶ φαίνεται καὶ ὀςοῖς καὶ τοῖς τοιούτοις μέρεσιν· ἆρ' οὖν καὶ ἐςὶ ταῦτα μέρη τοῦ εἴδους καὶ τοῦ λόγου; ἢ οὔ, ἀλλ' ὕλη, ἀλλὰ διὰ τὸ μὴ καὶ ἐπ' ἄλλων ἐπιγίγνεσθαι ἀδυνατοῦμεν χωρίσαι. ἐπεὶ δὲ τοῦτο δοκεῖ μὲν ἐνδέχεσθαι, ἄδηλον δὲ πότε, ἀποροῦσί τινες ἤδη καὶ ἐπὶ τοῦ κύκλου καὶ τοῦ τριγώνου, ὡς οὐ προσῆκον γραμμαῖς ὁρίζεσθαι καὶ τῷ συνεχεῖ, ἀλλὰ πάντα ταῦτα ὁμοίως λέγεσθαι ὡσανεὶ σάρκες ἢ ὀςᾶ τοῦ ἀνθρώπου καὶ χαλκὸς καὶ λίθος τοῦ ἀνδριάντος· καὶ ἀνάγουσι πάντα εἰς τοὺς ἀριθμούς, καὶ γραμμῆς τὸν λόγον τὸν τῶν δύο εἶναί φασιν. καὶ τῶν τὰς ἰδέας λεγόντων οἱ μὲν αὐτογραμμὴν τὴν δυάδα, οἱ δὲ τὸ εἶδος τῆς γραμμῆς· ἔνια μὲν γὰρ εἶναι ταὐτὰ τὸ εἶδος καὶ οὗ τὸ εἶδος, οἷον δυάδα καὶ τὸ εἶδος δυάδος· ἐπὶ γραμμῆς δὲ οὐκέτι. συμβαίνει δὴ ἕν τε πολλῶν εἶδος εἶναι, ὧν τὸ εἶδος φαίνεται ἕτερον, ὅπερ καὶ τοῖς Πυθα-*
151 *γορείοις συνέβαινεν· καὶ ἐνδέχεται ἓν πάντων ποιεῖν αὐτὸ εἶδος, τὰ δ' ἄλλα μὴ εἴδη· καίτοι οὕτως ἓν πάντα ἔςαι. ὅτι μὲν οὖν ἔχει τινὰ ἀπορίαν τὰ περὶ τοὺς ὁρισμούς, καὶ διὰ τίν' αἰτίαν, εἴρηται. διὸ καὶ τὸ πάντ' ἀνάγειν οὕτω καὶ ἀφαιρεῖν τὴν ὕλην περίεργον· ἔνια γὰρ ἴσως τόδ' ἐν τῷδ' ἐςίν, ἢ ὡδὶ ταδὶ ἔχοντα. καὶ ἡ παραβολὴ ἡ ἐπὶ τοῦ ζῴου, ἣν εἰώθει λέγειν Σωκράτης ὁ νεώτερος, οὐ καλῶς ἔχει· ἀπάγει γὰρ ἀπὸ τοῦ ἀληθοῦς, καὶ ποιεῖ ὑπολαμβάνειν ὡς ἐνδεχόμενον εἶναι τὸν ἄνθρωπον ἄνευ τῶν μερῶν, ὥσπερ ἄνευ τοῦ χαλκοῦ τὸν κύκλον. τὸ δ' οὐχ ὅμοιον· αἰσθητὸν γάρ τι τὸ ζῷον, καὶ ἄνευ κινήσεως οὐκ ἔςιν ὁρίσασθαι, διὸ*

**1036*b*** **1.** *εἰ* om ***A**^b*. | **2.** *ἂν* om ***as***. | *οὐθὲν* ante *τοῦ* om ***ETas***. | **3.** *τοῦτον* ***A**^b*. | *τὸ* om ***S***. | **5.** *μέρη ταῦτα* ***ETas***. | post *λόγου* comma et **6.** post *ὕλη* signum interrogandi ***cb***. | **6.** *ἄλλω* ***TA**^b**as***. | **7.** *μὲν* om ***Tas***. | **8.** *δέ ποτε* ***asc***. | *πότε* om ***T***. | **8. 9.** *καὶ τοῦ*] *καὶ ἐπὶ τοῦ* ***ETas***. | **10.** *πάντα καὶ ταῦτα* ***A**^b*, *ταῦτα πάντα* ***Tas***. | **11. 12.** *καὶ χαλκὸς — ἀνδριάντος* om ***H**^b*. | *τοῦ ἀνδριάντος* ***A**^b* Alex: ceteri *κύκλου*, fort. recte. | *ἢ ἀνδριάντος γρ* ***E***. | **12.** *πάντας* ***S***, *πάντως γρ* ***E***. | **12. 13.** *καὶ αὐτογραμμῆς γρ* ***E***. | **15.** *τὸ αὐτὸ* ***A**^b*. | **16.** *τὸ* post *καὶ* om ***A**^b*. | **17.** *δὴ* ***S***. | *οὐκέτι* Ascl: ceteri et ***cb*** *οὐκ ἔστι*. | *τε*] *τῶν* Alex. | **19.** *αὐτὸ ποιεῖν* ***T***. | **21.** *ἀπορίαν τινὰ* ***ETas***. | *τὰ* om ***T***. | *ἀριθμούς* ***H**^b*. | **22.** *διὸ καὶ* om ***T***. | *τὸ* om ***A**^b*. | **23.** *περὶ ἔργον* ***T***. | **24.** *ταδὶ ἔχοντα*] *τοδὶ ἔχον* ***as***, *ταδὶ* om Alex. | **29.** *τι*] *τι ἴσως* ***ETias***.

οὐδ' ἄνευ τῶν μερῶν ἐχόντων πῶς. οὐ γὰρ πάντως τοῦ ἀνθρώπου μέρος ἡ χείρ, ἀλλ' ἡ δυναμένη τὸ ἔργον ἀποτελεῖν, ὥστε ἔμψυχος οὖσα· μὴ ἔμψυχος δὲ οὐ μέρος. περὶ δὲ τὰ μαθηματικά, διὰ τί οὐκ εἰσὶ μέρη οἱ λόγοι τῶν λόγων, οἷον τοῦ κύκλου τὰ ἡμικύκλια; οὐ γάρ ἐστιν αἰσθητὰ ταῦτα. ἢ οὐθὲν διαφέρει· ἔσται γὰρ ὕλη ἐνίων καὶ μὴ αἰσθητῶν,
1037a καὶ παντὸς [γὰρ ὕλη τίς ἐστιν] ὃ μή ἐστι τί ἦν εἶναι [καὶ εἶδος αὐτὸ καθ' αὑτὸ ἀλλὰ τόδε τι]. κύκλου μὲν οὖν οὐκ ἔσται τοῦ καθόλου, τῶν δὲ καθ' ἕκαστα ἔσται μέρη ταῦτα, ὥσπερ εἴρηται πρότερον· ἔστι γὰρ ἡ ὕλη ἡ μὲν αἰσθητὴ ἡ δὲ νοητή. δῆλον δὲ καὶ ὅτι ἡ μὲν ψυχὴ οὐσία ἡ πρώτη, τὸ δὲ σῶμα ὕλη, ὁ δ' ἄνθρωπος ἢ τὸ ζῷον τὸ ἐξ ἀμφοῖν ὡς καθόλου· Σωκράτης δὲ καὶ Κορίσκος, εἰ μὲν καὶ ἡ ψυχή, διττόν· οἱ μὲν γὰρ ὡς ψυχήν, οἱ δ' ὡς τὸ σύνολον· εἰ δ' ἁπλῶς ἡ ψυχὴ ἥδε καὶ σῶμα τόδε, ὥσπερ τὸ κα- 152
θόλου [τε] καὶ τὸ καθ' ἕκαστον. πότερον δ' ἔστι παρὰ τὴν ὕλην τῶν τοιούτων οὐσιῶν τις ἄλλη, καὶ δεῖ ζητεῖν οὐσίαν αὐτῶν ἑτέραν τινὰ οἷον ἀριθμοὺς ἤ τι τοιοῦτον, σκεπτέον ὕστερον. τούτου γὰρ χάριν καὶ περὶ τῶν αἰσθητῶν οὐσιῶν πειρώμεθα διορίζειν, ἐπεὶ τρόπον τινὰ τῆς φυσικῆς καὶ δευτέρας φιλοσοφίας ἔργον ἡ περὶ τὰς αἰσθητὰς οὐσίας θεωρία· οὐ γὰρ μόνον περὶ τῆς ὕλης δεῖ γνωρίζειν τὸν φυσικόν, ἀλλὰ καὶ τῆς κατὰ τὸν λόγον, καὶ μᾶλλον. ἐπὶ δὲ τῶν ὁρισμῶν πῶς μέρη τὰ ἐν τῷ λόγῳ, καὶ διὰ τί εἷς λόγος ὁ ὁρισμός, δῆλον γὰρ ὅτι τὸ πρᾶγμα ἕν, τὸ δὲ πρᾶγμα τίνι ἕν, μέρη γε ἔχον, σκεπτέον ὕστερον.

Τί μὲν οὖν ἐστὶ τὸ τί ἦν εἶναι καὶ πῶς αὐτὸ καθ'

30. οὐδ' om $A^b$. | 31. ἡ ante χείρ om $A^b$ Alex. | 34. τοῦ add $A^b$ et fort. Alex, dubito num recte. | 35. post διαφέρει signum interrogandi et post αἰσθητῶν colon *b*.

1037*a* 1. et 2. verba uncinis inclusa add $A^b$*cb*. | 2. κύκλου — 3. καθόλου] τοῦ μὲν καθόλου κύκλου οὐκ ἔσται μέρη καθόλου $A^b$*c*. | 5. νοητή] οὐκ αἰσθητή *T*. | καὶ om $A^b$. | 7. εἰ om *T*. | καὶ add $A^b$ Alex. | 8. ante διττόν non distinguunt *cb*. | διττόν] σωκράτης διττόν $A^b$. | οἱ δ'] ἡ δ' *ST*. | 9. καὶ] καὶ τὸ *as*, om $A^b$. | τόδε] τὰ δὲ $A^b$. | τὰ $A^b$. | 10. τε ante καθόλου ponit *c*, omittendum arbitror cum *as* Alex. | ἔστι τι παρὰ *ETas* Alex. | 11. τις ante οὐσιῶν *ETas*, om Alex. | ζητεῖν τὴν οὐσίαν $A^b$. | 12. αὐτῶν om $A^b$. | ἀριθμὸς *S*. | 14. ἐπεὶ] ἢ ἐπεὶ $A^b$. | 17. ἐπὶ] εἰ $A^b$, fort. ἔτι, quod coniecit Brand., cf. Alex p. 485, 7. | 18. μερισμῶν *S*. | 19. δῆλον — 20. ἔχον parenthesi includit *b*. | 20. τίνι Alex p. 486, 20 Ascl *isc*, τινὶ *ab*.

Digitized by Google

*αὐτό, καθόλȣ περὶ παντὸς εἴρηται, καὶ διὰ τί τῶν μὲν ὁ λόγος ὁ τȣ̃ τί ἦν εἶναι ἔχει τὰ μόρια τοῦ ὁριζομένȣ, τῶν δ' οὔ, καὶ ὅτι ἐν μὲν τῷ τῆς ȣ̓σίας λόγῳ τὰ ȣ̔́τω μόρια ὡς ὕλη ȣ̓κ ἐνέςαι. ȣ̓δὲ γάρ ἔςιν ἐκείνης μόρια τῆς ȣ̓σίας ἀλλὰ τῆς συνόλης· ταύτης δέ γ' ἔςι πως λόγος καὶ οὐκ ἔστιν. μετὰ μὲν γὰρ τῆς ὕλης οὐκ ἔςιν (ἀόριστον γάρ), κατὰ τὴν πρώτην δ' ȣ̓σίαν ἔςιν, οἷον ἀνθρώπȣ ὁ τῆς ψυχῆς λόγος. ἡ οὐσία γάρ ἐστι τὸ εἶδος τὸ ἐνόν, ἐξ οὗ καὶ τῆς ὕλης ἡ σύνολος λέγεται οὐσία, οἷον ἡ κοιλότης· ἐκ γὰρ ταύτης καὶ τῆς ῥινὸς σιμὴ ῥὶς καὶ ἡ σιμότης ἐςί· δὶς γὰρ ἐν τȣ́τοις ὑπάρξει ἡ ῥίς. ἐν δὲ τῇ συνόλῳ ȣ̓σίᾳ, οἷον ῥινὶ σιμῇ ἢ Καλλίᾳ, ἐνέσται καὶ ἡ ὕλη. καὶ ὅτι τὸ τί ἦν εἶναι καὶ ἕκαςον ἐπὶ τινῶν μὲν ταὐτόν, ὥσπερ ἐπὶ τῶν πρώ-* 1037b *των οὐσιῶν, οἷον καμπυλότης καὶ καμπυλότητι εἶναι, εἰ* 153 *πρώτη ἐςίν (λέγω δὲ πρώτην ἣ μὴ λέγεται τῷ ἄλλο ἐν ἄλλῳ εἶναι καὶ ὑποκειμένῳ ὡς ὕλῃ)· ὅσα δ' ὡς ὕλη ἢ ὡς συνειλημμένα τῇ ὕλῃ, ȣ̓ ταὐτό, οὐδ' ὅσα κατὰ συμβεβηκὸς ἕν, οἷον ὁ Σωκράτης καὶ τὸ μουσικόν. ταῦτα γὰρ ταὐτὰ κατὰ συμβεβηκός.*

12 *Νῦν δὲ λέγωμεν πρῶτον, ἐφ' ὅσον ἐν τοῖς ἀναλυτικοῖς περὶ ὁρισμοῦ μὴ εἴρηται· ἡ γὰρ ἐν ἐκείνοις ἀπορία λεχθεῖσα πρὸ ἔργου τοῖς περὶ τῆς ȣ̓σίας ἐςὶ λόγοις. λέγω δὲ ταύτην τὴν ἀπορίαν, διὰ τί ποτε ἕν ἐςιν ȣ̔̃ τὸν λόγον ὁρισμὸν εἶναί φαμεν, οἷον τοῦ ἀνθρώπου τὸ ζῷον δίπουν· ἔςω γὰρ ȣ̔̃τος αὐτȣ̃ λόγος. διὰ τί δὴ τȣ̃το ἕν ἐςιν ἀλλ' ȣ̓ πολλά, ζῷον καὶ δίπουν; ἐπὶ μὲν γὰρ τοῦ ἄνθρωπος*

22. καθόλου om **S**. | ὁ om $A^b$. | 23. ὁ om $F^b$. | 24. ἓν **T**. | 25. ὡς ἡ ὕλη **a**. | ἔνεστιν **Sas**. | οὐδὲ — 27. ἔστιν om **S**. | 25. οὐδὲ] οὐ **as**. | ἐκεῖνα $H^b$. | 26. συνόλου **Tas**, fort. recte, συνόλου an συνόδου Alex. | δέ γ'] δ' **T**. | 29. γὰρ οὐσία **ETas**. | 30. σύνολος **ETias** Alex, σύνοδος **cb**. | 31. δὶς] δι' ἃ $A^b$. | 32. ὑπάρχει **Sas**. | 33. ἢ om $TA^b$. | ἔνεστι **is** et fort. Alex, ἕν ἐστι **a**. | τὸ τί om $A^b$.

1037b 1. εἶναι καὶ ἕκαστον **Eias** Alex, εἶναι ἕκαστον **cb**. | 2. καμπυλότης καὶ om $A^b$. | εἰ] ἡ $STA^ba$. | 3. ante λέγω et 4. ante ὅσα punctum **cb**. | 3. πρῶτον ἢ $A^b$. | τὸ $A^b$. | 4. ὕλῃ] ὕλη **ascb**. | 5. ὡς τὰ συν. $A^b$. | οὐδὲ] εἰ μὴ **as**. | ὅσα de coniectura addidi. | 6. οἷον σωκράτης καὶ μουσικός $A^b$. | 7. ταῦτα **S**, πάντα **T**. | κατὰ] καὶ κατὰ **ES**. | 8. λέγομεν $TH^b$, λέγω $F^b$. | 9. μὴ] μοι **T**, om $F^b$. | 10. λόγοις ἐστί $A^bc$. | 11. ἓν om $A^b$. | ἐστιν] ἐστι τὸ ὁριστὸν **Sias**. | 12. τοῦ] ὁ τοῦ **ETas**. | 13. ἔστω — 14. δίπουν om $TA^b$. | 13. οὗτος om **i**.

Digitized by Google

*καὶ λευκὸν πολλὰ μέν ἐστιν, ὅταν μὴ ὑπάρχῃ θατέρῳ θάτερον, ἓν δέ, ὅταν ὑπάρχῃ καὶ πάθῃ τι τὸ ὑποκείμενον ὁ ἄνθρωπος· τότε γὰρ ἓν γίγνεται καὶ ἔστιν ὁ λευκὸς ἄνθρωπος. ἐνταῦθα δ' οὐ μετέχει θατέρου θάτερον· τὸ γὰρ γένος οὐ δοκεῖ μετέχειν τῶν διαφορῶν· ἅμα γὰρ ἂν τῶν ἐναντίων τὸ αὐτὸ μετεῖχεν· αἱ γὰρ διαφοραὶ ἐναντίαι, αἷς διαφέρει τὸ γένος. εἰ δὲ καὶ μετέχει, ὁ αὐτὸς λόγος, εἴπερ εἰσὶν αἱ διαφοραὶ πλείους, οἷον πεζόν, δίπουν, ἄπτερον. διὰ τί γὰρ ταῦθ' ἓν ἀλλ' οὐ πολλά; οὐ γὰρ ὅτι ἐνυπάρχει· οὕτω μὲν γὰρ ἐξ ἁπάντων ἔσται ἕν. δεῖ δέ γε ἓν εἶναι ὅσα ἐν τῷ ὁρισμῷ· ὁ γὰρ ὁρισμὸς λόγος τίς ἐστιν εἷς καὶ οὐσίας, ὥσθ' ἑνός τινος δεῖ αὐτὸν εἶναι λόγον· καὶ γὰρ ἡ οὐσία ἕν τι καὶ τόδε τι σημαίνει, ὡς φαμέν. δεῖ δ' ἐπισκοπεῖν πρῶτον περὶ τῶν κατὰ τὰς διαιρέσεις ὁρι-* 154
*σμῶν. οὐθὲν γὰρ ἕτερόν ἐστιν ἐν τῷ ὁρισμῷ πλὴν τό τε πρῶτον λεγόμενον γένος καὶ αἱ διαφοραί· τὰ δ' ἄλλα γένη ἐστὶ τό τε πρῶτον καὶ μετὰ τούτου αἱ συλλαμβανόμεναι διαφοραί, οἷον τὸ πρῶτον ζῷον, τὸ δ' ἐχόμενον ζῷον δίπουν, καὶ πάλιν ζῷον δίπουν ἄπτερον· ὁμοίως δὲ*
1038*a* *κἂν διὰ πλειόνων λέγηται. ὅλως δ' οὐθὲν διαφέρει διὰ πολλῶν ἢ δι' ὀλίγων λέγεσθαι, ὥστ' οὐδὲ δι' ὀλίγων ἢ διὰ δυοῖν· τοῖν δυοῖν δὲ τὸ μὲν διαφορὰ τὸ δὲ γένος, οἷον τοῦ ζῷον δίπουν τὸ μὲν ζῷον γένος, διαφορὰ δὲ θάτερον. εἰ οὖν τὸ γένος ἁπλῶς μὴ ἔστι παρὰ τὰ ὡς γένους εἴδη, ἢ εἰ ἔστι μὲν ὡς ὕλη δ' ἐστίν (ἡ μὲν γὰρ φωνὴ γένος καὶ ὕλη, αἱ δὲ διαφοραὶ τὰ εἴδη καὶ τὰ στοιχεῖα ἐκ ταύτης ποιοῦσιν), φανερὸν ὅτι ὁ ὁρισμός ἐστιν ὁ ἐκ τῶν διαφορῶν λόγος. ἀλλὰ μὴν καὶ δεῖ γε διαιρεῖσθαι τὴν τῆς διαφορᾶς διαφοράν, οἷον ζῴου διαφορὰ τὸ ὑπόπουν· πάλιν τοῦ ζῴου τοῦ ὑπόποδος τὴν διαφορὰν δεῖ εἰδέναι ᾗ ὑπόπουν.*

16. ἓν] εἰ *A*[b]. | 17. τοῦτο *S*. | 19. ἂν om *A*[b]. | 22. αἱ om *E*. | 23. 24. οὐ γὰρ ὅτι ἐνυπάρχει om *Sas*. | 24. ἔσται τὸ ἓν *as*. | 25. ἐν] ἓν *ETas*, om *c*. | 26. οὐσία *ETias*. | ὥσπερ *S*. | λόγον εἶναι *ST*. | καὶ] εἰ *A*[b]. | 28. σκοπεῖν *F*[b]. | 29. τε om *A*[b]. | 30. καὶ διαφοραί *A*[b], καὶ ἡ διαφορὰ Alex et γρ *E*. | 31. τοῦτο *S*.

1038*a* 1. καὶ ἐὰν *A*[b]. | 2. δι' prius om *A*[b]. | λέγεσθαι — ὀλίγων om *as*. | 4. τοῦ] τὸ *ETas*. | 7. καὶ τὰ στοιχ.] *nam elementa quoque i.* | ἐκ] δ' ἐκ *E*. | 8. ὁ post ὅτι om *Tas*. | 9. γε om Alex. | *dividi differentia differentiam i.* | 10. ζώω *T*. | 11. εἰδέναι] εἶναι *A*[b], legendum arbitror διελεῖν coll. Alex p. 490, 7.

Digitized by Google

ὥστ' οὐ λεκτέον τοῦ ὑπόποδος τὸ μὲν πτερωτὸν τὸ δὲ ἄπτερον, ἐάνπερ λέγῃ καλῶς, ἀλλὰ διὰ τὸ ἀδυνατεῖν ποιήσει τοῦτο· ἀλλ' ἢ τὸ μὲν σχιζόπουν τὸ δ' ἄσχιστον· αὗται γὰρ διαφοραὶ ποδός· ἡ γὰρ σχιζοποδία ποδότης τις. καὶ οὕτως ἀεὶ βούλεται βαδίζειν ἕως ἂν ἔλθῃ εἰς τὰ ἀδιάφορα. τότε δ' ἔσονται τοσαῦτα εἴδη ποδὸς ὅσαιπερ αἱ διαφοραί, καὶ τὰ ὑπόποδα ζῷα ἴσα ταῖς διαφοραῖς. εἰ δὴ ταῦτα οὕτως ἔχει, φανερὸν ὅτι ἡ τελευταία διαφορὰ ἡ οὐσία τοῦ πράγματος ἔσται καὶ ὁ ὁρισμός, εἴπερ μὴ δεῖ πολλάκις ταὐτὰ λέγειν ἐν τοῖς ὅροις· περίεργον γάρ. συμβαίνει δέ
155 γε τοῦτο· ὅταν γὰρ εἴπῃ ζῷον ὑπόπουν δίπουν, οὐθὲν ἄλλο εἴρηκεν ἢ ζῷον πόδας ἔχον, δύο πόδας ἔχον· κἂν τοῦτο διαιρῇ τῇ οἰκείᾳ διαιρέσει, πλεονάκις ἐρεῖ καὶ ἰσάκις ταῖς διαφοραῖς. ἐὰν μὲν δὴ διαφορᾶς διαφορὰ γίγνηται, μία ἔσται ἡ τελευταία τὸ εἶδος καὶ ἡ οὐσία· ἐὰν δὲ κατὰ συμβεβηκός, οἷον εἰ διαιροῖ τοῦ ὑπόποδος τὸ μὲν λευκὸν τὸ δὲ μέλαν, τοσαῦται ὅσαι ἂν αἱ τομαὶ ὦσιν. ὥστε φανερὸν ὅτι ὁ ὁρισμὸς λόγος ἐστὶν ὁ ἐκ τῶν διαφορῶν, καὶ τούτων τῆς τελευταίας κατά γε τὸ ὀρθόν. δῆλον δ' ἂν εἴη, εἴ τις μετατάξειε τοὺς τοιούτους ὁρισμούς, οἷον τὸν τοῦ ἀνθρώπου, λέγων ζῷον δίπουν ὑπόπουν· περίεργον γὰρ τὸ ὑπόπουν εἰρημένου τοῦ δίποδος. τάξις δ' οὐκ ἔστιν ἐν τῇ οὐσίᾳ· πῶς γὰρ δεῖ νοῆσαι τὸ μὲν ὕστερον τὸ δὲ πρότερον; περὶ μὲν οὖν τῶν κατὰ τὰς διαιρέσεις ὁρισμῶν τοσαῦτα εἰρήσθω τὴν πρώτην, ποῖοί τινές εἰσιν.

13 Ἐπεὶ δὲ περὶ τῆς οὐσίας ἡ σκέψις ἐστί, πάλιν ἐπανέλθωμεν. 1038b λέγεται δ' ὥσπερ τὸ ὑποκείμενον οὐσία εἶναι καὶ τὸ τί ἦν εἶναι καὶ τὸ ἐκ τούτων, καὶ τὸ καθόλου. περὶ μὲν οὖν τοῖν δυοῖν εἴρηται· καὶ γὰρ περὶ τοῦ τί ἦν εἶναι καὶ τοῦ ὑποκειμένου, ὅτι διχῶς ὑπόκειται, ἢ τόδε τι ὄν, ὥσπερ τὸ ζῷον τοῖς πάθεσιν, ἢ ὡς ἡ ὕλη τῇ ἐντελεχείᾳ. δοκεῖ δὲ

13. ἄνπερ *a*, κἄνπερ *sc*. | περ om *S*. | λέγηται *STias*. | δυνατεῖν $A^b$, ἀδύνατον *S*. | 14. ἢ $A^b$, ἢ *c*, εἰ ceteri. | 15. π. τίς ἐστι *as*. | 16. ὡς *a*. | 20. ὁ om *T*. | εἴπερ μὴ] *nec sane i*. | 21. ταῦτα *as*, τὸ αὐτὸ fort. Alex, om *T*. | 23. ἢ] εἰ μὴ $A^b$. | πόδας post ζῷον om *ET*. | ἔχον alterum ante δύο *S*, om *T*. | 25. γίγνεται *S*, γένηται $TF^bas$. | 27. διαιρεῖ $SA^b$, διαιροίη *as*. | 28. τοσαῦτα $A^b$. | 30. δ' om *T*. | 30. 31. μετάξειε *a*. | 31. λόγον *S*. | 34. πρῶτον Alex. | 35. τὴν πρώτην om *i*. | ὁποῖοί fort. Alex.

1038*b* 1. δὴ $F^b$. | ἐστὶν ἡ σκέψις *T*. | 3. post εἶναι, non post τούτων comma *b*. | 5. ἢ om $A^b$. | ἢ ὡς τόδε *s*. | 6. ἡ om *STas*.

Digitized by Google

καὶ τὸ καθόλου αἴτιόν τισιν εἶναι μάλιστα, καὶ εἶναι ἀρχὴ τὸ καθόλου· διὸ ἐπέλθωμεν καὶ περὶ τούτου. ἔοικε γὰρ ἀδύνατον εἶναι οὐσίαν εἶναι ὁτιοῦν τῶν καθόλου λεγομένων. πρώτη μὲν γὰρ οὐσία ἴδιος ἑκάστῳ ἣ οὐχ ὑπάρχει ἄλλῳ, τὸ δὲ καθόλου κοινόν· τοῦτο γὰρ λέγεται καθόλου ὃ πλείοσιν ὑπάρχειν πέφυκεν. τίνος οὖν οὐσία τοῦτ' ἔσται; ἢ γὰρ ἁπάντων ἢ οὐθενός. ἁπάντων δ' οὐχ οἷόν τε· ἑνὸς δ' εἰ ἔσται, καὶ 156
τἆλλα τοῦτ' ἔσται· ὧν γὰρ μία ἡ οὐσία καὶ τὸ τί ἦν εἶναι ἕν, καὶ αὐτὰ ἕν. ἔτι οὐσία λέγεται τὸ μὴ καθ' ὑποκειμένου, τὸ δὲ καθόλου καθ' ὑποκειμένου τινὸς λέγεται ἀεί. ἀλλ' ἆρα οὕτω μὲν οὐκ ἐνδέχεται ὡς τὸ τί ἦν εἶναι, ἐν τούτῳ δὲ ἐνυπάρχειν, οἷον τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ καὶ ἵππῳ. οὐκοῦν δῆλον ὅτι ἔστι τις αὐτοῦ λόγος. διαφέρει δ' οὐθὲν οὐδ' εἰ μὴ πάντων λόγος ἐστὶ τῶν ἐν τῇ οὐσίᾳ· οὐθὲν γὰρ ἧττον οὐσία τοῦτ' ἔσται τινός, ὡς ὁ ἄνθρωπος τοῦ ἀνθρώπου ἐν ᾧ ὑπάρχει. ὥστε τὸ αὐτὸ συμβήσεται πάλιν· ἔσται γὰρ [οὐσία] ἐκείνου οὐσία, οἷον τὸ ζῷον, ἐν ᾧ ὡς ἴδιον ὑπάρχει. ἔτι δὲ καὶ ἀδύνατον καὶ ἄτοπον τὸ τόδε καὶ οὐσίαν, εἰ ἔστιν ἔκ τινων, μὴ ἐξ οὐσιῶν εἶναι μηδ' ἐκ τοῦ τόδε τι, ἀλλ' ἐκ ποιοῦ· πρότερον γὰρ ἔσται μὴ οὐσία τε καὶ τὸ ποιὸν οὐσίας τε καὶ τοῦ τόδε. ὅπερ ἀδύνατον· οὔτε λόγῳ γὰρ οὔτε χρόνῳ οὔτε γενέσει οἷόν τε τὰ πάθη τῆς οὐσίας εἶναι πρότερα· ἔσται γὰρ χωριστά. ἔτι τῷ Σωκράτει οὐσίᾳ ἐνυπάρξει οὐσία, ὥστε δυοῖν ἔσται οὐσία. ὅλως δὲ συμβαίνει, εἰ ἔστιν οὐσία ὁ ἄνθρωπος καὶ ὅσα οὕτω λέγεται, μηθὲν τῶν ἐν τῷ λόγῳ εἶναι μηθενὸς οὐσίαν, μηδὲ χωρὶς ὑπάρχειν αὐτῶν μηδ' ἐν ἄλλῳ, λέγω δ' οἷον οὐκ εἶναί τι ζῷον παρὰ τὰ τινά, οὐδ'

7. ἀρχὴ] καὶ ἀρχὴν *as*. | 9. εἶναι prius om $A^b$ Alex, alterum *T*. | 10. γὰρ] γὰρ ἡ *S*$A^b$. | οὐσία ἡ ἑκάστου ἴδιος ἑκάστου *E* Ascl *i* et omisso ἡ *S*, οὐσία ἡ ἑκάστου *Tas*. | ἣ] καὶ Alex, ᾗ *T*. | ἄλλο *T*. | 12. et 13. πάντων *ESTas*. | 13. γρ δή ἐστι *E*. | εἰ om *a*. | 14. post ἔσται add ἢ γὰρ παντὸς ἢ οὐδενός *S*. | post οὐσία, non 15. post ἕν, comma *cb*. | 15. οὐσία μὲν λ. *as*. | 17. ἄρα *asc*. | τούτῳ] αὐτῶ *ESTias*. | γρ καὶ ἐν αὐτοῖς ἤτοι τοῖς ὑποκειμένοις *E* inter lineas. | 18. ἐνυπάρχει *Si*. | τὸ ζῷον om *T*. | 19. ἔσται *Sas*. | 22. alterum οὐσία omittendum arbitror cum Alex p. 493, 9 sqq. | 23. comma post ζῷον om *cb*. | ᾧ] ὦ εἴδει *T*$A^b$*ias*. | 24. τὸ τόδε] τότε δὲ *T*, τὸ τόδε τι fort. Alex p. 493, 22. 30. | καὶ τὴν οὐσίαν fort. Alex. | 25. ἐκ τοῦ ποιοῖ *Tas*. | 26. οὐσία τε] οὐσία δὲ *T*. τε om $A^b$. | 27. τοῦτο δὲ $A^b$. | 29. γὰρ καὶ χωριστά $A^b$. | σωκράτη *T*, σωκράτῃ *as*. | οὐσίᾳ om *E*$A^b$, post οὐσία ponit *T* et γρ *E*. | 30. ἔσται ὁ Σωκράτης οὐσ. Alex. | οὐσίαι *T*. | ἄλλως *H* (?) $A^b$. | ὁ om Alex. | 32. ἐν] ἓν ἐν *T*$A^b$. | 33. δ'] δὴ Alex.

Digitized by Google

ἄλλο τῶν ἐν τοῖς λόγοις οὐθέν. ἔκ τε δὴ τούτων θεωροῦσι φανερὸν ὅτι οὐθὲν τῶν καθόλου ὑπαρχόντων οὐσία ἐστί, καὶ ὅτι οὐθὲν σημαίνει τῶν κοινῇ κατηγορουμένων τόδε τι, ἀλλὰ τοιόνδε. εἰ δὲ μή, ἄλλα τε πολλὰ συμβαίνει καὶ ὁ τρίτος ἄνθρωπος. ἔτι δὲ καὶ ὧδε δῆλον. ἀδύνατον γὰρ οὐσίαν ἐξ οὐσιῶν εἶναι ἐνυπαρχουσῶν ὡς ἐντελεχείᾳ· τὰ γὰρ δύο
157 οὕτως ἐντελεχείᾳ οὐδέποτε ἓν ἐντελεχείᾳ, ἀλλ' ἐὰν δυνάμει δύο ᾖ, ἔσται ἕν, οἷον ἡ διπλασία ἐκ δύο ἡμίσεων δυνάμει γε· ἡ γὰρ ἐντελέχεια χωρίζει. ὥστε εἰ ἡ οὐσία ἕν, οὐκ ἔσται ἐξ οὐσιῶν ἐνυπαρχουσῶν, καὶ κατὰ τοῦτον τὸν τρόπον ὃν λέγει Δημόκριτος ὀρθῶς· ἀδύνατον γὰρ εἶναί φησιν ἐκ δύο ἓν ἢ ἐξ ἑνὸς δύο γενέσθαι· τὰ γὰρ μεγέθη τὰ ἄτομα τὰς οὐσίας ποιεῖ. ὁμοίως τοίνυν δῆλον ὅτι καὶ ἐπ' ἀριθμοῦ ἕξει, εἴπερ ἐστὶν ὁ ἀριθμὸς σύνθεσις μονάδων, ὥσπερ λέγεται ὑπό τινων· ἢ γὰρ οὐχ ἓν ἡ δυάς, ἢ οὐκ ἔστι μονὰς ἐν αὐτῇ ἐντελεχείᾳ. ἔχει δὲ τὸ συμβαῖνον ἀπορίαν. εἰ γὰρ μήτε ἐκ τῶν καθόλου οἷόν τ' εἶναι μηδεμίαν οὐσίαν διὰ τὸ τοιόνδε ἀλλὰ μὴ τόδε τι σημαίνειν, μήτ' ἐξ οὐσιῶν ἐνδέχεται ἐντελεχείᾳ εἶναι μηδεμίαν οὐσίαν σύνθετον, ἀσύνθετον ἂν εἴη οὐσία πᾶσα, ὥστ' οὐδὲ λόγος ἂν εἴη οὐδεμιᾶς οὐσίας. ἀλλὰ μὴν δοκεῖ γε πᾶσι καὶ ἐλέχθη πάλαι ἢ μόνον εἶναι οὐσίας ὅρον ἢ μάλιστα· νῦν δ' οὐδὲ ταύτης. οὐδενὸς ἄρ' ἔσται ὁρισμός· ἢ τρόπον μέν τινα ἔσται, τρόπον δέ τινα οὔ. δῆλον δ' ἔσται τὸ λεγόμενον ἐκ τῶν ὕστερον μᾶλλον.

14 Φανερὸν δ' ἐξ αὐτῶν τούτων τὸ συμβαῖνον καὶ τοῖς τὰς ἰδέας λέγουσιν οὐσίας τε καὶ χωριστὰς εἶναι, καὶ ἅμα τὸ εἶδος ἐκ τοῦ γένους ποιοῦσι καὶ τῶν διαφορῶν. εἰ γὰρ ἔστι τὰ εἴδη, καὶ τὸ ζῷον ἐν τῷ ἀνθρώπῳ καὶ ἵππῳ, ἤτοι ἓν καὶ ταὐτὸν τῷ ἀριθμῷ ἐστὶν ἢ ἕτερον. τῷ μὲν γὰρ

34. λογικοῖς *H*[b]. | οὐδὲν γάρ. ἐκ *A*[b]. | τε] δὲ *T*.

1039*a* 1. τόδε] τὸ τόδε *F*[b]. | 3. γὰρ om *A*[b]*H*[b]. | 4. ὡς] οὕτως ὡς *ESTias*. | τὰ — 5. οὕτως ἐντελεχείᾳ om *S*. | 6. ἢ] εἰ *A*[b]. | 7. γε] ἓν *T*. | ἐντελέχεια ἐν ἄλλοις χ. *as*. | εἰ om *E*. | ἡ om *as*. | 9. ὃ *T*. | 11. δῆλον ὅτι om *H*[b]. | ἐπὶ τοῦ ἀριθμοῦ *H*[b]. | 12. ὁ om *A*[b]. | σύνθεσις om *A*[b]. | 13. ἢ] ἢ *Tas*. | ἔνεστι *ETias*. | 15. 16. διὰ τοσόνδε *T*. | 17. σύνθετον om *ESTH*[b]. | 19. πᾶσα *A*[b]. | 20. οὐσίας εἶναι *A*[b]*c*. | 21. οὐδ' ἑνὸς *as*. | 25. οὐσίας τε χωριστὰς *A*[b], χωριστάς τε οὐσίας *F*[b]. | εἶναι ἅμα, καὶ ἅμα *as*. | ἅμα om *S*. | 26. τὸ] καὶ τὸ *ET*. | 27. ἐστι *ascb*, iidem comma post εἴδη om. | 28. μὲν om *S*. | γὰρ om *A*[b].



Digitized by Google

λόγῳ δῆλον ὅτι ἕν· τὸν γὰρ αὐτὸν διέξεισι λόγον ὁ λέγων ἐν ἑκατέρῳ. εἰ οὖν ἐστί τις ἄνθρωπος αὐτὸς καθ' αὐτὸν τόδε τι καὶ κεχωρισμένον, ἀνάγκη καὶ ἐξ ὧν, οἷον τὸ ζῷον καὶ τὸ δίπουν, τόδε τι σημαίνειν καὶ εἶναι χωριστὰ καὶ οὐσίας· 158
ὥστε καὶ τὸ ζῷον. εἰ μὲν οὖν τὸ αὐτὸ καὶ ἓν τὸ ἐν τῷ ἵππῳ καὶ τῷ ἀνθρώπῳ, ὥσπερ σὺ σαυτῷ, πῶς τὸ ἓν
1039 b ἐν τοῖς οὖσι χωρὶς ἓν ἔσται, καὶ διὰ τί οὐ καὶ χωρὶς αὐτοῦ ἔσται τὸ ζῷον τοῦτο; ἔπειτα εἰ μὲν μεθέξει τοῦ δίποδος καὶ τοῦ πολύποδος, ἀδύνατόν τι συμβαίνει· τἀναντία γὰρ ἅμα ὑπάρξει αὐτῷ ἑνὶ καὶ τῷδέ τινι ὄντι. εἰ δὲ μή, τίς ὁ τρόπος ὅταν εἴπῃ τις τὸ ζῷον εἶναι δίπουν ἢ πεζόν; ἀλλ' ἴσως σύγκειται καὶ ἅπτεται ἢ μέμικται. ἀλλὰ πάντα ἄτοπα. ἀλλ' ἕτερον ἐν ἑκάστῳ. οὐκοῦν ἄπειρα ὡς ἔπος εἰπεῖν ἔσται ὧν ἡ οὐσία ζῷον· οὐ γὰρ κατὰ συμβεβηκὸς ἐκ ζῴου ὁ ἄνθρωπος. ἔτι πολλὰ ἔσται αὐτὸ τὸ ζῷον· οὐσία τε γὰρ τὸ ἐν ἑκάστῳ ζῷον· οὐ γὰρ κατ' ἄλλο λέγεται. εἰ δὲ μή, ἐξ ἐκείνου ἔσται ὁ ἄνθρωπος καὶ γένος αὐτοῦ ἐκεῖνο. καὶ ἔτι ἰδέαι ἅπαντα ἐξ ὧν ὁ ἄνθρωπος. οὐκοῦν οὐκ ἄλλου μὲν ἰδέα ἔσται ἄλλου δ' οὐσία· ἀδύνατον γάρ. αὐτὸ ἄρα ζῷον ἕκαστον ἔσται τῶν ἐν τοῖς ζῴοις. ἔτι ἐκ τίνος τοῦτο καὶ πῶς ἐξ αὐτοῦ ζῷον; ἢ πῶς οἷόν τε εἶναι τὸ ζῷον ὃ οὐσία, τοῦτο αὐτὸ παρ' αὐτὸ τὸ ζῷον; ἔτι δ' ἐπὶ τῶν αἰσθητῶν ταῦτά τε συμβαίνει καὶ τούτων ἀτοπώτερα. εἰ δὴ ἀδύνατον οὕτως ἔχειν, δῆλον ὅτι οὐκ ἔστιν εἴδη αὐτῶν οὕτως ὥς τινές φασιν.

29. ὁ λέγων διέξεισι λόγον $A^b$. | 30. αὐτὸ καθ' αὐτὸ **ETias**. | τὸ τόδε *S*. | 30. 31. τόδε τι καὶ] καὶ τόδε τι fort. Alex. | 31. καὶ post τι om *T*, καὶ — 32. τι om *S*. | 33. ἓν τὸ add $A^b$ Alex, *unum quiddam etiam i*. | 34. καὶ τῷ ἀνθρώπῳ add $A^b$ Alex. | σὺ σαυτῷ] αὐτὸς αὐτῷ $A^b$. | πῶς om $A^b$. | τὸ ἓν add $A^b$ Alex.

1039 b 1. ἓν χωρὶς οὖσιν **ETas**, ἐγχωρὶς οὖσιν *S*. | χωρὶς αὐτοῦ] αὐτὸ $A^b$, χωρὶς αὐτοῦ **asc**. | 2. τοῦτο] ἑαυτοῦ $A^b$, fort. καὶ χωρὶς αὐτὸ ἔσται τὸ ζῷον αὐτοῦ, cf. Alex p. 496, 27. | μὲν μὴ μεθέξει *T*. | 4. τῷ δέοντι *T*, τινι add $A^b$ et fort. Alex, dubito num recte. | ὁ om $A^b$. | 5. τις] τί $A^b$. | δίπουν] *et bipes i*. | post πεζὸν fort. add ἢ ἄπουν Alex. | 7. ὥσπερ *a*. | ἔπος om Alex. | 8. γὰρ] καὶ *S*. | ὁ om $A^b$. | 9. τὸ post αὐτὸ om *T*. | 10. κατ' ἄλλου **as**. | 12. γρ ἰδέα *E*. | 13. post ζῷον add ἓν $A^b b$. | 14. ἔσται ἕκαστον **ESas**. | ἐκ τινος τούτου *i*. | τούτου **ESTas**. | 15. αὐτοῦ ζῷον] fort. αὐτοῦ ζῴου cum **ESTias**, vel αὐτοζῴου cum Alex p. 498, 6 et γρ *E* mg. | τὸ ζῷον] γρ οὐσία *E*. | ὃ om $A^b c$, fort. ζῷον, ᾧ οὐσία τοῦτο αὐτό, παρ'. | 16. δ'] δὲ καὶ *T*. | 18. ἰδέα **ETas**.

Digitized by Google

15 Ἐπεὶ δ' ἡ οὐσία ἑτέρα τό τε σύνολον καὶ ὁ λόγος
(λέγω δ' ὅτι ἡ μὲν οὕτως ἐστὶν οὐσία σὺν τῇ ὕλῃ συνειλημ-
159 μένος ὁ λόγος, ἡ δ' ὁ λόγος ὅλως), ὅσαι μὲν οὖν οὕτω λέ-
γονται, τούτων μὲν ἔστι φθορά· καὶ γὰρ γένεσις· τοῦ δὲ
λόγου οὐκ ἔστιν οὕτως ὥστε φθείρεσθαι· οὐδὲ γὰρ γένεσις (οὐ
γὰρ γίγνεται τὸ οἰκίᾳ εἶναι ἀλλὰ τὸ τῇδε τῇ οἰκίᾳ), ἀλλ'
ἄνευ γενέσεως καὶ φθορᾶς εἰσὶ καὶ οὐκ εἰσίν· δέδεικται γὰρ
ὅτι οὐθεὶς ταῦτα γεννᾷ οὐδὲ ποιεῖ. διὰ τοῦτο δὲ καὶ τῶν
οὐσιῶν τῶν αἰσθητῶν τῶν καθ' ἕκαστα οὔθ' ὁρισμὸς οὔτ' ἀπό-
δειξίς ἐστιν, ὅτι ἔχουσιν ὕλην ἧς ἡ φύσις τοιαύτη ὥστ' ἐν-
δέχεσθαι καὶ εἶναι καὶ μή· διὸ φθαρτὰ πάντα τὰ καθ'
ἕκαστα αὐτῶν. εἰ οὖν ἥ τ' ἀπόδειξις τῶν ἀναγκαίων καὶ ὁ
ὁρισμὸς ἐπιστημονικός, καὶ οὐκ ἐνδέχεται, ὥσπερ οὐδ' ἐπιστή-
μην ὁτὲ μὲν ἐπιστήμην ὁτὲ δ' ἄγνοιαν εἶναι, ἀλλὰ δόξα τὸ
τοιοῦτόν ἐστιν, οὕτως οὐδ' ἀπόδειξιν οὐδ' ὁρισμόν, ἀλλὰ δόξα
ἐστὶ τοῦ ἐνδεχομένου ἄλλως ἔχειν, δῆλον ὅτι οὐκ ἂν εἴη 1040*a*
αὐτῶν οὔτε ὁρισμὸς οὔτε ἀπόδειξις. ἄδηλά τε γὰρ τὰ φθει-
ρόμενα τοῖς ἔχουσι τὴν ἐπιστήμην, ὅταν ἐκ τῆς αἰσθήσεως
ἀπέλθῃ· καὶ σωζομένων τῶν λόγων ἐν τῇ ψυχῇ τῶν
αὐτῶν οὐκ ἔσται οὔτε ὁρισμὸς ἔτι οὔτε ἀπόδειξις. διὸ δεῖ
τῶν πρὸς ὅρον, ὅταν τις ὁρίζηταί τι τῶν καθ' ἕκαστα, μὴ
ἀγνοεῖν ὅτι ἀεὶ ἀναιρεῖν ἔστιν· οὐ γὰρ ἐνδέχεται ὁρίσασθαι.
οὐδὲ δὴ ἰδέαν οὐδεμίαν ἔστιν ὁρίσασθαι· τῶν γὰρ καθ' ἕκα-
στον ἡ ἰδέα, ὥς φασί, καὶ χωριστή. ἀναγκαῖον δ' ἐξ ὀνο-
μάτων εἶναι τὸν λόγον. ὄνομα δ' οὐ ποιήσει ὁ ὁριζόμενος·
ἄγνωστον γὰρ ἔσται. τὰ δὲ κείμενα κοινὰ πᾶσιν. ἀνάγκη
ἄρα ὑπάρχειν καὶ ἄλλῳ ταῦτα· οἷον εἴ τις σὲ ὁρίσαιτο,
ζῷον ἐρεῖ ἰσχνὸν ἢ λευκὸν ἢ ἕτερόν τι ὃ καὶ ἄλλῳ ὑπάρ-
ξει. εἰ δέ τις φαίη μηθὲν κωλύειν χωρὶς μὲν πάντα πολ-
160 λοῖς, ἅμα δὲ μόνῳ τούτῳ ὑπάρχειν, λεκτέον πρῶτον μὲν

20. ἡ om *as*. | 21. ἡ] εἰ $F^b$. | 22. ὅλως om $A^b$, *simpliciter i*. | 22. 23. ὅσα — λέγεται *as*. | 23. ἔστι καὶ φθορά $A^b$. | 24. ὥστε om *S*. | οὐδὲν *E*, οὐ $A^b$. | 28. οὔτ' ἀριθμὸς *T*. | 31. αὐτῶν om $H^b$. | ἥ τ'] εἴτε *a*, οὔτε *s*. | 33. ὁτὲ μὲν ἐπιστήμην om $A^b$. | 34. ἀπόδειξις οὐδ' ὁρισμὸς $A^b$c.

1040*a* 3. τὴν om Alex. | 4. ἐπέλθῃ *T*. | 4. 5. τῶν ἐν τῇ ψυχῇ λόγων αὐτῶν *T*. | 6. ἕκαστον $EA^b$. | 7. ἀεὶ om *E*. | 8. δεῖ *T*. | ὁρίσασθαι] ἀναιρεῖν $F^b$. | 9. δ' ἐξ] δὲ καὶ ἐξ *as*. | 9. 10. ἐξ ὧν ὀνομάτων *T*. | 12. καὶ ἄλλως τοιαῦτα *S*, καὶ ἄλλοις ταῦτα *as*, *et aliis talia i*, om *T*. | οἷον $A^b$ Alex Ascl et γρ *E*: ceteri καί. | σὲ om $H^b$. | ὁρίσαι τὸ *T*. | 13. 14. ὑπάρχει *T* $A^b$. | 15. λεκτέον add $A^b$ Alex et γρ *E*.



Digitized by Google

ὅτι καὶ ἀμφοῖν, οἷον τὸ ζῷον δίπουν τῷ ζῴῳ καὶ τῷ δίποδι. καὶ τοῦτο ἐπὶ μὲν τῶν ἀϊδίων καὶ ἀνάγκη εἶναι, πρότερά γ' ὄντα καὶ μέρη τοῦ συνθέτου. ἀλλὰ μὴν καὶ χωριστά, εἴπερ τὸ ἄνθρωπος χωριστόν· ἢ γὰρ οὐθὲν ἢ ἄμφω. εἰ μὲν οὖν μηθέν, οὐκ ἔσται τὸ γένος παρὰ τὰ εἴδη· εἰ δ' ἔσται, καὶ ἡ διαφορά. εἶθ' ὅτι πρότερα τῷ εἶναι· ταῦτα δὲ οὐκ ἀνταναιρεῖται. ἔπειτα δὲ εἰ ἐξ ἰδεῶν αἱ ἰδέαι (ἀσυνθετώτερα γὰρ τὰ ἐξ ὧν), ἔτι ἐπὶ πολλῶν δεήσει κἀκεῖνα κατηγορεῖσθαι ἐξ ὧν ἡ ἰδέα, οἷον τὸ ζῷον καὶ τὸ δίπουν. εἰ δὲ μή, πῶς γνωρισθήσεται; ἔσται γὰρ ἰδέα τις ἣν ἀδύνατον ἐπὶ πλειόνων κατηγορῆσαι ἢ ἑνός. οὐ δοκεῖ δέ, ἀλλὰ πᾶσα ἰδέα εἶναι μεθεκτή. ὥσπερ οὖν εἴρηται, λανθάνει ὅτι ἀδύνατον ὁρίσασθαι ἐν τοῖς ἀϊδίοις, μάλιστα δὲ ὅσα μοναχά, οἷον ἥλιος ἢ σελήνη. οὐ μόνον γὰρ διαμαρτάνουσι τῷ προστιθέναι τοιαῦτα ὧν ἀφαιρουμένων ἔτι ἔσται ἥλιος, ὥσπερ τὸ περὶ γῆν ἰὸν ἢ νυκτικρυφές. ἂν γὰρ στῇ ἢ ἀεὶ φανῇ, οὐκέτι ἔσται ἥλιος· ἀλλ' ἄτοπον εἰ μή· ὁ γὰρ ἥλιος οὐσίαν τινὰ σημαίνει. ἔτι ὅσα ἐπ' ἄλλου ἐνδέχεται, οἷον ἐὰν ἕτερος γένηται τοιοῦτος, δῆλον ὅτι ἥλιος ἔσται. κοι-
1040b νὸς ἄρα ὁ λόγος. ἀλλ' ἦν τῶν καθ' ἕκαστα ὁ ἥλιος, ὥσπερ Κλέων ἢ Σωκράτης, ἐπεὶ διὰ τί οὐδεὶς ὅρον ἐκφέρει αὐτῶν ἰδέας; γένοιτο γὰρ ἂν δῆλον πειρωμένων ὅτι ἀληθὲς τὸ νῦν εἰρημένον.

16 Φανερὸν δ' ὅτι καὶ τῶν δοκουσῶν εἶναι οὐσιῶν αἱ πλεῖσται δυνάμεις εἰσί, τά τε μόρια τῶν ζῴων· οὐθὲν γὰρ κεχωρισμένον αὐτῶν ἐστίν· ὅταν δὲ χωρισθῇ, καὶ τότε ὄντα ὡς ὕλη πάντα καὶ γῆ καὶ πῦρ καὶ ἀήρ· οὐθὲν γὰρ αὐτῶν 161
ἕν ἐστιν, ἀλλ' οἷον σωρὸς πρὶν ἢ πεφθῇ καὶ γένηταί τι

16. ὅτι καὶ] ὅτι τὸ $A^b$. | 17. καὶ post ἀϊδίων om $F^b$. | ἀνάγκη γε εἶναι *ET*. | 18. συντεθέντος *S*. | 19. εἰ γὰρ *a*. | 21. διαφορά. εἶθ' ὅτι] fort. διαφορὰ ἔσται, ὅτι. | 22. ἔπειτα δὲ εἰ] ἔτι Alex, fort. recte. | ἔπειτα] ἔτι γρ *E*. | δὲ om $A^b$. | 25. ἰδέα τις] ἡ ἰδέα τις *as*, *alia idea i*. | 26. κατηγορεῖσθαι *T*. | 27. πᾶσιν *S*. | 28. ἀδύνατόν ἐστιν ὁρίσασθαι $F^b$. | 29. ἢ] καὶ *T*, καὶ ἡ *as*. | γὰρ] δὲ δὴ *E*. | 29. 30. ἁμαρτάνουσι *E* et fort. Alex. | 30. τὰ τοιαῦτα *T*. | 31. περὶ] ὑπὸ $H^b$. | γήινον νυκτικρυφές *T*. | 31. 32. ἂν γὰρ στῇ] ἂν γὰρ δὲ στῇ *T*, ἄνδρες τῇ *E*. | 32. ἀεὶ $H^b c$: ceteri et *b* om. | ἔσται om *T*.

1040b 2. ὅρκον *S*. | 5. καὶ ἐκ τῶν *S*. | οὐσιῶν εἶναι *ET* Ascl *as*. | 8. post πάντα comma *cb*. | 9. σωρὰς] ὁ ὀρρὸς γρ *E* et γρ Alex et *cb*, ὁ σωρὸς $A^b$ Alex: ceteri et Ascl σωρός.

Digitized by Google

*ἐξ αὐτῶν ἕν. μάλιϛα δ' ἄν τις τὰ τῶν ἐμψύχων ὑπολάβοι μόρια καὶ τὰ τῆς ψυχῆς πάρεγγυς ἄμφω γίγνεσθαι ὄντα καὶ ἐντελεχείᾳ καὶ δυνάμει, τῷ ἀρχὰς ἔχειν κινήσεως ἀπό τινος ἐν ταῖς καμπαῖς· διὸ ἔνια ζῷα διαιρέμενα ζῇ. ἀλλ' ὅμως δυνάμει πάντ' ἔϛαι, ὅταν ᾖ ἓν καὶ συνεχὲς φύσει, ἀλλὰ μὴ βίᾳ ἢ συμφύσει· τὸ γὰρ τοιοῦτον πήρωσις. ἐπεὶ δὲ τὸ ἓν λέγεται ὥσπερ καὶ τὸ ὄν, καὶ ἡ ὐσία ἡ τῦ ἑνὸς μία καὶ ὧν μία ἀριθμῷ ἓν ἀριθμῷ, φανερὸν ὅτι ὔτε τὸ ἓν ὔτε τὸ ὂν ἐνδέχεται ὐσίαν εἶναι τῶν πραγμάτων, ὥσπερ ὐδὲ τὸ ϛοιχείῳ εἶναι ἢ ἀρχῇ· ἀλλὰ ζητῦμεν τίς οὖν ἡ ἀρχή, ἵνα εἰς γνωριμώτερον ἀναγάγωμεν. μᾶλλον μὲν οὖν τούτων οὐσία τὸ ὂν καὶ ἓν ἢ ἥ τε ἀρχὴ καὶ τὸ ϛοιχεῖον καὶ τὸ αἴτιον, ὔπω δὲ ὐδὲ ταῦτα, εἴπερ μηδ' ἄλλο κοινὸν μηθὲν ὐσία· ὐδενὶ γὰρ ὑπάρχει ἡ ὐσία ἀλλ' ἢ αὑτῇ τε καὶ τῷ ἔχοντι αὐτήν, οὗ ἐϛὶν ὐσία. ἔτι τὸ ἓν πολλαχῇ οὐκ ἂν εἴη ἅμα, τὸ δὲ κοινὸν ἅμα πολλαχῇ ὑπάρχει. ὥστε δῆλον ὅτι οὐθὲν τῶν καθόλου ὑπάρχει παρὰ τὰ καθ' ἕκαστα χωρίς. ἀλλ' οἱ τὰ εἴδη λέγοντες τῇ μὲν ὀρθῶς λέγουσι χωρίζοντες αὐτά, εἴπερ οὐσίαι εἰσί, τῇ δ' οὐκ ὀρθῶς, ὅτι τὸ ἓν ἐπὶ πολλῶν εἶδος λέγυσιν. αἴτιον δ' ὅτι οὐκ ἔχυσιν ἀποδῦναι τίνες αἱ τοιαῦται οὐσίαι αἱ ἄφθαρτοι παρὰ τὰς καθ' ἕκαστα καὶ αἰσθητάς. ποιοῦσιν οὖν τὰς αὐτὰς τῷ εἴδει τοῖς φθαρτοῖς (ταύτας γὰρ ἴσμεν), αὐτοάνθρωπον καὶ αὐτοΐππον, προσι-*
162 *θέντες τοῖς αἰσθητοῖς τὸ ῥῆμα τὸ αὐτό. καίτοι κἂν εἰ μὴ ἑωράκειμεν τὰ ἄστρα, οὐθὲν ἂν ἧττον οἶμαι ἦσαν οὐσίαι* 1041 *a*
*ἀΐδιοι παρ' ἃς ἡμεῖς ᾔδειμεν· ὥϛε καὶ νῦν εἰ μὴ ἔχοιμεν τίνες εἰσίν, ἀλλ' εἶναί γέ τινας ἴσως ἀναγκαῖον. ὅτι μὲν οὖν οὔτε τῶν καθόλου λεγομένων ὐθὲν ὐσία, ὔτ' ἐϛὶν ὐσία ὐδεμία ἐξ ὐσιῶν, δῆλον.*

15. post ἢ add καὶ $A^b$*cb*. | 16. ἐπειδὴ δὲ $F^b$. | 19. τῷ στοιχείῳ *as*. | ἢ ἀρχὴ *ETas*. | 20. γνωριμώτερα *Si*, γνωριμωτέραν *T*$A^b$*as*. | ἀνάγωμεν *Tas*. | 23. οὐσίᾳ *sc*. | 24. ἢ add $A^bH^b$. | αὑτῇ] αὐτὴ *Tas*, αὐτὴ αὐτῇ fort. Alex. | τε] γε *as*. | 25. ἔτι] ἔτι εἰ *Ts*. | ἓν] ὂν $A^b$ et γρ Alex. | ἅμα] ἅμα πᾶσι *as*. | 26. ὥστε — 27. ὑπάρχει om *T*. | 27. χωρίς om $A^b$. | post χωρίς comma *cb*. | 28. post λέγοντες add εἶναι $A^bF^b$*cb*: ceteri et Alex om. | 31. παρὰ] πρὸς *T*. | 32. ποιοῦντες τ`ς $A^b$. | 33. ταῦτα *S*, τὰς αὐτὰς τὸ μὲν $A^b$. | ἴσμεν om $A^b$. | καὶ] τὸ δὲ $A^b$. | 34. εἰ om *T*.

1041 *a* 1. οὐδ' *T*. | οἶμαι ἧττον *S*. | 2. ἃ $A^b$. | εἴδημεν *T*. | ἔχομεν *ET* Alex. | 3. γέ] τε $A^b$, om *T*. | 5. οὐδὲ μία *s*. | ἐξ ἐνεργείᾳ οὐσιῶν Alex.

Digitized by Google

17 *Τί δὲ χρὴ λέγειν καὶ ὁποῖόν τι τὴν οὐσίαν, πάλιν ἄλλην οἷον ἀρχὴν ποιησάμενοι λέγωμεν· ἴσως γὰρ ἐκ τούτων ἔσται δῆλον καὶ περὶ ἐκείνης τῆς οὐσίας ἥτις ἐστὶ κεχωρισμένη τῶν αἰσθητῶν οὐσιῶν. ἐπεὶ οὖν ἡ οὐσία ἀρχὴ καὶ αἰτία τις ἐστίν, ἐντεῦθεν μετιτέον. ζητεῖται δὲ τὸ διὰ τί ἀεὶ οὕτως, διὰ τί ἄλλο ἄλλῳ τινὶ ὑπάρχει. τὸ γὰρ ζητεῖν διὰ τί ὁ μουσικὸς ἄνθρωπος ἄνθρωπος μουσικός ἐστιν, ἤτοι ἐστὶ τὸ εἰρημένον ζητεῖν διὰ τί ὁ ἄνθρωπος μουσικός ἐστιν, ἢ ἄλλο. τὸ μὲν οὖν διὰ τί αὐτό ἐστιν αὐτό, οὐθέν ἐστι ζητεῖν. δεῖ γὰρ τὸ ὅτι καὶ τὸ εἶναι ὑπάρχειν δῆλα ὄντα, λέγω δ' οἷον ὅτι ἡ σελήνη ἐκλείπει. αὐτὸ δὲ ὅτι αὐτό, εἷς λόγος καὶ μία αἰτία ἐπὶ πάντων, διὰ τί ὁ ἄνθρωπος ἄνθρωπος ἢ ὁ μουσικὸς μουσικός· πλὴν εἴ τις λέγοι ὅτι ἀδιαίρετον πρὸς αὐτὸ ἕκαστον· τοῦτο δ' ἦν τὸ ἑνὶ εἶναι. ἀλλὰ τοῦτο κοινόν τε κατὰ πάντων καὶ σύντομον. ζητήσειε δ' ἄν τις διὰ τί ὁ ἄνθρωπός ἐστι ζῷον τοιονδί. τοῦτο μὲν τοίνυν δῆλον ὅτι οὐ ζητεῖ διὰ τί ὅς ἐστιν ἄνθρωπος ἄνθρωπός ἐστιν. τὶ ἄρα κατά τινος ζητεῖ διὰ τί ὑπάρχει· ὅτι δ' ὑπάρχει, δεῖ δῆλον εἶναι· εἰ γὰρ μὴ οὕτως, οὐθὲν ζητεῖ. οἷον διὰ τί βροντᾷ; διὰ τί ψόφος γίγνεται ἐν τοῖς νέφεσιν· ἄλλο γὰρ οὕτως κατ' ἄλλου ἐστὶ τὸ ζητούμενον. καὶ διὰ τί ταδί, οἷον* 163
*πλίνθοι καὶ λίθοι, οἰκία ἐστίν; φανερὸν τοίνυν ὅτι ζητεῖ τὸ αἴτιον· τοῦτο δ' ἐστὶ τὸ τί ἦν εἶναι, ὡς εἰπεῖν λογικῶς. ὃ ἐπ' ἐνίων μέν ἐστι τίνος ἕνεκα, οἷον ἴσως ἐπ' οἰκίας ἢ κλίνης, ἐπ' ἐνίων δὲ τί ἐκίνησε πρῶτον· αἴτιον γὰρ καὶ τοῦτο. ἀλλὰ τὸ μὲν τοιοῦτον αἴτιον ἐπὶ τοῦ γίνεσθαι ζητεῖται καὶ φθείρεσθαι, θάτερον δὲ καὶ ἐπὶ τοῦ εἶναι. λανθάνει δὲ μάλιστα τὸ ζητούμενον ἐν τοῖς μὴ καταλλήλως λεγομένοις.*

7. οἷον om $F^b$. | λέγομεν *S*. | 9. οὐσία καὶ ἀρχὴ καὶ $H^b$. | 11. ἀεὶ om $A^b c$ et fort. Alex. | ἄλλο] ἄλλο τι *ET*. | 12. διὰ] καὶ διὰ *T*. | μουσικὸς ἄνθρωπός ἐστιν *ES*, μουσικός ἐστιν ἀνθ. *as*. | 15. τὸ ὄντι *a*, τὸ ὄν τι *s*. | 16. αὐτοῦ δὲ *ESTias*. | αὐτοῦ *S*. | 17. αἰτία om $F^b$. | 18. ὁ μουσικὸς om $A^b$. | 19. αὐτὸ *asc*. | ἑνὶ] ἓν *ESTas*. | 20. καὶ τὸ σύντομον *Tas*. | 21. ὁ om $A^b$. | τοίνυν] οὖν *as*. | 22. διὰ τί om $A^b$. | ὅς ἐστιν] ὅστις *T*. | 23. τὶ] τὸ *S*. | 25. διὰ τί ψ. $A^b$ Alex, διότι *iascb*. | 26. τοδὶ $A^b$. | 27. λίθοι καὶ πλίνθοι $A^b$. | 28. τοῦτο — λογικῶς Alex spuria esse censet. | ὃ] ἢ *S*. | 29. ἐστι τὸ τίνος fort. Alex. | 32. τοῦ τί εἶναι *T*. | 33. τὸ] τί ἐστι τὸ $H^b$. | μὴ καταλλ.] μὴ κατ' ἄλλων *ESTi* et γρ *E*, μὴ κατ' ἀλλήλων *as*, κατ' ἀλλήλων γρ Alex.

Digitized by Google

οἷον ἄνθρωπος τί ἐστι ζητεῖται διὰ τὸ ἁπλῶς λέγεσθαι, 1041b
ἀλλὰ μὴ διορίζειν ὅτι τάδε [ἢ] τόδε. ἀλλὰ δεῖ διαρθρώσαντας ζητεῖν· εἰ δὲ μή, κοινὸν τοῦ μηθὲν ζητεῖν καὶ τοῦ ζητεῖν τι γίγνεται. ἐπεὶ δὲ δεῖ ἔχειν τε καὶ ὑπάρχειν τὸ εἶναι, δῆλον δὴ ὅτι τὴν ὕλην ζητεῖ ταδὶ διὰ τί ἐστιν· οἷον οἰκία ταδὶ διὰ τί; ὅτι ὑπάρχει ταδί, ὃ ἦν οἰκίᾳ εἶναι. καὶ ἄνθρωπος τοδί, ἢ τὸ σῶμα τοῦτο τοδὶ ἔχον. ὥστε τὸ αἴτιον ζητεῖται τῆς ὕλης· τοῦτο δ' ἐστὶ τὸ εἶδος ᾧ τί ἐστιν· τοῦτο δ' ἡ οὐσία. φανερὸν τοίνυν ὅτι ἐπὶ τῶν ἁπλῶν οὐκ ἔστι ζήτησις οὐδὲ δίδαξις, ἀλλ' ἕτερος τρόπος τῆς ζητήσεως τῶν τοιούτων. ἐπεὶ δὲ τὸ ἔκ τινος σύνθετον οὕτως ὥστε ἓν εἶναι τὸ πᾶν, ἀλλὰ μὴ ὡς σωρὸς ἀλλ' ὡς ἡ συλλαβή — ἡ δὲ συλλαβὴ οὐκ ἔστι τὰ στοιχεῖα, οὐδὲ τὸ β α ταὐτὸ τῷ β καὶ α, οὐδ' ἡ σὰρξ πῦρ καὶ γῆ· διαλυθέντων γὰρ τὰ μὲν οὐκέτι ἐστίν, οἷον ἡ σὰρξ καὶ ἡ συλλαβή, τὰ δὲ στοιχεῖα ἔστι, καὶ τὸ πῦρ καὶ ἡ γῆ. ἔστιν ἄρα τι ἡ συλλαβή, οὐ μόνον τὰ στοιχεῖα τὸ φωνῆεν καὶ ἄφωνον, ἀλλὰ καὶ ἕτερόν τι· καὶ ἡ σὰρξ οὐ μόνον πῦρ καὶ γῆ ἢ τὸ θερμὸν καὶ ψυχρόν,
164 ἀλλὰ καὶ ἕτερόν τι. εἰ τοίνυν ἀνάγκη κἀκεῖνο ἢ στοιχεῖον ἢ ἐκ στοιχείων εἶναι, εἰ μὲν στοιχεῖον, πάλιν ὁ αὐτὸς ἔσται λόγος· ἐκ τούτου γὰρ καὶ πυρὸς καὶ γῆς ἔσται ἡ σὰρξ καὶ ἔτι ἄλλου, ὥστ' εἰς ἄπειρον βαδιεῖται· εἰ δ' ἐκ στοιχείου, δῆλον ὅτι οὐχ ἑνὸς ἀλλὰ πλειόνων, ἢ ἐκεῖνο αὐτὸ ἔσται, ὥστε πάλιν ἐπὶ τούτου τὸν αὐτὸν ἐροῦμεν λόγον καὶ ἐπὶ τῆς

1041 b 1. τί] fort. scribendum διὰ τί cum γρ E. | post ζητεῖται add καὶ φθείρεσθαι, θάτερον δὲ καὶ ἐπὶ τοῦ εἶναι S. | 2. ἢ om $A^b$ Alex. | 2. 3. διορθώσαντας ETas. | 3. 4. καὶ τοῦ ζητεῖν τι om $A^b$. | 5. δὴ om S. | ζητῶ T. | ταδὶ de coniectura addidi, fort. cum Alex. | 6. ταδὶ om $A^b$. | διὰ τί; ὅτι] διότι $A^b$c. | ταδὶ ὑπάρχει ὃ as. | ταδί om c. | ὃ ἦν om $A^b$. | 7. τοδί, ἢ $A^b$ Alex i, ὁδί, ἢ ascb. | τοῦτο om $A^b$. | τοδὶ] fort. ὡδὶ scribendum est cum Alex. | 8. εἶδος ὃ ᾧ τί as. | 9. φανερὸν — 10. δίδαξις om S. | 9. ἔστι τις as. | 11. τὸ] τῶν $H^b$. | οὕτως ἐστὶν Alex. | ὡς τὸ $F^b$, sed ὥστε Alex. | 12. ἀλλὰ μὴ] ἂν μὴ $A^b$, non est i. | post ἡ συλλαβή comma cb. | δὲ] τε $A^b$. | 13. ἔσται $A^b$. | οὐδὲ ταὐτὸ τὸ β καὶ α Tiasc, οὐδὲ τῷ βα αὐτὸ τῷ β καὶ α $A^bH^b$. | 14. ἡ om S. | σὰρξ καὶ πῦρ as. | καὶ om T. | τὸ $A^b$. | ἔσται T. | 15. ἡ post καὶ om T. | τὰ — 16. συλλαβή om S. | καὶ ante τὸ om ias. | 16. ἄρα τι ἡ συλλαβή] δὲ τῆς συλλαβῆς $A^bH^b$c. | 17. καὶ ἡ — 19. τι om T. | 19. εἰ] ἔτι S et fort. Alex. | 20. 21. λόγος ἔσται E STas. | 22. ἔτι ἀλλὰ T, εἴ τι ἄλλο $A^b$, εἴ τινος ἄλλου fort. Alex. | στοιχείων $H^b$ Alex. | 24. τούτου] γε T. | λόγον ἐροῦμεν T.

Digitized by Google

σαρκὸς ἡ συλλαβῆς. δόξειε δ' ἂν εἶναί τι τοῦτο καὶ οὐ στοιχεῖον, καὶ αἴτιόν γε τοῦ εἶναι τοδὶ μὲν σάρκα τοδὶ δὲ συλλαβήν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. οὐσία δ' ἑκάστου μὲν τοῦτο· τοῦτο γὰρ αἴτιον πρῶτον τοῦ εἶναι. ἐπεὶ δ' ἔνια οὐκ οὐσίαι τῶν πραγμάτων, ἀλλ' ὅσαι οὐσίαι κατὰ φύσιν καὶ φύσει συνεστήκασι, φανείη ἂν καὶ αὕτη ἡ φύσις οὐσία, ἥ ἐστιν οὐ στοιχεῖον ἀλλ' ἀρχή. στοιχεῖον δ' ἐστὶν εἰς ὃ διαιρεῖται ἐνυπάρχον ὡς ὕλην, οἷον τῆς συλλαβῆς τὸ α καὶ τὸ β.

1042 a

# Η.

Ἐκ δὴ τῶν εἰρημένων συλλογίσασθαι δεῖ, καὶ συναγαγόντας τὸ κεφάλαιον τέλος ἐπιθεῖναι. εἴρηται δὴ ὅτι τῶν οὐσιῶν ζητεῖται τὰ αἴτια καὶ αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα. οὐσίαι δὲ αἱ μὲν ὁμολογούμεναί εἰσιν ὑπὸ πάντων, περὶ δὲ ἐνίων ἰδίᾳ τινὲς ἀπεφήναντο. ὁμολογούμεναι μὲν αἱ φυσικαί, οἷον πῦρ γῆ ὕδωρ ἀὴρ καὶ τἄλλα τὰ ἁπλᾶ σώματα, ἔπειτα τὰ φυτὰ καὶ τὰ μόρια αὐτῶν, καὶ τὰ ζῷα καὶ τὰ μόρια τῶν ζῴων, καὶ τέλος ὁ οὐρανὸς καὶ τὰ μόρια τοῦ οὐρανοῦ· ἰδίᾳ δέ τινες οὐσίας λέγουσιν εἶναι τά τ' 165
εἴδη καὶ τὰ μαθηματικά. ἄλλας δὲ δὴ συμβαίνει ἐκ τῶν λόγων οὐσίας εἶναι, τὸ τί ἦν εἶναι καὶ τὸ ὑποκείμενον. ἔτι ἄλλως τὸ γένος μᾶλλον τῶν εἰδῶν καὶ τὸ καθόλου τῶν καθ' ἕκαστα. τῷ δὲ καθόλου καὶ τῷ γένει καὶ αἱ ἰδέαι συνάπτουσιν· κατὰ τὸν αὐτὸν γὰρ λόγον οὐσίαι δοκοῦσιν εἶναι. ἐπεὶ δὲ τὸ τί ἦν εἶναι οὐσία, τούτου δὲ λόγος ὁ ὁρισμός, διὰ τοῦτο περὶ ὁρισμοῦ καὶ περὶ τοῦ καθ' αὑτὸ διώρισται. ἐπεὶ δὲ ὁ ὁρισμὸς λόγος, ὁ δὲ λόγος μέρη ἔχει, ἀναγκαῖον καὶ περὶ μέρους ἦν ἰδεῖν, ποῖα τῆς οὐσίας μέρη καὶ ποῖα οὔ, καὶ

25. δ' om $A^b$. | τοιοῦτο STias. | 26. γε τοῦ] sed i. | τουδὶ — τουδὶ S. | 27. ἕκαστον Sas. | 28. τοῦ εἶναι πρῶτον $A^b$c. | 29. ὅσαι] αἱ $A^b$. | 29. 30. κατὰ φύσιν καὶ om $A^b$. | 30. καὶ φύσει om S. | ἂν] γὰρ ἄν τισι S, ἄν τισι ETias. | καὶ] ὅτι $A^b$ et fort. Alex, om E. | 33. τὸ om $A^b$.

1042 a 3. συλλογίζεσθαι ESTas. | 3. 4. συναγαγόντα $A^b$, συνάγοντας ES. | 4. γρ δὲ E. | 7. ἰδίων ἴδιά T. | 8. ἀὴρ om Tias. | 9. καὶ post φυτὰ om T. | 10. ὁ om $A^b$. | 11. δέ] τε $A^b$. | 12. δεῖ συμβαίνειν T. | 17. fort. ὁ λόγος ὁρισμός c. Alex. | 20. μέρους] μερῶν Alex, fort. recte. | 20. 21. καὶ εἰ — ὁρισμοῦ] Alex p. 514, 13 videtur legisse καὶ εἰ ταὐτὰ τοῦ ὁρισμοῦ καὶ τοῦ ὡρισμένου, quod nescio an praeferendum sit.

Digitized by Google

εἰ ταῦτα, καὶ τȣ̃ ὁρισμȣ̃. ἔτι τοίνυν οὔτε τὸ καθόλȣ ȣ̓σία οὔτε τὸ γένος. περὶ δὲ τῶν ἰδεῶν καὶ τῶν μαθηματικῶν ὕϛερον σκεπτέον· παρὰ γάρ τὰς αἰσθητὰς οὐσίας ταύτας λέγȣσί τινες εἶναι. νῦν δὲ περὶ τῶν ὁμολογȣμένων οὐσιῶν ἐπέλθωμεν. αὗται δ' εἰσὶν αἱ αἰσθηταί· αἱ δ' αἰσθηταὶ οὐσίαι πᾶσαι ὕλην ἔχουσιν. ἔϛι δ' ȣ̓σία τὸ ὑποκείμενον, ἄλλως μὲν ἡ ὕλη (ὕλην δὲ λέγω ἣ μὴ τόδε τι οὖσα ἐνεργείᾳ δυνάμει ἐστὶ τόδε τι), ἄλλως δ' ὁ λόγος καὶ ἡ μορφή, ὃ τόδε τι ὂν τῷ λόγῳ χωριϛόν ἐϛιν· τρίτον δὲ τὸ ἐκ τούτων, οὗ γένεσις μόνου καὶ φθορά ἐϛι, καὶ χωριϛὸν ἁπλῶς· τῶν γὰρ κατὰ τὸν λόγον ȣ̓σιῶν αἱ μὲν αἱ δ' οὔ. ὅτι δ' ἐϛὶν οὐσία καὶ ἡ ὕλη, δῆλον· ἐν πάσαις γὰρ ταῖς ἀντικειμέναις μεταβολαῖς ἔστι τι τὸ ὑποκείμενον ταῖς μεταβολαῖς, οἷον κατὰ τόπον τὸ νῦν μὲν ἐνταῦθα, πάλιν δ' ἄλλοθι, καὶ κατ' αὔξησιν ὃ νῦν μὲν τηλικόνδε, πάλιν δ' ἔλαττον ἢ μεῖζον, καὶ κατ' ἀλλοίωσιν ὃ νῦν μὲν ὑγιές,
166 πάλιν δὲ κάμνον· ὁμοίως δὲ καὶ κατ' ȣ̓σίαν ὃ νῦν μὲν ἐν 1042*b*
γενέσει, πάλιν δ' ἐν φθορᾷ, καὶ νῦν μὲν ὑποκείμενον ὡς τόδε τι, πάλιν δ' ὑποκείμενον ὡς κατὰ ϛέρησιν. καὶ ἀκολȣθȣ̃σι δὴ ταύτῃ αἱ ἄλλαι μεταβολαί. τῶν δ' ἄλλων ἢ μιᾷ ἢ δυοῖν αὕτη οὐκ ἀκολουθεῖ· οὐ γὰρ ἀνάγκη, εἴ τι ὕλην ἔχει τοπικήν, τȣ̃το καὶ γεννητὴν καὶ φθαρτὴν ἔχειν. τίς μὲν οὖν διαφορὰ τοῦ ἁπλῶς γίγνεσθαι καὶ μὴ ἁπλῶς, ἐν τοῖς φυσικοῖς εἴρηται.

2 Ἐπεὶ δ' ἡ μὲν ὡς ὑποκειμένη καὶ ὡς ὕλη ȣ̓σία ὁμολογεῖται, αὕτη δ' ἐϛὶν ἡ δυνάμει, λοιπὸν τὴν ὡς ἐνέργειαν οὐσίαν τῶν αἰσθητῶν εἰπεῖν τίς ἐϛιν. Δημόκριτος μὲν οὖν τρεῖς διαφορὰς ἔοικεν οἰομένῳ εἶναι· τὸ μὲν γὰρ ὑποκείμενον σῶμα τὴν ὕλην ἓν καὶ ταὐτόν, διαφέρειν δὲ ἢ

21. τοῦ] εἰ τοῦ *S*. | ὡρισμένου *S* et γρ *E*. | post ὁρισμοῦ add δεῖ ***as***, ***esse oportet i***. | 22. τῶν post δὲ om *A^b*. | 23. περὶ ***as***. | ταῦτα *S*. | 24. νῦν — 25. αἰσθηταί om *ET*. | 25. αἱ αἰσθηταὶ δὲ *S*. | 26. οὖσαι *A^b*. | ἔστιν οὐσίαν *S* post lacunam litterarum quattuor. idem addit αἱ δὲ αἰσθηταὶ οὐσίαι πᾶσαι ὕλην ἔχουσιν. | τὰ ὑποκείμενα γρ*E* ***as***. | 27. ἄλλως δ' ὁ λόγος et ante et post parenthesin habent ***ias*** et fort. Alex. | ἢ] εἰ *T*. | 28. τι om Alex. | 29. ὃ om *A^b*. | 32. καὶ om ***as***. | ἡ om *E*. | 35. πηλικόνδε *TA^b*, πηλίκον ***Sasc***.

1042*b* 2. μὲν add *E* Alex. | 4. ταῦτα *T*. | 5. δυσὶν *ST* Alex ***as***. | 6. ἔχει ὕλην *EST**as***. | ἔχει *T*. | 7. καὶ τοῦ μὴ Alex. | 9. δ' ἢ] δὴ Alex. | 9. 10. ὁμολογεῖται εἶναι οὐσία Alex. | 10. ἐνεργεία *A^b*, ἐνεργείᾳ Alex, fort. recte.

Digitized by Google

ῥυσμῷ, ὅ ἐστι σχῆμα, ἢ τροπῇ, ὅ ἐστι θέσις, ἢ διαθιγῇ, ὅ ἐστι τάξις. φαίνονται δὲ πολλαὶ διαφοραὶ οὖσαι, οἷον τὰ μὲν συνθέσει λέγεται τῆς ὕλης, ὥσπερ ὅσα κράσει καθάπερ μελίκρατον, τὰ δὲ δεσμῷ οἷον φάκελος, τὰ δὲ κόλλῃ οἷον βιβλίον, τὰ δὲ γόμφῳ οἷον κιβώτιον, τὰ δὲ πλείοσι τούτων, τὰ δὲ θέσει οἷον οὐδὸς καὶ ὑπέρθυρον (ταῦτα γὰρ τῷ κεῖσθαί πως διαφέρει), τὰ δὲ χρόνῳ οἷον δεῖπνον καὶ ἄριστον, τὰ δὲ τόπῳ οἷον τὰ πνεύματα, τὰ δὲ τοῖς τῶν αἰσθητῶν πάθεσιν οἷον σκληρότητι καὶ μαλακότητι καὶ πυκνότητι καὶ μανότητι καὶ ξηρότητι καὶ ὑγρότητι· καὶ τὰ μὲν ἐνίοις τούτων τὰ δὲ πᾶσι τούτοις, καὶ ὅλως τὰ μὲν ὑπεροχῇ τὰ δὲ ἐλλείψει. ὥστε δῆλον ὅτι καὶ τὸ ἔστι τοσαυταχῶς λέγεται· οὐδὸς γάρ ἐστιν ὅτι οὕτως κεῖται, καὶ τὸ εἶναι τὸ οὕτως αὐτὸ κεῖσθαι σημαίνει, καὶ τὸ κρυστάλλῳ εἶναι τὸ οὕτω πεπυκνῶσθαι. ἐνίων δὲ τὸ εἶναι καὶ πᾶσι τούτοις ὁρισθήσεται, τῷ τὰ μὲν μεμῖχθαι, τὰ δὲ κε- 167
κρᾶσθαι, τὰ δὲ δεδέσθαι, τὰ δὲ πεπυκνῶσθαι, τὰ δὲ ταῖς ἄλλαις διαφοραῖς κεχρῆσθαι, ὥσπερ ἡ χεὶρ ἢ πούς. ληπτέα οὖν τὰ γένη τῶν διαφορῶν· αὗται γὰρ ἀρχαὶ ἔσονται τοῦ εἶναι, οἷον τὰ τῷ μᾶλλον καὶ ἧττον ἢ πυκνῷ καὶ μανῷ καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις· πάντα γὰρ ταῦτα ὑπεροχὴ καὶ ἔλλειψίς ἐστιν. εἰ δέ τι σχήματι ἢ λειότητι καὶ τραχύτητι, πάντα εὐθεῖ καὶ καμπύλῳ. τοῖς δὲ τὸ
1043*a* εἶναι τὸ μεμῖχθαι ἔσται, ἀντικειμένως δὲ τὸ μὴ εἶναι. φανερὸν δὴ ἐκ τούτων ὅτι εἴπερ ἡ οὐσία αἰτία τοῦ εἶναι ἕκαστον, ὅτι ἐν τούτοις ζητητέον τί τὸ αἴτιον τοῦ εἶναι τούτων ἕκαστον. οὐσία μὲν οὖν οὐθὲν τούτων οὐδὲ συνδυαζόμενον, ὅμως δὲ τὸ ἀνάλογον ἐν ἑκάστῳ· καὶ ὡς ἐν ταῖς οὐσίαις τὸ τῆς ὕλης κατηγορούμενον αὐτὴ ἡ ἐνέργεια, καὶ ἐν τοῖς ἄλλοις ὁρισμοῖς μάλιστα. οἷον εἰ οὐδὸν δέοι ὁρίσασθαι, ξύλον ἢ λίθον ὡδὶ κείμενον ἐροῦμεν, καὶ οἰκίαν πλίνθους καὶ ξύλα ὡδὶ κείμενα (ἢ ἔτι καὶ τὸ οὗ ἕνεκα ἐπ' ἐνίων ἐστίν), εἰ δὲ κρύσταλ-

16. ὥσπερ om $A^b$. | 18. τὰ δὲ γ. ο. κ. ante 17. τὰ δὲ δ. pon *ias*. | δὲ ἐν πλείοσι $A^bF^b$. | 23. μανότητι] ἀραιότητι $A^b$. | 25. ἔστι] ἔχειν *T*. | 27. τὸ οὕτως αὐτὸ] fort. αὐτῷ τὸ οὕτω cf. Alex p. 518, 3. | 27. 28. κρυστάλλῳ scr. c. Alex, κρύσταλλον *aiscb*. | 28. τὸ εἶναι] τὸ εἶδος $A^b$. | 31. ἡ ante χεὶρ om $A^bi$, vel omittendum vel in ἢ mutandum videtur. | 31. 32. ληπτέον *E*. | 32. ἀρχαὶ om *T*. | 35. ὑπεροχῇ καὶ ἐλλείψει $A^b$.

1043*a* 1. τὸ μὴ] τῷ εἶναι τὸ μὴ *T*. | 2. δὲ *Sas*. | 9. ante ἢ et post ἐστὶν punctum *b*, parenthesi includunt *ic*, idem significat Alex. | ἔτι] ὅτι *T*.

Digitized by Google

λον, ὕδωρ πεπηγὸς ἢ πεπυκνωμένον ὡδί· συμφωνία δὲ ὀξέος καὶ βαρέος μῖξις τοιαδί· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. φανερὸν δὴ ἐκ τούτων ὅτι ἡ ἐνέργεια ἄλλη ἄλλης ὕλης καὶ ὁ λόγος· τῶν μὲν γὰρ ἡ σύνθεσις, τῶν δ' ἡ μῖξις, τῶν δ' ἄλλο τι τῶν εἰρημένων. διὸ τῶν ὁριζομένων οἱ μὲν λέγοντες τί ἐστιν οἰκία, ὅτι λίθοι πλίνθοι ξύλα, τὴν δυνάμει οἰκίαν λέγουσιν, ὕλη γὰρ ταῦτα· οἱ δὲ ἀγγεῖον σκεπαστικὸν σωμάτων καὶ χρημάτων, ἤ τι καὶ ἄλλο τοιοῦτον προσθέντες, τὴν ἐνέργειαν λέγουσιν· οἱ δ' ἄμφω ταῦτα συντιθέντες τὴν τρίτην καὶ τὴν ἐκ τούτων οὐσίαν. ἔοικε γὰρ ὁ μὲν διὰ τῶν 168 διαφορῶν λόγος τοῦ εἴδους καὶ τῆς ἐνεργείας εἶναι, ὁ δ' ἐκ τῶν ἐνυπαρχόντων τῆς ὕλης μᾶλλον. ὁμοίως δὲ καὶ οἵους Ἀρχύτας ἀπεδέχετο ὅρους· τοῦ συνάμφω γάρ εἰσιν. οἷον τί ἐστι νηνεμία; ἠρεμία ἐν πλήθει ἀέρος· ὕλη μὲν ὁ ἀήρ, ἐνέργεια δὲ καὶ οὐσία ἡ ἠρεμία. τί ἐστι γαλήνη; ὁμαλότης θαλάττης· τὸ μὲν ὑποκείμενον ὡς ὕλη ἡ θάλαττα, ἡ δ' ἐνέργεια καὶ ἡ μορφὴ ἡ ὁμαλότης. φανερὸν δὴ ἐκ τῶν εἰρημένων τίς ἡ αἰσθητὴ οὐσία ἐστὶ καὶ πῶς· ἡ μὲν γὰρ ὡς ὕλη, ἡ δ' ὡς μορφὴ καὶ ἐνέργεια· ἡ δὲ τρίτη ἡ ἐκ τούτων.

3 Δεῖ δὲ μὴ ἀγνοεῖν ὅτι ἐνίοτε λανθάνει πότερον σημαίνει τὸ ὄνομα τὴν σύνθετον οὐσίαν ἢ τὴν ἐνέργειαν καὶ τὴν μορφήν, οἷον ἡ οἰκία πότερον σημεῖον τοῦ κοινοῦ ὅτι σκέπασμα ἐκ πλίνθων καὶ λίθων ὡδὶ κειμένων, ἢ τῆς ἐνεργείας καὶ τοῦ εἴδους ὅτι σκέπασμα, καὶ γραμμὴ πότερον δυὰς ἐν μήκει ἢ ὅτι δυάς, καὶ ζῷον πότερον ψυχὴ ἐν σώματι ἢ ψυχή· αὕτη γὰρ οὐσία καὶ ἐνέργεια σώματός τινος. εἴη δ' ἂν καὶ ἐπ' ἀμφοτέροις τὸ ζῷον, οὐχ ὡς ἑνὶ λόγῳ λεγόμενον ἀλλ' ὡς πρὸς ἕν. ἀλλὰ ταῦτα πρὸς μέν τι ἄλλο διαφέρει, πρὸς δὲ τὴν ζήτησιν τῆς οὐσίας τῆς αἰσθητῆς οὐθέν· τὸ γὰρ τί ἦν εἶναι τῷ εἴδει καὶ τῇ ἐνεργείᾳ 1043*b* ὑπάρχει. ψυχὴ μὲν γὰρ καὶ ψυχῇ εἶναι ταὐτόν,

15. τῇ *ETA$^b$c*. | 17. χρημάτων καὶ σωμάτων *ETias*. | καὶ om *EA$^b$i*. | προστιθέντες *T*. | 18. ἐνέργειαν codd. Alex *iasc*, ἐνεργείᾳ *b*. | τιθέντες *E Sas*. | 18. 19. πρώτην *T*. | 19. διὰ] δὴ *T*. | 21. ὑπαρχόντων *T*. | οὓς *ESas*. | 23. post μὲν add γὰρ *A$^b$* Alex *icb*. | 24. θαλάσσης *A$^b$*. | 26. ἡ utrumque om *A$^b$*, prius om *c*. | δὲ *as*. | 28. καὶ scripsi secutus Alex p. 520, 18, cf. Obs. p. 121: ὅτι *icb*, ὅταν *as*. | ἡ ante ἐκ om Alex *ias*. | 32. πλίνθων καὶ ξύλων καὶ *Sas*. | 36. τὸ om *E*.

1043*b* 2. ψυχῇ — ψυχὴ *A$^b$*, omisso εἶναι.

Digitized by Google

ἀνθρώπῳ δὲ καὶ ἄνθρωπος οὐ ταὐτόν, εἰ μὴ καὶ ἡ ψυχὴ ἄνθρωπος λεχθήσεται· οὕτω δὲ τινὶ μὲν τινὶ δ᾽ οὔ. οὐ φαίνεται δὴ ζητοῦσιν ἡ συλλαβὴ ἐκ τῶν στοιχείων οὖσα καὶ συνθέσεως, οὐδ᾽ ἡ οἰκία πλίνθοι τε καὶ σύνθεσις. καὶ τοῦτο ὀρθῶς· οὐ γάρ ἐστιν ἡ σύνθεσις οὐδ᾽ ἡ μῖξις ἐκ τούτων ὧν ἐστὶ σύνθεσις ἢ μῖξις. ὁμοίως δὲ οὐδὲ τῶν ἄλλων οὐθέν, οἷον εἰ ὁ οὐδὸς θέσει, οὐκ ἐκ τοῦ οὐδοῦ ἡ θέσις, ἀλλὰ μᾶλλον 169
οὗτος ἐξ ἐκείνης. οὐδὲ δὴ ὁ ἄνθρωπός ἐστι τὸ ζῷον καὶ δίπουν, ἀλλά τι δεῖ εἶναι ὃ παρὰ ταῦτά ἐστιν, εἰ ταῦθ᾽ ὕλη, οὔτε δὲ στοιχεῖον οὔτ᾽ ἐκ στοιχείου, ἀλλ᾽ ἡ οὐσία· ὃ ἐξαιροῦντες τὴν ὕλην λέγουσιν. εἰ οὖν τοῦτ᾽ αἴτιον τοῦ εἶναι καὶ οὐσίας, τοῦτο αὐτὴν ἂν τὴν οὐσίαν λέγοιεν. ἀνάγκη δὴ ταύτην ἢ ἀΐδιον εἶναι ἢ φθαρτὴν ἄνευ τοῦ φθείρεσθαι καὶ γεγονέναι ἄνευ τοῦ γίγνεσθαι. δέδεικται δὲ καὶ δεδήλωται ἐν ἄλλοις ὅτι τὸ εἶδος οὐθεὶς ποιεῖ οὐδὲ γεννᾷ, ἀλλὰ ποιεῖται τόδε, γίγνεται δὲ τὸ ἐκ τούτων. εἰ δ᾽ εἰσὶ τῶν φθαρτῶν αἱ οὐσίαι χωρισταί, οὐθέν πω δῆλον· πλὴν ὅτι γ᾽ ἐνίων οὐκ ἐνδέχεται δῆλον, ὅσα μὴ οἷόν τε παρὰ τὰ τινὰ εἶναι, οἷον οἰκίαν ἢ σκεῦος. ἴσως μὲν οὖν οὐδ᾽ οὐσίαι εἰσὶν οὔτ᾽ αὐτὰ ταῦτα οὔτε τι τῶν ἄλλων ὅσα μὴ φύσει συνέστηκεν· τὴν γὰρ φύσιν μόνην ἄν τις θείη τὴν ἐν τοῖς φθαρτοῖς οὐσίαν. ὥστε ἡ ἀπορία ἣν οἱ Ἀντισθένειοι καὶ οἱ οὕτως ἀπαίδευτοι ἠπόρουν, ἔχει τινὰ καιρόν, ὅτι οὐκ ἔστι τὸ τί ἔστιν ὁρίσασθαι (τὸν γὰρ ὅρον λόγον εἶναι μακρόν), ἀλλὰ ποῖον μέν τί ἐστιν ἐνδέχεται καὶ διδάξαι, ὥσπερ ἄργυρον, τί μέν ἐστιν, οὔ, ὅτι δ᾽ οἷον καττίτερος. ὥστ᾽ οὐσίας ἔστι μὲν ἧς ἐνδέχεται εἶναι ὅρον καὶ λόγον, οἷον τῆς συνθέτου, ἐάν τε αἰσθητὴ ἐάν τε νοητὴ ᾖ· ἐξ ὧν δ᾽ αὕτη πρώτων, οὐκ ἔστιν, εἴπερ τὶ κατά τινος σημαίνει ὁ λόγος ὁ ὁριστικός, καὶ δεῖ τὸ μὲν

4. δὲ] δ᾽ ἐπὶ $A^b$, μὲν T. | οὐ om a. | 6. οὐδ᾽ ἡ — 1044a 5. εἴπερ ἐστί om T. | 7. οὐδ᾽] καὶ Eas. | 8. post ἐστὶ add ἡ $A^b cb$: ceteri et Alex om. | 9. εἰ ὁ om Eias, ὁ om Alex. | 11. ταῦτα] τὰ ἄλλα $A^b$. | 12. οὔτε δὲ] ὃ οὔτε $A^b$ et fort. Alex. | 13. οὐσίας conieci ex interpretatione Sep, idem fort. habuit Alex p. 522, 21, οὐσία iascb. | comma non post οὐσίας, sed post τοῦτο iascb. | 14. λέγοιεν] οὐ λέγοιεν ias et γρ E. | δὲ as. | 16. ἄλλαις as. | 17. γεννᾶται Eiasc. | ποιεῖται] fort. ποιεῖ εἰς, cf. p. 1033b 10. | 19. γ᾽] γ᾽ ἐπ᾽ Alex. | 21. οὔτ᾽] οὐδέ τι E mg as: ceteri οὐδὲ. | 23. μόνον γρ E. | τὴν ias, eandem scripturam interpretatur Alex p. 523, 5: τῶν cb. | 25. post καιρὸν add λυθῆναι ias. | 26. εἶναι λόγον as. | 27. ἐνδέχεσθαι $A^b c$. | 29. αἰσθητῆς Alex. | 30. νοητὴ ᾖ] νοητῆς Alex. | ᾖ om $A^b$.

Digitized by Google

*ὥσπερ ὕλην εἶναι, τὸ δὲ ὡς μορφήν. φανερὸν δὲ καὶ διότι, εἴπερ εἰσί πως ἀριθμοὶ αἱ οὐσίαι, οὕτως εἰσὶ καὶ οὐχ ὥς τινες λέγουσι μονάδων· ὅ τε γὰρ ὁρισμὸς ἀριθμός τις* 170 *(διαιρετός τε γὰρ καὶ εἰς ἀδιαίρετα· οὐ γὰρ ἄπειροι οἱ λόγοι) καὶ ὁ ἀριθμὸς δὲ τοιοῦτος. καὶ ὥσπερ οὐδ' ἀπ' ἀριθμοῦ ἀφαιρεθέντος τινὸς ἢ προστεθέντος, ἐξ ὧν ὁ ἀριθμός ἐστιν, οὐκέτι ὁ αὐτὸς ἀριθμός ἐστιν ἀλλ' ἕτερος, κἂν τοὐλάχιστον ἀφαιρεθῇ ἢ προστεθῇ, οὕτως οὐδὲ ὁ ὁρισμὸς οὐδὲ τὸ τί* 1044*a* *ἦν εἶναι οὐκέτι ἔσται ἀφαιρεθέντος τινὸς ἢ προστεθέντος. καὶ τὸν ἀριθμὸν δεῖ εἶναί τι ᾧ εἷς, ὃ νῦν οὐκ ἔχουσι λέγειν τίνι εἷς, εἴπερ ἐστὶν εἷς. ἢ γὰρ οὐκ ἔστιν ἀλλ' οἷον σωρός, ἢ εἴπερ ἐστί, λεκτέον τί τὸ ποιοῦν ἓν ἐκ πολλῶν. καὶ ὁ ὁρισμὸς εἷς ἐστίν· ὁμοίως δὲ οὐδὲ τοῦτον ἔχουσι λέγειν. καὶ τοῦτ' εἰκότως συμβαίνει· τοῦ αὐτοῦ γὰρ λόγου, καὶ ἡ οὐσία ἓν οὕτως, ἀλλ' οὐχ ὡς λέγουσί τινες οἷον μονάς τις οὖσα ἢ στιγμή, ἀλλ' ἐντελέχεια καὶ φύσις τις ἑκάστη. καὶ ὥσπερ οὐδὲ ὁ ἀριθμὸς ἔχει τὸ μᾶλλον καὶ ἧττον, οὐδ' ἡ κατὰ τὸ εἶδος οὐσία, ἀλλ' εἴπερ, ἡ μετὰ τῆς ὕλης. περὶ μὲν οὖν γενέσεως καὶ φθορᾶς τῶν λεγομένων οὐσιῶν, πῶς τ' ἐνδέχεται καὶ πῶς ἀδύνατον, καὶ περὶ τῆς εἰς τὸν ἀριθμὸν ἀναγωγῆς, ἔστω μέχρι τούτων διωρισμένον.*

4 *Περὶ δὲ τῆς ὑλικῆς οὐσίας δεῖ μὴ λανθάνειν ὅτι εἰ καὶ ἐκ τοῦ αὐτοῦ πάντα πρώτου ἢ τῶν αὐτῶν ὡς πρώτων καὶ ἡ αὐτὴ ὕλη ὡς ἀρχὴ τοῖς γιγνομένοις, ὅμως ἔστι τις οἰκεία ἑκάστου, οἷον φλέγματός ἐστι πρώτη ὕλη τὰ γλυκέα ἢ λιπαρά, χολῆς δὲ τὰ πικρὰ ἢ ἄλλ' ἄττα. ἴσως δὲ ταῦτα ἐκ τοῦ αὐτοῦ. γίγνονται δὲ πλείους ὗλαι τοῦ αὐτοῦ, ὅταν θατέρου ἡ ἑτέρα ᾖ, οἷον φλέγμα ἐκ λιπαροῦ καὶ γλυκέος, εἰ τὸ λιπαρὸν ἐκ τοῦ γλυκέος, ἐκ δὲ χολῆς τῷ ἀναλύεσθαι εἰς τὴν πρώτην ὕλην τὴν χολήν. διχῶς γὰρ τόδ'* 171 *ἐκ τοῦδε, ἢ ὅτι πρὸ ὁδοῦ ἔσται ἢ ὅτι ἀναλυθέντος εἰς τὴν*

32. *ὡς* om *A*[b]. | 33. *εἰσὶν οἱ ἀριθμοὶ οὐσίαι* *F*[b]. | 36. *τοιοῦτον* ***Ei***. | 38. *ἐστιν* ante *ἀλλ'* om *A*[b].

1044*a* 3. *τὸν ἀριθμὸν*] vel scribendum *τῷ ἀριθμῷ* cf. Obs. p. 100, vel post *τι* addendum *τὸ ἑνοῦν καὶ*. | *τι ᾧ*] *αἰτίῳ* *A*[b]. | *ὃ* — 4. *εἷς* om *E*. | 4. *εἴπερ ἐστὶν* om *A*[b]. | *ἢ* prius om *A*[b]. | 7. *ἡ* et 8. *τις* om *T*. | 10. *καὶ τὸ ἧττον* ***Tas***. | 11. ***secundum materiam i***. | *τῆς* om ***as***. | 12. *τ'* add *A*[b]. | 13. post *ἀδύνατον* add *γίνεσθαι* ***as***. | *καὶ* om *T*. | 17. *ἡ* om *A*[b]. | 18. *ἐστι πρώτη ὕλη* om *A*[b]. | 19. *ἴσως δὲ*] *ἴσως δὲ καὶ* ***Tas***. | 22. *εἰ* — *γλυκέος* om *T*. | post *χολῆς* add *εἶναι* ***ias***. | *τὸ* *T*. | 23. *τὴν* post *εἰς* om *T*.

Digitized by Google

ἀρχήν. ἐνδέχεται δὲ μιᾶς τῆς ὕλης ὅσης ἕτερα γίγνεσθαι διὰ τὴν κινοῦσαν αἰτίαν, οἷον ἐκ ξύλου καὶ κιβωτὸς καὶ κλίνη. ἐνίων δ' ἑτέρα ἡ ὕλη ἐξ ἀνάγκης ἑτέρων ὄντων, οἷον πρίων οὐκ ἂν γένοιτο ἐκ ξύλου, οὐδ' ἐπὶ τῇ κινούσῃ αἰτίᾳ τοῦτο· οὐ γὰρ ποιήσει πρίονα ἐξ ἐρίου ἢ ξύλου. εἰ δ' ἄρα τὸ αὐτὸ ἐνδέχεται ἐξ ἄλλης ὕλης ποιῆσαι, δῆλον ὅτι ἡ τέχνη καὶ ἡ ἀρχὴ ἡ ὡς κινοῦσα ἡ αὐτή· εἰ γὰρ καὶ ἡ ὕλη ἑτέρα καὶ τὸ κινοῦν, καὶ τὸ γεγονός. ὅταν δή τις ζητῇ τί τὸ αἴτιον, ἐπεὶ πλεοναχῶς τὰ αἴτια λέγεται, πάσας δεῖ λέγειν τὰς ἐνδεχομένας αἰτίας. οἷον ἀνθρώπου τίς αἰτία ὡς ὕλη; ἆρα τὰ καταμήνια; τί δ' ὡς κινοῦν; ἆρα τὸ σπέρμα; τί δ' ὡς τὸ εἶδος; τὸ τί ἦν εἶναι. τί δ' ὡς οὗ ἕνεκα; τὸ
1044b τέλος. ἴσως δὲ ταῦτα ἄμφω τὸ αὐτό. δεῖ δὲ τὰ ἐγγύτατα αἴτια λέγειν. τίς ἡ ὕλη; μὴ πῦρ ἢ γῆν, ἀλλὰ τὴν ἴδιον. περὶ μὲν οὖν τὰς φυσικὰς οὐσίας καὶ γεννητὰς ἀνάγκη οὕτω μετιέναι, εἴ τις μέτεισιν ὀρθῶς, εἴπερ ἄρα αἴτιά τε ταῦτα καὶ τοσαῦτα, καὶ δεῖ τὰ αἴτια γνωρίζειν. ἐπὶ δὲ τῶν φυσικῶν μὲν ἀϊδίων δὲ οὐσιῶν ἄλλος λόγος. ἴσως γὰρ ἔνια οὐκ ἔχει ὕλην, ἢ οὐ τοιαύτην ἀλλὰ μόνον κατὰ τόπον κινητήν. οὐδ' ὅσα δὴ φύσει μέν, μὴ οὐσίᾳ δέ, οὐκ ἔστι τούτοις ὕλη, ἀλλὰ τὸ ὑποκείμενον ἡ οὐσία. οἷον τί αἴτιον ἐκλείψεως, τίς ὕλη; οὐ γὰρ ἔστιν, ἀλλ' ἡ σελήνη τὸ πάσχον. τί δ' αἴτιον ὡς κινῆσαν καὶ φθεῖραν τὸ φῶς; ἡ γῆ. τὸ δ' οὗ ἕνεκα ἴσως οὐκ ἔστιν. τὸ δ' ὡς εἶδος ὁ λόγος, ἀλλ' ἄδηλος, ἐὰν μὴ μετὰ τῆς αἰτίας ᾖ ὁ λόγος. οἷον τί ἔκλειψις; στέρησις φωτός. ἐὰν δὲ προστεθῇ ὑπὸ γῆς ἐν μέσῳ γιγνομένης, ὁ σὺν τῷ αἰτίῳ λόγος οὗτος. ὕπνου δ' 172
ἄδηλον τί τὸ πρῶτον πάσχον. ἀλλ' ὅτι τὸ ζῷον; ναί, ἀλλὰ τοῦτο κατὰ τί, καὶ τί πρῶτον; καρδία ἢ ἄλλο τι;

26. καὶ post ξύλου om $A^b$. | 28. οὐδ'] ὡς δ' *T*. | 29. ἢ ἐκ ξύλου $A^b$. | εἰ] τι $A^b$. | 30. ὕλης om $A^b$. | 31. ἡ ante ὡς add *E*, ceteri et *c* om. | καὶ om *is*. | 32. τί om $A^b$. | 35. ἄρα utrobique *a*. | 36. τὸ (vel τί) δ' ὡς τὸ οὗ Alex.

1044b 1. τὰ] καὶ τὰ *as*. | 2. ἡ] ὡς $A^b$. | 3. ἰδίαν *as*. | τὰς ἄλλας αἰτίας καὶ γενικὰς *T*. | οὐσίας] αἰτίας Alex et γρ $A^b$. | 4. ἄρα om $A^b$. | 6. περὶ Alex. | 8. δὴ om *T*. | post μέν distinguunt *ia*, post μὴ *b*. | *substantiae i*. | 9. ἡ ὕλη $A^b$. | ἀλλὰ — 10. ὕλη om *T*. | 11. τί] τὸ *as*. | δ' om *ET*. | φθεῖρον *Tas*. | 12. ἕνεκα καὶ ἴσως *T*. | 13. ὁ λόγος ᾖ *as*. | 14. ante ὑπὸ add τὸ $A^bcb$. | 16. ἀλλ' ὅτι] fort. ἄλλο τι. | 17. κατά τι *iasc*.

Digitized by Google

εἶτα ὑπὸ τίνος; εἶτα τί τὸ πάθος τὸ ἐκείνου καὶ μὴ τοῦ ὅλου; ὅτι ἀκινησία τοιαδί; ναί, ἀλλ' αὕτη τῷ τί πάσχειν τὸ πρῶτον;

5 Ἐπεὶ δ' ἔνια ἄνευ γενέσεως καὶ φθορᾶς ἔστι καὶ οὐκ ἔστιν, οἷον αἱ στιγμαί, εἴπερ εἰσί, καὶ ὅλως τὰ εἴδη καὶ αἱ μορφαί (οὐ γὰρ τὸ λευκὸν γίγνεται ἀλλὰ τὸ ξύλον λευκόν), εἰ ἔκ τινος καὶ τὶ πᾶν τὸ γιγνόμενον γίγνεται, οὐ πάντα ἂν τἀναντία γίγνοιτο ἐξ ἀλλήλων, ἀλλ' ἑτέρως λευκὸς ἄνθρωπος ἐκ μέλανος ἀνθρώπου καὶ λευκὸν ἐκ μέλανος· οὐδὲ παντὸς ὕλη ἐστὶν ἀλλ' ὅσων γένεσίς ἐστι καὶ μεταβολὴ εἰς ἄλληλα. ὅσα δ' ἄνευ τοῦ μεταβάλλειν ἔστιν ἢ μή, οὐκ ἔστι τούτων ὕλη. ἔχει δ' ἀπορίαν πῶς πρὸς τἀναντία ἡ ὕλη ἡ ἑκάστου ἔχει. οἷον εἰ τὸ σῶμα δυνάμει ὑγιεινόν, ἐναντίον δὲ νόσος ὑγιείᾳ, ἆρα ἄμφω δυνάμει; καὶ τὸ ὕδωρ δυνάμει οἶνος καὶ ὄξος; ἢ τοῦ μὲν καθ' ἕξιν καὶ κατὰ τὸ εἶδος ὕλη, τοῦ δὲ κατὰ στέρησιν καὶ φθορὰν τὴν παρὰ φύσιν. ἀπορία δέ τις ἔστι καὶ διὰ τί ὁ οἶνος οὐχ ὕλη τοῦ ὄξους οὐδὲ δυνάμει ὄξος (καίτοι γίγνεται ἐξ αὐτοῦ ὄξος) καὶ ὁ ζῶν δυνάμει νεκρός. ἢ οὔ, ἀλλὰ κατὰ συμβεβηκὸς αἱ φθοραί, ἡ δὲ τοῦ ζῴου ὕλη αὐτὴ κατὰ φθορὰν 1045a νεκροῦ δύναμις καὶ ὕλη, καὶ τὸ ὕδωρ ὄξους· γίγνεται γὰρ ἐκ τούτων ὥσπερ ἐξ ἡμέρας νύξ. καὶ ὅσα δὴ οὕτω μεταβάλλει εἰς ἄλληλα, εἰς τὴν ὕλην δεῖ ἐπανελθεῖν, οἷον εἰ ἐκ νεκροῦ ζῷον, εἰς τὴν ὕλην πρῶτον, εἶθ' οὕτω ζῷον· καὶ τὸ ὄξος εἰς ὕδωρ, εἶθ' οὕτως οἶνος.

6 Περὶ δὲ τῆς ἀπορίας τῆς εἰρημένης περί τε τοὺς ὁρι-
173 σμοὺς καὶ περὶ τοὺς ἀριθμούς, τί αἴτιον τοῦ ἓν εἶναι; πάντων γὰρ ὅσα πλείω μέρη ἔχει καὶ μή ἐστιν οἷον σωρὸς τὸ πᾶν

18. εἶτα] ἢ τὰ *T*. | ὑπό τινος *a*. | μὴ τὸ τοῦ *as*. | 19. τοιάδ' εἶναι ἀλλ' *A^b*. | ἀλλ'] καὶ Alex. | τῷ τὶ *iasc*. | 21. ἐπειδὴ δ' Alex. | δ' ἄνευ ἔνια γ. *a*. | εἰσὶ καὶ οὐκ εἰσίν Alex. | 22. 23. καὶ αἱ μορφαί om *ET*. | 23. 24. λευκὸν ante ξύλον Alex, om *T*. | 24. parenthesin ante εἰ claudit Alex, post γίγνεται *ib*. | εἰ] ἢ *ETas*. | 25. γίγνοιντο *A^b* Alex. | ἐξ] ἀλλ' ἐξ *as*. | 27. ὅσον *T*. | 30. ἡ om *F^b*. | ὑγιαίνει *Tas*, ὑγιαῖνον *E*. | 31. ἄρα *as*. | 32. ὄξος καὶ οἶνος *asc*. | ἕξιν καὶ] ἕξιν ἢ *A^b*. | 33. καὶ κατὰ φθορὰν *Eas*. | 34. post φύσιν signum interrogandi *cb*. | δέ τις] δ' ἔτι *A^b*.

1045 *a* 1. αὕτη *T*. | 2. καὶ ἡ ὕλη *T*. | post ὄξους signum interrogandi *b*. | 4. οἷον om *T*. | εἰ om *E*, εἰ ἐκ om *A^b*. | 6. εἰς om *T*. | 8. καὶ περὶ τοὺς ἀριθμοὺς om *F^b*. | περὶ om *T*. | τί] τί ἐστιν *as*, τί τὸ *F^b*, fort. recte. | πάντα *EA^b*. | 9. ἅπαν *A^b*.

Digitized by Google

***ἀλλ᾽ ἔστι τι τὸ ὅλον παρὰ τὰ μόρια, ἔστι τι αἴτιον, ἐπεὶ καὶ ἐν τοῖς σώμασι τοῖς μὲν ἀφὴ αἰτία τοῦ ἓν εἶναι, τοῖς δὲ γλισχρότης ἤ τι πάθος ἕτερον τοιοῦτον. ὁ δ᾽ ὁρισμὸς λόγος ἐστὶν εἷς οὐ συνδέσμῳ καθάπερ ἡ Ἰλιάς, ἀλλὰ τῷ ἑνὸς εἶναι. τί οὖν ἐστὶν ὃ ποιεῖ ἓν τὸν ἄνθρωπον, καὶ διὰ τί ἓν ἀλλ᾽ οὐ πολλά, οἷον τό τε ζῷον καὶ τὸ δίπουν, ἄλλως τε δὴ καὶ εἰ ἔστιν, ὥσπερ φασί τινες, αὐτό τι ζῷον καὶ αὐτὸ δίπουν. διὰ τί γὰρ οὐκ ἐκεῖνα αὐτὰ ὁ ἄνθρωπός ἐστι, καὶ ἔσονται κατὰ μέθεξιν οἱ ἄνθρωποι οὐκ ἀνθρώπου οὐδ᾽ ἑνὸς ἀλλὰ δυοῖν, ζῴου καὶ δίποδος; καὶ ὅλως δὴ οὐκ ἂν εἴη ὁ ἄνθρωπος ἓν ἀλλὰ πλείω, ζῷον καὶ δίπουν. φανερὸν δὴ ὅτι οὕτω μὲν μετιοῦσιν ὡς εἰώθασιν ὁρίζεσθαι καὶ λέγειν, οὐκ ἐνδέχεται ἀποδοῦναι καὶ λῦσαι τὴν ἀπορίαν. εἰ δ᾽ ἐστίν, ὥσπερ λέγομεν, τὸ μὲν ὕλη τὸ δὲ μορφή, καὶ τὸ μὲν δυνάμει τὸ δ᾽ ἐνεργείᾳ, οὐκέτι ἀπορία δόξειεν ἂν εἶναι τὸ ζητούμενον. ἔστι γὰρ αὕτη ἡ ἀπορία ἡ αὐτὴ κἂν εἰ ὁ ὅρος εἴη ἱματίου ὁ στρογγύλος χαλκός· εἴη γὰρ ἂν σημεῖον τοὔνομα τοῦτο τοῦ λόγου, ὥστε τὸ ζητούμενόν ἐστι τί αἴτιον τοῦ ἓν εἶναι τὸ στρογγύλον καὶ τὸν χαλκόν. οὐκέτι δ᾽ ἡ ἀπορία φαίνεται, ὅτι τὸ μὲν ὕλη τὸ δὲ μορφή. τί οὖν τούτου αἴτιον τοῦ τὸ δυνάμει ὂν ἐνεργείᾳ εἶναι, παρὰ τὸ ποιῆσαν, ἐν ὅσοις ἐστὶ γένεσις; οὐθὲν γάρ ἐστιν αἴτιον ἕτερον τοῦ τὴν δυνάμει σφαῖραν ἐνεργείᾳ εἶναι σφαῖραν, ἀλλὰ τοῦτ᾽ ἦν τὸ τί ἦν εἶναι ἑκατέρῳ. ἔστι δὲ τῆς 174 ὕλης ἡ μὲν νοητὴ ἡ δ᾽ αἰσθητή, καὶ ἀεὶ τοῦ λόγου τὸ μὲν ὕλη τὸ δ᾽ ἐνέργειά ἐστιν, οἷον ὁ κύκλος σχῆμα ἐπίπεδον. ὅσα δὲ μὴ ἔχει ὕλην, μήτε νοητὴν μήτε αἰσθητήν, εὐθὺς 1045b ὅπερ ἕν τι [εἶναι] ἐστιν ἕκαστον, ὥσπερ καὶ ὅπερ ὄν τι, τὸ τόδε, τὸ ποιόν, τὸ ποσόν. διὸ καὶ οὐκ ἔνεστιν ἐν τοῖς ὁρισμοῖς οὔτε τὸ ὂν οὔτε τὸ ἕν, καὶ τὸ τί ἦν εἶναι εὐθὺς ἕν τί***

**10.** τὸ om γρ *E.* | ἐπεὶ] εἰ *T.* | **11.** ἐν] ὁ ἐν ***as.*** | **14.** ἕν, omisso εἶναι, *T.* | οὖν om *T.* | **16.** δὴ] δὲ *T*, om *A*[b]***as.*** | **17.** αὐτοάνθρωπός *A*[b] Alex. | **18.** οἱ] οἷον *A*[b]. | οὐδ᾽ ἑνὸς coniect., οὐδενὸς ***ascb***, ***non hominis unius i.*** | **19.** ζῴου] καὶ ζ. ***as.*** | καὶ ante ὅλως om ***as.*** | **20.** ὁ om *T****as.*** | **22.** λέγουσιν *T.* | **26.** εἰ] εἴη *T.* | ὁ prius om *A*[b] Alex, fort. recte, alterum om *E.* | **28.** τὸ] τὸν *T.* | τὸν] τὸ γρ *E.* | **29.** δ᾽ ἡ] δὴ *ET.* | **30.** τούτου τὸ αἴτιον *A*[b]***as.*** | **35.** ἐνεργεία *E.* | ὁ om *A*[b].

**1045*b*** **1.** ἕκαστόν ἐστιν ὅπερ ἕν τι Alex. | εἶναι omittendum c. Alex. | **2.** τόδε] τοῦτο γρ *E.* | καὶ om Alex ***i.*** | ἔνεστιν] ἐστιν *T* Alex, ἕν ἐστιν ***a.***

ἐστιν ὥσπερ καὶ ὄν τι. διὸ καὶ οὐκ ἔστιν ἕτερόν τι αἴτιον τοῦ ἓν εἶναι οὐθενὶ τούτων, οὐδὲ τοῦ ὄν τι εἶναι· εὐθὺς γὰρ ἕκαστόν ἐστιν ὄν τι καὶ ἕν τι, οὐχ ὡς ἐν γένει τῷ ὄντι καὶ τῷ ἑνί, οὐδ' ὡς χωριστῶν ὄντων παρὰ τὰ καθ' ἕκαστα. διὰ ταύτην δὲ τὴν ἀπορίαν οἱ μὲν μέθεξιν λέγουσι, καὶ αἴτιον τί τῆς μεθέξεως καὶ τί τὸ μετέχειν ἀποροῦσιν· οἱ δὲ συνουσίαν [ψυχῆς], ὥσπερ Λυκόφρων φησὶν εἶναι τὴν ἐπιστήμην τοῦ ἐπίστασθαι καὶ ψυχῆς· οἱ δὲ σύνθεσιν ἢ σύνδεσμον ψυχῆς σώματι τὸ ζῆν. καίτοι ὁ αὐτὸς λόγος ἐπὶ πάντων· καὶ γὰρ τὸ ὑγιαίνειν ἔσται ἢ συνουσία ἢ σύνδεσμος ἢ σύνθεσις ψυχῆς καὶ ὑγιείας, καὶ τὸ τὸν χαλκὸν εἶναι τρίγωνον σύνθεσις χαλκοῦ καὶ τριγώνου, καὶ τὸ λευκὸν εἶναι σύνθεσις ἐπιφανείας καὶ λευκότητος. αἴτιον δ' ὅτι δυνάμεως καὶ ἐντελεχείας ζητοῦσι λόγον ἑνοποιὸν καὶ διαφοράν. ἔστι δ', ὥσπερ εἴρηται, καὶ ἡ ἐσχάτη ὕλη καὶ ἡ μορφὴ ταὐτὸ καὶ δυνάμει, τὸ δὲ ἐνεργείᾳ. ὥστε ὅμοιον τὸ ζητεῖν τοῦ ἑνὸς τί αἴτιον καὶ τοῦ ἓν εἶναι· ἓν γάρ τι ἕκαστον, καὶ τὸ δυνάμει καὶ τὸ ἐνεργείᾳ ἕν πώς ἐστιν. ὥστε αἴτιον οὐθὲν
175 ἄλλο πλὴν εἴ τι ὡς κινῆσαν ἐκ δυνάμεως εἰς ἐνέργειαν. ὅσα δὲ μὴ ἔχει ὕλην, πάντα ἁπλῶς ὅπερ ἕν τι.

# Θ.

Περὶ μὲν οὖν τοῦ πρώτως ὄντος καὶ πρὸς ὃ πᾶσαι αἱ ἄλλαι κατηγορίαι τοῦ ὄντος ἀναφέρονται εἴρηται, περὶ τῆς οὐσίας. κατὰ γὰρ τὸν τῆς οὐσίας λόγον λέγεται τἆλλα ὄντα, τό τε ποσὸν καὶ τὸ ποιὸν καὶ τἆλλα τὰ οὕτως λεγόμενα· πάντα γὰρ ἕξει τὸν τῆς οὐσίας λόγον, ὥσπερ εἴπομεν ἐν τοῖς πρώτοις λόγοις. ἐπεὶ δὲ λέγεται τὸ ὂν τὸ μὲν τὸ τί ἢ ποιὸν ἢ ποσόν, τὸ δὲ κατὰ δύναμιν καὶ ἐν-

4. καὶ post διὸ add *E*. | 5. οὐθενὶ] οὐδὲ ἑνὶ $A^b$. | 6. γενέσει *as*. | 7. καθ'] θ' *a*. | 8. αἴτιόν τι *iasc*. | 10. ψυχῆς invitis codd. et Alex omittendum, cf. Obs. p. 122. | 14. ψυχῆς — 15. σύνθεσις om *T*. | 15. ante λευκὸν fort. addendum τὴν ἐπιφάνειαν ex Alex. | εἶναι] ἓν εἶναι *as*, ἓν εἶναι καὶ *T*. | 17. λόγον om *ET*. | ἓν ὁποῖον *T*, τὸ ἑνοποιὸν *E*. | ἕν ἐστι $A^b$. | 18. καὶ post εἴρηται om $A^b$. | καὶ ἡ μ. τ. om *i*. | 18. 19. ταὐτὸ καὶ ἓν καὶ δυνάμει γρ *E*, fort. ταὐτὸ καὶ ἕν, τὸ μὲν δυνάμει, cf. Obs. p. 122. | 19. τὸ — 21. ἐστιν] ἓν $A^b$. | 21. πως ἓν *T*. | 22. εἴ τι] εἰ τὸ *ET*. | 23. ἕν τι $A^b$ Alex, ὄντα τι *ascb*. | 27. πᾶσαι om $A^b$. | 32. τοῖς om *T*. | λόγοις om Alex. | 33. τὸ] τῷ *T*. | ποσὸν ἢ ποιόν $A^b$.



Digitized by Google

τελέχειαν καὶ κατὰ τὸ ἔργον, διορίσωμεν καὶ περὶ δυνάμεως καὶ ἐντελεχείας, καὶ πρῶτον περὶ δυνάμεως ᾗ λέγεται μὲν μάλιςα κυρίως, ȣ̓ μὴν χρησίμη γ' ἐςὶ πρὸς ὃ 1046a βουλόμεθα νῦν· ἐπὶ πλέον γάρ ἐστιν ἡ δύναμις καὶ ἡ ἐνέργεια τῶν μόνον λεγομένων κατὰ κίνησιν. ἀλλ' εἰπόντες περὶ ταύτης ἐν τοῖς περὶ τῆς ἐνεργείας διορισμοῖς δηλώσομεν καὶ περὶ τῶν ἄλλων. ὅτι μὲν οὖν πολλαχῶς λέγεται ἡ δύναμις καὶ τὸ δύνασθαι, διώρισται ἡμῖν ἐν ἄλλοις. τȣ́των δ' ὅσαι μὲν ὁμωνύμως λέγονται δυνάμεις ἀφείσθωσαν· ἔνιαι γὰρ ὁμοιότητί τινι λέγονται, καθάπερ ἐν γεωμετρίᾳ καὶ δυνατὰ καὶ ἀδύνατα λέγομεν τῷ εἶναί πως ἢ μὴ εἶναι. ὅσαι δὲ πρὸς τὸ αὐτὸ εἶδος, πᾶσαι ἀρχαί τινές εἰσι, καὶ πρὸς πρώτην μίαν λέγονται, ἥ ἐστιν ἀρχὴ μεταβολῆς ἐν ἄλλῳ ἢ ᾗ ἄλλο. ἡ μὲν γὰρ τȣ͂ παθεῖν ἐστὶ δύναμις, ἡ ἐν αὐτῷ τῷ πάσχοντι ἀρχὴ μεταβολῆς παθητικῆς ὑπ' ἄλλȣ ἢ ᾗ ἄλλο· ἡ δ' ἕξις ἀπαθείας τῆς ἐπὶ τὸ χεῖρον καὶ φθορᾶς τῆς ὑπ' ἄλλȣ ἢ ᾗ ἄλλο, ὑπ' ἀρχῆς 176 μεταβλητικῆς. ἐν γὰρ τȣ́τοις ἔνεςι πᾶσι τοῖς ὅροις ὁ τῆς πρώτης δυνάμεως λόγος. πάλιν δ' αὗται αἱ δυνάμεις λέγονται ἢ τȣ͂ μόνον ποιῆσαι ἢ [τȣ͂] παθεῖν ἢ τȣ͂ καλῶς, ὥςε καὶ ἐν τοῖς τούτων λόγοις ἐνυπάρχȣσί πως οἱ τῶν προτέρων δυνάμεων λόγοι. φανερὸν ȣ̓͂ν ὅτι ἔςι μὲν ὡς μία δύναμις τοῦ ποιεῖν καὶ πάσχειν (δυνατὸν γάρ ἐστι καὶ τῷ ἔχειν αὐτὸ δύναμιν τȣ͂ παθεῖν καὶ τῷ ἄλλο ὑπ' αὐτοῦ), ἔστι δ' ὡς ἄλλη. ἡ μὲν γὰρ ἐν τῷ πάσχοντι· διὰ γὰρ τὸ ἔχειν τινὰ ἀρχήν, καὶ εἶναι καὶ τὴν ὕλην ἀρχήν τινα, πάσχει τὸ πάσχον καὶ ἄλλο ὑπ' ἄλλȣ· τὸ λιπαρὸν μὲν γὰρ καυστόν, τὸ δ' ὑπεῖκον ὡδὶ θλαστόν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· ἡ δ' ἐν τῷ ποιοῦντι, οἷον τὸ θερμὸν καὶ ἡ οἰκοδομική, ἡ μὲν ἐν τῷ θερμαντικῷ, ἡ δ' ἐν τῷ οἰκο-

36. χρησιμωτάτη $A^b$ Alex c. | γ' om as.

1046a 1. πλεῖον $A^b$. | 2. μόνων $A^b$a. | 3. τῆς om T. | 3. 4. δηλώσωμεν T. | 4. 5. λέγεται πολλαχῶς ETas. | 7. ante καθάπερ distinguit i, non dissentiente Alex, post γεωμετρίᾳ cb. | 11. ἢ ᾗ E, ἢ Ta, ᾗ iscb. | 12 ἡ] ἢ a. | 13. ἢ ᾗ ET, ᾗ iascb. | 14. ἢ ᾗ E, ᾗ iascb. | ὑπ' om $A^b$as. | 16. 17. δ' αὖ δυνάμεις λέγονται T, δ' αὗται δυνάμεις λέγονται E, δ' αὗται λέγονται αἱ δυνάμεις $A^b$. | 17. τοῦ ante παθεῖν omittere videtur i, et est omittendum. cf. Obs. p. 56. | 19. λόγοι δυνάμεων Tas. | 20. et 21. τῷ] τὸ T. | 22. μὲν om Ts. | 23. ἀρχήν τινα $A^b$. | καὶ εἶναι om T. | καὶ — τινα om $A^b$. | ὕλην] ὅλην as. | 24. μὲν om T. | 25. γὰρ] γὰρ καὶ as.

Digitized by Google

*δομικῷ. διὸ ᾗ συμπέφυκεν, ἐθὲν πάσχει αὐτὸ ὑφ' ἑαυτȣ̃· ἓν γὰρ καὶ οὐκ ἄλλο. καὶ ἡ ἀδυναμία καὶ τὸ ἀδύνατον ἡ τῇ τοιαύτῃ δυνάμει ἐναντία στέρησίς ἐστιν, ὥστε τοῦ αὐτȣ̃ καὶ κατὰ τὸ αὐτὸ πᾶσα δύναμις ἀδυναμίᾳ. ἡ δὲ ϛέρησις λέγεται πολλαχῶς· καὶ γὰρ τὸ μὴ ἔχον καὶ τὸ πεφυκὸς ἂν μὴ ἔχῃ, ἢ ὅλως ἢ ὅτε πέφυκεν, καὶ ἢ ὡδί, οἷον παντελῶς, ἢ κἂν ὁπωσȣ̃ν. ἐπ' ἐνίων δέ, ἂν πεφυκότα ἔχειν μὴ ἔχῃ βίᾳ, ἐϛερῆσθαι ταῦτα λέγομεν.*

2 *Ἐπεὶ δ' αἱ μὲν ἐν τοῖς ἀψύχοις ἐνυπάρχουσιν ἀρχαὶ τοιαῦται, αἱ δ' ἐν τοῖς ἐμψύχοις καὶ ἐν ψυχῇ καὶ τῆς ψυχῆς ἐν τῷ λόγον ἔχοντι, δῆλον ὅτι καὶ τῶν δυνάμεων* 1046*b* *αἱ μὲν ἔσονται ἄλογοι αἱ δὲ μετὰ λόγου. διὸ πᾶσαι αἱ τέχναι καὶ αἱ ποιητικαὶ [καὶ] ἐπιστῆμαι δυνάμεις εἰσίν·*
177*ἀρχαὶ γὰρ μεταβλητικαί εἰσιν ἐν ἄλλῳ ᾗ ἄλλο. καὶ αἱ μὲν μετὰ λόγȣ πᾶσαι τῶν ἐναντίων αἱ αὐταί, αἱ δ' ἄλογοι μία ἑνός, οἷον τὸ θερμὸν τοῦ θερμαίνειν μόνον, ἡ δὲ ἰατρικὴ νόσȣ καὶ ὑγιείας. αἴτιον δὲ ὅτι λόγος ἐϛὶν ἡ ἐπιϛήμη, ὁ δὲ λόγος ὁ αὐτὸς δηλοῖ τὸ πρᾶγμα καὶ τὴν ϛέρησιν, πλὴν ȣ̓χ ὡσαύτως, καὶ ἔϛιν ὡς ἀμφοῖν, ἔϛι δ' ὡς τοῦ ὑπάρχοντος μᾶλλον. ὥστ' ἀνάγκη καὶ τὰς τοιαύτας ἐπιστήμας εἶναι μὲν τῶν ἐναντίων, εἶναι δὲ τοῦ μὲν καθ' αὑτὰς τȣ̃ δὲ μὴ καθ' αὑτάς· καὶ γὰρ ὁ λόγος τοῦ μὲν καθ' αὑτό, τȣ̃ δὲ τρόπον τινὰ κατὰ συμβεβηκός· ἀποφάσει γὰρ καὶ ἀποφορᾷ δηλοῖ τὸ ἐναντίον. ἡ γὰρ στέρησις ἡ πρώτη τὸ ἐναντίον, αὕτη δ' ἀποφορὰ θατέρου. ἐπεὶ δὲ τὰ ἐναντία ȣ̓κ ἐγγίγνεται ἐν τῷ αὐτῷ, ἡ δ' ἐπιϛήμη δύναμις τῷ λόγον ἔχειν, καὶ ἡ ψυχὴ κινήσεως ἔχει ἀρχήν, τὸ μὲν ὑγιεινὸν ὑγίειαν μόνον ποιεῖ καὶ τὸ θερμαντικὸν θερμότητα καὶ τὸ ψυκτικὸν ψυχρότητα, ὁ δ' ἐπιστήμων ἄμφω. λόγος γὰρ ἐϛιν ἀμφοῖν μέν, ȣ̓χ ὁμοίως δέ, καὶ ἐν ψυχῇ ἣ ἔχει κινήσεως ἀρχήν· ὥστε ἄμφω ἀπὸ τῆς αὐτῆς ἀρχῆς κινήσει πρὸς τὸ αὐτὸ συνάψασα. διὸ τὰ*

30. *ἡ*] *καὶ ἡ* ***ETias***. | *τῇ* om ***Tas***. | 31. *καὶ* om ***T***. | *ἀδυναμία* Alex. | 33. *καὶ* om ***A**^b* Alex ***i***. | *ἢ ὡδί* ***TA**^b* Alex ***ias***, *ᾗ ὡδί* ***cb***. | 35. *ἔχειν*] *μὴ ἔχειν* ***T***. | *ἔχει* ***A**^b*. | 37. *αἱ* om ***A**^b*.

1046 *b* 2. *λόγοι γρ* ***E***. | 3. *αἱ* om ***Tas***. | *καὶ αἱ ἐπιστῆμαι* Alex ***as***. | *καὶ* om ***i*** Sep ***c***. | 4. *εἰσιν* om ***ET***. | *ἢ ἄλλῳ* ***T***. | fort. *ἢ ᾗ ἄλλο*. | 7. *ὁ λόγος* Alex. | 11. *δὲ*] *μὲν* ***T***. | 15. *ἡ*] *ἐστιν ἡ* Alex. | *ἀποφορᾷ* ***as***. | 18. *ποιεῖ*] *περιποιεῖ* ***as***. | 21. *ἐν τῇ ψ.* ***as***. | *ἣ*] *ᾗ ἢ* ***A**^b*. | 22. *τὸ* om ***ETA**^b**c***.



Digitized by Google

κατὰ λόγον δυνατὰ τοῖς ἄνευ λόγȣ δυνατοῖς ποιεῖ τἀναντία· μιᾷ γὰρ ἀρχῇ περιέχεται, τῷ λόγῳ. φανερὸν δὲ καὶ ὅτι τῇ μὲν τȣ̃ εὖ δυνάμει ἀκολȣθεῖ ἡ τȣ̃ μόνον ποιῆσαι ἢ παθεῖν δύναμις, ταύτῃ δ' ἐκείνη ȣ̓κ ἀεί· ἀνάγκη γὰρ τὸν εὖ ποιȣ̃ντα καὶ ποιεῖν, τὸν δὲ μόνον ποιȣ̃ντα οὐκ ἀνάγκη καὶ εὖ ποιεῖν.

3 Εἰσὶ δέ τινες οἵ φασιν, οἷον οἱ Μεγαρικοί, ὅταν ἐνεργῇ μόνον δύνασθαι, ὅταν δὲ μὴ ἐνεργῇ οὐ δύνασθαι, οἷον τὸν μὴ οἰκοδομȣ̃ντα ȣ̓ δύνασθαι οἰκοδομεῖν, ἀλλὰ τὸν οἰκοδομȣ̃ντα ὅταν οἰκοδομῇ· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. οἷς 178 τὰ συμβαίνοντα ἄτοπα οὐ χαλεπὸν ἰδεῖν. δῆλον γὰρ ὅτι οὔτ' οἰκοδόμος ἔσται ἐὰν μὴ οἰκοδομῇ· τὸ γὰρ οἰκοδόμῳ εἶναι τὸ δυνατῷ εἶναί ἐϛιν οἰκοδομεῖν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν. εἰ οὖν ἀδύνατον τὰς τοιαύτας ἔχειν τέχνας μὴ μανθάνοντά ποτε καὶ λαβόντα, καὶ μὴ ἔχειν 1047*a* μὴ ἀποβαλόντα ποτέ (ἢ γὰρ λήθῃ ἢ πάθει τινὶ ἢ χρόνῳ· οὐ γὰρ δὴ τοῦ γε πράγματος φθαρέντος, ἀεὶ γάρ ἐϛιν), ὅταν παύσηται, ȣ̓χ ἕξει τὴν τέχνην. πάλιν δ' εὐθὺς οἰκοδομήσει πῶς λαβών; καὶ τὰ ἄψυχα δὴ ὁμοίως· ȣ̈τε γὰρ ψυχρὸν οὔτε θερμὸν ȣ̈τε γλυκὺ οὔτε ὅλως αἰσθητὸν οὐθὲν ἔϛαι μὴ αἰσθανομένων. ὥϛε τὸν Πρωταγόρου λόγον συμβήσεται λέγειν αὐτοῖς. ἀλλὰ μὴν ȣ̓δ' αἴσθησιν ἕξει ȣ̓θὲν ἂν μὴ αἰσθάνηται μηδ' ἐνεργῇ. εἰ ȣ̓̃ν τυφλὸν τὸ μὴ ἔχον ὄψιν, πεφυκὸς δὲ καὶ ὅτε πέφυκε καὶ ἔτι ὄν, οἱ αὐτοὶ τυφλοὶ ἔσονται πολλάκις τῆς ἡμέρας καὶ κωφοί. ἔτι εἰ ἀδύνατον τὸ ἐϛερημένον δυνάμεως, τὸ μὴ γενόμενον ἀδύνατον ἔϛαι γενέσθαι· τὸ δ' ἀδύνατον γενέσθαι ὁ λέγων ἢ εἶναι ἢ ἔσεσθαι ψεύσεται· τὸ γὰρ ἀδύνατον τȣ̃το ἐσήμαινεν. ὥϛε οὗτοι οἱ λόγοι ἐξαιρȣ̃σι καὶ κίνησιν καὶ γένεσιν· ἀεὶ γὰρ τό τε ἑϛηκὸς ἑστήξεται καὶ τὸ καθήμενον καθεδεῖται· οὐ γὰρ ἀναϛήσεται ἂν καθέζηται· ἀδύνατον γὰρ

24. μιᾷ γὰρ ἀρχῇ *E* Alex, μία γὰρ ἀρχὴ **iascb**. | 25. 26. ἢ παθεῖν om *A*[b]. | 29. φασιν εἶναι οἷον *TA*[b]**as**. | οἱ om *A*[b]**as**. | 30. οὐ] μὴ *ET***as**. | 31. οὐ] μὴ **as**. | 34. ἐστὶν *E*. | 35. τὸ] τῷ **as**. | 37. μαθόντα Alex, λανθάνοντα *T*. | λαμβάνοντα *T***as**.

1047*a* 1. ἀποβάλλοντά *T***as**. | ἡ γὰρ λήθη *T*. | 2. ἀεὶ] εἰ Alex. | γέ *A*[b]. | 3. ante ὅταν fort. addendum πῶς. | δ'] δ' ὁ *T*. | 4. δὴ] δὲ **as**. | 6. αἰσθανομένων **ias**, αἰσθανόμενον **cb**. | 9. ὄν] ὡς *T***ias**, fort. recte. | 10. καὶ κωφοί om Alex. | 11. γινόμενον *A*[b]. | 14. οὗτοι] οὔτε *A*[b]. | ἐξαίρουσι **as**. | γένεσιν καὶ κίνησιν *T*.

Digitized by Google

ἔσται ἀναστῆναι ὅ γε μὴ δύναται ἀναστῆναι. εἰ οὖν μὴ ἐνδέχεται ταῦτα λέγειν, φανερὸν ὅτι δύναμις καὶ ἐνέργεια ἕτερόν ἐστιν· ἐκεῖνοι δ' οἱ λόγοι δύναμιν καὶ ἐνέργειαν ταὐτὸ ποιοῦσιν, διὸ καὶ οὐ μικρόν τι ζητοῦσιν ἀναιρεῖν. ὥστ' ἐνδέχεται δυνατὸν μέν τι εἶναι μὴ εἶναι δέ, καὶ δυνατὸν μὴ εἶναι εἶναι δέ, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων κατηγοριῶν 179 δυνατὸν βαδίζειν ὂν μὴ βαδίζειν, καὶ μὴ βαδίζον δυνατὸν εἶναι βαδίζειν. ἔστι δὲ δυνατὸν τοῦτο, ᾧ ἐὰν ὑπάρξῃ ἡ ἐνέργεια, οὗ λέγεται ἔχειν τὴν δύναμιν, οὐθὲν ἔσται ἀδύνατον. λέγω δ' οἷον, εἰ δυνατὸν καθῆσθαι καὶ ἐνδέχεται καθῆσθαι, τούτῳ ἐὰν ὑπάρξῃ τὸ καθῆσθαι, οὐθὲν ἔσται ἀδύνατον· καὶ εἰ κινηθῆναί τι ἢ κινῆσαι ἢ στῆναι ἢ στῆσαι ἢ εἶναι ἢ γίγνεσθαι, ἢ μὴ εἶναι ἢ μὴ γίγνεσθαι, ὁμοίως. ἐλήλυθε δ' ἡ ἐνέργεια τοὔνομα, ἡ πρὸς τὴν ἐντελέχειαν συντιθεμένη, καὶ ἐπὶ τὰ ἄλλα ἐκ τῶν κινήσεων μάλιστα· δοκεῖ γὰρ ἡ ἐνέργεια μάλιστα ἡ κίνησις εἶναι. διὸ καὶ τοῖς μὴ οὖσιν οὐκ ἀποδιδόασι τὸ κινεῖσθαι, ἄλλας δέ τινας κατηγορίας, οἷον διανοητὰ καὶ ἐπιθυμητὰ εἶναι τὰ μὴ ὄντα, κινούμενα δ' οὔ. τοῦτο δὲ ὅτι οὐκ ὄντα ἐνεργείᾳ ἔσονται ἐνεργείᾳ. τῶν γὰρ μὴ ὄντων ἔνια δυνάμει ἐστίν· οὐκ ἔστι δέ, 1047b ὅτι οὐκ ἐντελεχείᾳ ἐστίν.

4 Εἰ δ' ἐστὶ τὸ εἰρημένον δυνατὸν ᾗ ἀκολουθεῖ, φανερὸν ὅτι οὐκ ἐνδέχεται ἀληθὲς εἶναι τὸ εἰπεῖν ὅτι δυνατὸν μὲν τοδί, οὐκ ἔσται δέ· ὥστε τὰ ἀδύνατα εἶναι ταύτῃ διαφεύγειν· λέγω δὲ οἷον εἴ τις φαίη δυνατὸν τὴν διάμετρον μετρηθῆναι οὐ μέντοι μετρηθήσεσθαι, [ὁ] μὴ λογιζόμενος τὸ ἀδύνατον εἶναι, ὅτι οὐθὲν κωλύει δυνατόν τι ὂν εἶναι ἢ γενέσθαι, μὴ εἶναι [δὲ] μηδ' ἔσεσθαι. ἀλλ' ἐκεῖνο ἀνάγκη ἐκ

21. καὶ — 22. δέ om *T* Alex. | 22. ἐπὶ add *ET*. | 23. βαδίζειν post μὴ om *T*. | καὶ] δὲ καὶ $A^b$*asc*. | μὴ om *T*. | βαδίζον] βαδίζειν *as*. | 24. post ᾧ et 27. post τούτῳ distinguunt *cb*. | 25. οὗ] ἧς Alex. | 26. λέγω — 27. 28. ἀδύνατον om *T*. | 28. εἰ] εἴη *T*. | τι om *ET*. | 29. γενέσθαι priore loco *Ec*, utroque *Tas*. | 31. συντεθειμένη Alex, fort. recte. | non ante καὶ sed post ἄλλα dist *b*. | 32. γὰρ ἡ] δὲ ἡ Alex. | fort. ἡ ante ἐνέργεια omittendum. | 35. τοῦτο δὲ om $A^b$.

1047 b 1. οὐκ ἔστι δέ om $A^b$. | 2. διότι $A^b$. | ἐντελέχειά *a*. | 3. τὸ εἰρημένον τὸ δυνατὸν $A^b$. | ἢ *T*. | 4. τὸ] τι *ET*. | 5. 6. διαφεύγει $A^b$*asc*. | 7. μετρηθήσεσθαι] μετρηθήσεται $A^b$*ias*. | ὁ om *T* Cas. | 8. δυνατόν] ἀδύνατόν $A^b$. | ὂν om *T*. | 9. δὲ om $A^b$.

Digitized by Google

τῶν κειμένων, εἰ καὶ ὑποθοίμεθα εἶναι ἢ γεγονέναι ὃ οὐκ ἔςι μὲν δυνατὸν δέ, ὅτι ὀθὲν ἔςαι ἀδύνατον· συμβήσεται δέ γε, τὸ γὰρ μετρεῖσθαι ἀδύνατον. ὀ γὰρ δή ἐςι ταὐτὸ τό τε ψεῦδος καὶ τὸ ἀδύνατον· τὸ γάρ σε ἑστάναι νῦν 180 ψεῦδος μέν, οὐκ ἀδύνατον δέ. ἅμα δὲ δῆλον καὶ ὅτι, εἰ τῦ *A* ὄντος ἀνάγκη τὸ *B* εἶναι, καὶ δυνατῦ ὄντος τῦ *A* εἶναι καὶ τὸ *B* ἀνάγκη εἶναι δυνατόν· εἰ γὰρ μὴ ἀνάγκη δυνατὸν εἶναι, οὐθὲν κωλύει μὴ εἶναι δυνατὸν εἶναι. ἔστω δὴ τὸ *A* δυνατόν. οὐκοῦν ὅτε τὸ *A* δυνατὸν εἴη εἶναι, εἰ τεθείη τὸ *A*, ὀθὲν ἀδύνατον εἶναι συνέβαινεν· τὸ δέ γε *B* ἀνάγκη εἶναι. ἀλλ' ἦν ἀδύνατον. ἔστω δὴ ἀδύνατον. εἰ δὴ ἀδύνατον [ἀνάγκη] εἶναι τὸ *B*, ἀνάγκη καὶ τὸ *A* εἶναι. ἀλλ' ἦν ἄρα τὸ *A* δυνατόν· καὶ τὸ *B* ἄρα. ἂν ἄρα ᾖ τὸ *A* δυνατόν, καὶ τὸ *B* ἔςαι δυνατόν, εἴπερ ὀτως εἶχον ὥςε τοῦ *A* ὄντος ἀνάγκη εἶναι τὸ *B*. ἐὰν δὴ ὀτως ἐχόντων τῦ *AB* μὴ ᾖ δυνατὸν τὸ *B* ὀτως, οὐδὲ τὸ *AB* ἕξει ὡς ἐτέθη· καὶ εἰ τῦ *A* δυνατῦ ὄντος ἀνάγκη τὸ *B* δυνατὸν εἶναι, εἰ ἔστι τὸ *A*, ἀνάγκη εἶναι καὶ τὸ *B*. τὸ γὰρ δυνατὸν εἶναι ἐξ ἀνάγκης τὸ *B* εἶναι, εἰ τὸ *A* δυνατόν, τοῦτο σημαίνει, ἐὰν ᾖ τὸ *A* καὶ ὅτε καὶ ὡς ἦν δυνατὸν εἶναι, κἀκεῖνο τότε καὶ ὀτως εἶναι ἀναγκαῖον.

5 Ἁπασῶν δὲ τῶν δυνάμεων ὀσῶν τῶν μὲν συγγενῶν οἷον τῶν αἰσθήσεων, τῶν δὲ ἔθει οἷον τῆς τοῦ αὐλεῖν, τῶν δὲ μαθήσει οἷον τῆς τῶν τεχνῶν, τὰς μὲν ἀνάγκη προενεργήσαντας ἔχειν ὅσαι ἔθει καὶ λόγῳ, τὰς δὲ μὴ τοιαύτας καὶ τὰς ἐπὶ τῦ πάσχειν ὀκ ἀνάγκη. ἐπεὶ δὲ τὸ δυ-
1048*a* νατὸν τὶ δυνατὸν καὶ ποτὲ καὶ πῶς καὶ ὅσα ἄλλα ἀνάγκη προσεῖναι ἐν τῷ διορισμῷ, καὶ τὰ μὲν κατὰ λόγον δύναται κινεῖν καὶ αἱ δυνάμεις αὐτῶν μετὰ λόγυ, τὰ δ' ἄλογα

10. εἰ καὶ] εἶναι εἰ καὶ *E*, εἰ εἴη καὶ *A*b, εἴη, εἰ καὶ *c*, εἴη *T*. | 11. συμβήσεται — 12. ἀδύνατον om *ET*. | 12. δὴ add *ET*. | 13. τε om *ET*. | 14. ὅτι καὶ *T*. | καὶ om *F*b. | εἰ om *T*. | 15. ἀνάγκη καὶ τὸ *F*b. | *A* εἶναι *as*, εἶναι *A cb*, εἶναι τὸ α *T*. | 19. *A* Alex *ias*, *AB cb*. | 20. ἔστω — 22. *B* ἄρα om *A*b et fort. Alex. | 21. *B* — *A* coni., *A* — *B iascb*, cf. Obs. p. 123. | 22. *A* et *B*] πρῶτον et δεύτερον *ET*. | ἄρα post *B* om *ET*. | 23. εἶχεν *T*. | 24. δὲ *T*. | 25. *AB*] *B i*. | μὴ — τὸ *B* om *A*b. | δυνατὸν om Alex. | 26. τὸ] καὶ τὸ *T*. | 27. καὶ om *ET*. | 28. prius εἶναι om Alex. | 29. τὸ α καὶ τὸ α *A*b. | 30. εἶναι] εἶναι ἦν *A*b. | 35. καὶ τὰς ἐ. τ. πάσχειν] εἴτε τοῦ ποιεῖν εἴτε καὶ τοῦ πάσχειν fort. habuit Alex. | ἀδύνατον *A*b.

Digitized by Google

*καὶ αἱ δυνάμεις ἄλογοι, κἀκείνας μὲν ἀνάγκη ἐν ἐμψύχῳ εἶναι ταύτας δ' ἐν ἀμφοῖν· τὰς μὲν τοιαύτας δυνάμεις*
181 *ἀνάγκη, ὅταν ὡς δύνανται τὸ ποιητικὸν καὶ τὸ παθητικὸν πλησιάζωσι, τὸ μὲν ποιεῖν τὸ δὲ πάσχειν, ἐκείνας δ' οὐκ ἀνάγκη· αὗται μὲν γὰρ πᾶσαι μία ἑνὸς ποιητική, ἐκεῖναι δὲ τῶν ἐναντίων, ὥστε ἅμα ποιήσει τἀναντία· τοῦτο δὲ ἀδύνατον. ἀνάγκη ἄρα ἕτερόν τι εἶναι τὸ κύριον· λέγω δὲ τοῦτο ὄρεξιν ἢ προαίρεσιν. ὁποτέρου γὰρ ἂν ὀρέγηται κυρίως, τοῦτο ποιήσει, ὅταν ὡς δύναται ὑπάρχῃ καὶ πλησιάζῃ τῷ παθητικῷ. ὥστε τὸ δυνατὸν κατὰ λόγον ἅπαν ἀνάγκη, ὅταν ὀρέγηται, οὗ τ' ἔχει τὴν δύναμιν καὶ ὡς ἔχει, τοῦτο ποιεῖν. ἔχει δὲ παρόντος τοῦ παθητικοῦ καὶ ὡδὶ ἔχοντος ποιεῖν. εἰ δὲ μή, ποιεῖν οὐ δυνήσεται. τὸ γὰρ μηθενὸς τῶν ἔξω κωλύοντος προσδιορίζεσθαι οὐθὲν ἔτι δεῖ· τὴν γὰρ δύναμιν ἔχει ὡς ἔστι δύναμις τοῦ ποιεῖν, ἔστι δ' οὐ πάντως ἀλλ' ἐχόντων πως, ἐν οἷς ἀφορισθήσεται καὶ τὰ ἔξω κωλύοντα· ἀφαιρεῖται γὰρ ταῦτα τῶν ἐν τῷ διορισμῷ προσόντων ἔνια. διὸ οὐδὲ ἂν ἅμα βούληται ἢ ἐπιθυμῇ ποιεῖν δύο ἢ τἀναντία, οὐ ποιήσει· οὐ γὰρ οὕτως ἔχει αὐτῶν τὴν δύναμιν οὐδ' ἔστι τοῦ ἅμα ποιεῖν ἡ δύναμις, ἐπεὶ ὧν ἐστὶν οὕτως ποιήσει.*

6 *Ἐπεὶ δὲ περὶ τῆς κατὰ κίνησιν λεγομένης δυνάμεως εἴρηται, περὶ ἐνεργείας διορίσωμεν τί τέ ἐστιν ἡ ἐνέργεια καὶ ποῖόν τι. καὶ γὰρ τὸ δυνατὸν ἅμα δῆλον ἔσται διαιροῦσιν, ὅτι οὐ μόνον τοῦτο λέγομεν δυνατὸν ὃ πέφυκε κινεῖν ἄλλο ἢ κινεῖσθαι ὑπ' ἄλλου, ἢ ἁπλῶς ἢ τρόπον τινά, ἀλλὰ καὶ ἑτέρως. διὸ ζητοῦντες καὶ περὶ τούτων διήλθομεν. ἔστι δ' ἡ ἐνέργεια τὸ ὑπάρχειν τὸ πρᾶγμα, μὴ οὕτως ὥσπερ λέγομεν δυνάμει (λέγομεν δὲ δυνάμει οἷον ἐν τῷ ξύλῳ*
182 *Ἑρμῆν καὶ ἐν τῇ ὅλῃ τὴν ἡμίσειαν, ὅτι ἀφαιρεθείη ἄν,*

1048*a* 5. *μὲν*] *μὲν οὖν* **T**, fort. recte. | 6. *δύνωνται* **ETc**, 6. et 12. ***quoad possint i***. | *τὸ παθητικὸν καὶ τὸ ποιητικὸν* **ETas**. | 8. *μὲν* om ***as***. | 11. *δὲ τοῦτο*] *δ' εἴτε* **$A^b$i**. | 12. *ὑπάρχῃ καὶ* om ***i***. | 12. 13. *πλησιάζει* ***a***. | 14. *οὗ τ'*] *ὅτ'* **$A^b$**, *οὗ* **ET**. | 18. *δύναμις τοῦ* Brand. coniecit ex Alex, cf. ***a*** 23, *δυνάμει τοῦ* ***cb***, *τοῦ δυνάμει* ***ias***. | 21. *ἢ*] *καὶ* **T**. | *ἐπιθυμεῖν* **$A^b$**. | 22. *τὴν*] *ἅμα τὴν* ***as***. | 23. *ἔστιν ἅμα τοῦ ἅμα* **$A^b$**. | 25. *κίνησιν*] *δύναμιν* **T**. | 28. *δυνατὸν* om **$A^b$**. | 30. *διήλθομεν*] ***tractabimus i***. | 32. parenthesi inclusi verba *λέγομεν* — 35. *θεωρῆσαι* praecipiente Alex, sed ne sic quidem enunciati conformatio satis constat; fort. 35. punctum post *ἐνεργείᾳ* et *δ'* post *δῆλον* omittendum. | 33. *ὅλῃ*] *διαμέτρῳ* Alex. | *ὅτε* ***as***.

Digitized by Google

*καὶ ἐπιστήμονα καὶ τὸν μὴ θεωρȣ̃ντα, ἂν δυνατὸς ᾖ θεωρῆσαι), τὸ δ' ἐνεργείᾳ. δῆλον δ' ἐπὶ τῶν καθ' ἕκαστα τῇ ἐπαγωγῇ ὃ βȣλόμεθα λέγειν, καὶ ȣ̓ δεῖ παντὸς ὅρον ζητεῖν ἀλλὰ καὶ τὸ ἀνάλογον συνορᾶν, ὅτι ὡς τὸ οἰκοδο-*
1048b *μοῦν πρὸς τὸ οἰκοδομικόν, καὶ τὸ ἐγρηγορὸς πρὸς τὸ καθεῦδον, καὶ τὸ ὁρῶν πρὸς τὸ μύον μὲν ὄψιν δὲ ἔχον, καὶ τὸ ἀποκεκριμένον ἐκ τῆς ὕλης πρὸς τὴν ὕλην, καὶ τὸ ἀπειργασμένον πρὸς τὸ ἀνέργαςον. ταύτης δὲ τῆς διαφορᾶς θατέρῳ μορίῳ ἔστω ἡ ἐνέργεια ἀφωρισμένη, θατέρῳ δὲ τὸ δυνατόν. λέγεται δὲ ἐνεργείᾳ ȣ̓ πάντα ὁμοίως, ἀλλ' ἢ τῷ ἀνάλογον, ὡς τοῦτο ἐν τούτῳ ἢ πρὸς τȣ̃το, τόδ' ἐν τῷδε ἢ πρὸς τόδε· τὰ μὲν γὰρ ὡς κίνησις πρὸς δύναμιν, τὰ δ' ὡς ȣ̓σία πρός τινα ὕλην. ἄλλως δὲ τὸ ἄπειρον καὶ τὸ κενὸν καὶ ὅσα τοιαῦτα λέγεται δυνάμει καὶ ἐνεργείᾳ πολλοῖς τῶν ὄντων, οἷον τῷ ὁρῶντι καὶ βαδίζοντι καὶ ὁρωμένῳ. ταῦτα μὲν γὰρ ἐνδέχεται καὶ ἁπλῶς ἀληθεύεσθαί ποτε· τὸ μὲν γὰρ ὁρώμενον ὅτι ὁρᾶται, τὸ δ' ὅτι ὁρᾶσθαι δυνατόν· τὸ δ' ἄπειρον ȣ̓χ ȣ̃τω δυνάμει ἐςὶν ὡς ἐνεργείᾳ ἐσόμενον χωριστόν, ἀλλὰ γνώσει. τὸ γὰρ μὴ ὑπολείπειν τὴν διαίρεσιν ἀποδίδωσι τὸ εἶναι δυνάμει ταύτην τὴν ἐνέργειαν, τῷ δὲ χωρίζεσθαι οὔ.*

*Ἐπεὶ δὲ τῶν πράξεων ὧν ἔστι πέρας οὐδεμία τέλος ἀλλὰ τῶν περὶ τὸ τέλος, οἷον τοῦ ἰσχναίνειν ἡ ἰσχνασία αὐτό, αὐτὰ δὲ ὅταν ἰσχναίνῃ οὕτως ἐστὶν ἐν κινήσει, μὴ ὑπάρχοντα ὧν ἕνεκα ἡ κίνησις, οὐκ ἔστι ταῦτα πρᾶξις ἢ* 183
*οὐ τελεία γε· οὐ γὰρ τέλος, ἀλλ' ἐκείνῃ ἐνυπάρχει τὸ τέλος καὶ ἡ πρᾶξις. οἷον ὁρᾷ, ἀλλὰ καὶ φρονεῖ καὶ νοεῖ καὶ νενόηκεν· ἀλλ' ȣ̓ μανθάνει καὶ μεμάθηκεν, ȣ̓δ' ὑγιά-*

34. καὶ τὸν] τὸν θεωροῦντα καὶ τὸν *E*. | ἂν ἀδύνατος *as*. | ᾖ om *ET*. | 35. τὸ δ'] τόδε *as*. | 37. καὶ om *as*. | ἀναλογοῦν *T*. | ὅτι om $A^b$.

1048b 4. ταύτης — 4. 5. διαφορᾶς] ἔστι τέ τι καὶ ταύτης τῆς διαφορᾶς *ET* Alex. | 5. θατέρῳ μορίῳ scripsi cum *ETi*: ceteri et *cb* et fort. Alex θάτερον μόριον. | ἔσται $A^b$. | θάτερον fort. Alex. | 6. ἐνέργεια $A^b$. | 7. τῷ Alex, τὸ *ascb*. | τόδ' Alex *i*, τὸ δ' *ascb*. | 7. 8. ἐν τῷδε ἢ πρὸς τόδε bis vertit *i*. | 9. ὡς om *T*. | post δὲ add καὶ *ETcb*. | 10. τὸ add $A^bF^b$. | δυν.] καὶ δ. *s*. | 12. ταῦτα] εἰ ταῦτα $A^b$. | 12. 13. ἀληθεύεσθαί] καὶ ἀληθεύεσθαί *Tas*. | 13. γὰρ om *T*. | 15. τὸ $TA^b$ Alex *as*, τῷ *cb*. | 16. ὑπολιπεῖν $A^b$. | 18. ἐπεὶ — 35. κίνησιν om *ET* Alex *i*; ceterum gravissimis scatent corruptelis. | 22. 23. fort. ἀλλ' ἐκείνη, ᾗ ἐνυπάρχει τὸ τέλος, καὶ πρᾶξις. | 23. 24. fort. οἷον ὁρᾷ ἅμα καὶ ἑώρακε καὶ φρονεῖ καὶ πεφρόνηκε καὶ νοεῖ καὶ νενόηκεν.

Digitized by Google

ζεται καὶ ὑγίασται. εὖ ζῇ καὶ εὖ ἔζηκεν· ἀλλὰ καὶ εὐδαιμονεῖ καὶ εὐδαιμόνηκεν. εἰ δὲ μή, ἔδει ἄν ποτε παύεσθαι, ὥσπερ ὅταν ἰσχναίνῃ. νῦν δ' οὔ, ἀλλὰ ζῇ καὶ ἔζηκεν. τούτων δὴ τὰς μὲν κινήσεις λέγειν, τὰς δ' ἐνεργείας. πᾶσα γὰρ κίνησις ἀτελής, ἰσχνασία, μάθησις, βάδισις, οἰκοδόμησις· αὗται δὲ κινήσεις, καὶ ἀτελεῖς γε. οὐ γὰρ ἅμα βαδίζει καὶ βεβάδικεν, οὐδ' οἰκοδομεῖ καὶ ᾠκοδόμηκεν, οὐδὲ γίγνεται καὶ γέγονεν, ἢ κινεῖται καὶ κεκίνηκεν· ἀλλ' ἕτερον καὶ κινεῖ καὶ κεκίνηκεν. ἑώρακε δὲ καὶ ὁρᾷ ἅμα τὸ αὐτό, καὶ νοεῖ καὶ νενόηκεν. τὴν μὲν οὖν τοιαύτην ἐνέργειαν λέγω, ἐκείνην δὲ κίνησιν. τὸ μὲν οὖν ἐνεργείᾳ τί τέ ἐστι καὶ ποῖον, ἐκ τούτων καὶ τῶν τοιούτων δῆλον ἡμῖν ἔστω.

7 Πότε δὲ δυνάμει ἐστὶν ἕκαστον καὶ πότε οὔ, διοριστέον· οὐ γὰρ ὁποτεοῦν. οἷον ἡ γῆ ἄρ' ἐστὶν ἄνθρωπος δυνάμει; ἢ οὔ, 1049a
ἀλλὰ μᾶλλον ὅταν ἤδη γένηται σπέρμα, καὶ οὐδὲ τότε ἴσως, ὥσπερ [οὖν] οὐδὲ ὑπὸ ἰατρικῆς ἅπαν ἂν ὑγιασθείη οὐδ' ἀπὸ τύχης, ἀλλ' ἔστι τι ὃ δυνατόν ἐστι, καὶ τοῦτ' ἐστὶν ὑγιαῖνον δυνάμει. ὅρος δὲ τοῦ μὲν ἀπὸ διανοίας ἐντελεχείᾳ γιγνομένου ἐκ τοῦ δυνάμει ὄντος, ὅταν βουληθέντος γίγνηται μηθενὸς κωλύοντος τῶν ἐκτός, ἐκεῖ δ' ἐν τῷ ὑγιαζομένῳ, ὅταν μηθὲν κωλύῃ τῶν ἐν αὐτῷ. ὁμοίως δὲ δυνάμει καὶ οἰκία, εἰ μηθὲν κωλύει τῶν ἐν τούτῳ καὶ τῇ ὕλῃ τοῦ γίγνεσθαι οἰκίαν, οὐδ' ἔστιν ὃ δεῖ προσγενέσθαι ἢ
184 ἀπογενέσθαι ἢ μεταβαλεῖν, τοῦτο δυνάμει οἰκία. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως, ὅσων ἔξωθεν ἡ ἀρχὴ τῆς γενέσεως, καὶ ὅσων δὴ ἐν αὐτῷ τῷ ἔχοντι, ὅσα μηθενὸς τῶν ἔξωθεν ἐμποδίζοντος ἔσται δι' αὐτοῦ. οἷον τὸ σπέρμα οὔπω· δεῖ γὰρ ἐν ἄλλῳ καὶ μεταβάλλειν. ὅταν δ' ἤδη διὰ τῆς αὐτοῦ ἀρχῆς ᾖ τοιοῦτον, ἤδη τοῦτο δυνάμει· ἐκεῖνο δὲ ἑτέρας ἀρ-

25. ἔζηκεν· ἀλλὰ καὶ] fort. ἔζηκεν ἅμα, καί. | 28. τούτων — 35. κίνησιν] haec expungit $A^b$. | 28. δή] fort. δὴ δεῖ. | 30. δέ] fort. δή. | 31. ᾠκοδόμησεν $A^b$. | 32. κινεῖται καὶ] fort. κινεῖ τε καί. | κεκίνηκεν] κεκίνηται $A^b$. | 33. κεκίνηκεν $A^b$, κινεῖται *ascb*. | 35. ἐνέργεια *T*, ἐνεργεῖν $A^b$. | 36. ἔσται *ET*. | 37. δὲ om *T*.

1049*a* 1. δυνάμει ἄνθρωπος *ETas*. | interrogandi signum post δυνάμει posui c. Alex, post οὔ *scb*. | 2. τότε] τότε πως *T*, τοῦτό πως *E*, τοῦτο γρ *E*, τοῦ τόπου *as*, *hoc adhuc i*. | 3. οὖν om *i*, fort. γὰρ pro οὖν habuit Alex. | ἂν] δὴ $A^b$. | 5. δὲ] μὲν Alex. | ἀπὸ] ὑπὸ *as*. | 8. τῶν] τῷ *E*. | 9. εἰ — 10. οἰκίαν om $A^b$. | 9. τῶν om *T*. | 13. ὅσα] ὅταν fort. Alex. | 15. post ἄλλῳ add *esse i*. | μεταβαλεῖν *E*. | δ' om *T*. | αὐτῆς *as*. | 16. ἐκεῖνα *E*.

Digitized by Google

χῆς δεῖται, ὥσπερ ἡ γῆ οὔπω ἀνδριὰς δυνάμει· μεταβάλλουσα γὰρ ἔσται χαλκός. ἔοικε δὲ ὃ λέγομεν εἶναι οὐ τόδε ἀλλ' ἐκείνινον, οἷον τὸ κιβώτιον οὐ ξύλον ἀλλὰ ξύλινον, οὐδὲ τὸ ξύλον γῆ ἀλλὰ γήϊνον, πάλιν ἡ γῆ εἰ οὕτως μὴ ἄλλο ἀλλ' ἐκείνινον, ἀεὶ ἐκεῖνο δυνάμει ἁπλῶς τὸ ὕστερόν ἐστιν. οἷον τὸ κιβώτιον οὐ γήϊνον οὐδὲ γῆ, ἀλλὰ ξύλινον· τοῦτο γὰρ δυνάμει κιβώτιον καὶ ὕλη κιβωτίου αὕτη, ἁπλῶς μὲν τοῦ ἁπλῶς, τουδὶ δὲ τοδὶ τὸ ξύλον. εἰ δέ τί ἐστι πρῶτον, ὃ μηκέτι κατ' ἄλλο λέγεται ἐκείνινον, τοῦτο πρώτη ὕλη· οἷον εἰ ἡ γῆ ἀερίνη, ὁ δ' ἀὴρ μὴ πῦρ ἀλλὰ πύρινος, τὸ πῦρ ὕλη πρώτη ὡς τόδε τι καὶ οὐσία. τούτῳ γὰρ διαφέρει τὸ καθόλου καὶ τὸ ὑποκείμενον τῷ εἶναι τόδε τι ἢ μὴ εἶναι· οἷον τοῖς πάθεσι τὸ ὑποκείμενον ἄνθρωπος καὶ σῶμα καὶ ψυχή, πάθος δὲ τὸ μουσικὸν καὶ λευκόν, λέγεται δὲ τῆς μουσικῆς ἐγγενομένης ἐκεῖνο οὐ μουσικὴ ἀλλὰ μουσικόν, καὶ οὐ λευκότης ὁ ἄνθρωπος ἀλλὰ λευκόν, οὐδὲ βάδισις ἢ κίνησις ἀλλὰ βαδίζον ἢ κινούμενον, ὡς τὸ ἐκείνινον. ὅσα μὲν οὖν οὕτω, τὸ ἔσχατον οὐσία· ὅσα δὲ μὴ οὕτως ἀλλ' εἶδός τι καὶ τόδε τι τὸ κατηγορούμενον, τὸ ἔσχατον ὕλη καὶ οὐσία ὑλική. καὶ ὀρθῶς δὴ συμβαίνει τὸ
1049b ἐκείνινον λέγεσθαι κατὰ τὴν ὕλην καὶ τὰ πάθη· ἄμφω 185
γὰρ ἀόριστα. πότε μὲν οὖν λεκτέον δυνάμει καὶ πότε οὔ, εἴρηται.

8 Ἐπεὶ δὲ τὸ πρότερον διώρισται ποσαχῶς λέγεται, φανερὸν ὅτι πρότερον ἐνέργεια δυνάμεώς ἐστιν. λέγω δὲ δυνάμεως οὐ μόνον τῆς ὡρισμένης ἣ λέγεται ἀρχὴ μεταβλητικὴ ἐν ἄλλῳ ᾗ ἄλλο, ἀλλ' ὅλως πάσης ἀρχῆς κινη-

18. εἶναι om $F^b$. | 20. ξύλον ἡ γῆ *T*. | post γήϊνον puncto distinxit *b*, comma posui ut ad ἔοικε δὲ per anacoluthiam referantur verba ἀεὶ — ὕστερόν ἐστιν. | 21. ἀλλ' ἐκείνινον ἀεὶ om $A^b$. | ἀεὶ ἐκεῖνο δὲ δυνάμει *E*, om γρ *E*, δυνάμει om $A^b$. | 21. 22. τὸ ὕστερόν] ὃ τὸ προσεχὲς καὶ τελευταῖον γρ *E*. | 24. ἁπλοῦ *T*. | τοδὶ] τουδὶ *T*. | τὸ add $EA^b$. | εἰ] τὸ εἰ *a*. | 24. 25. ἐστι τὸ πρῶτον *Ts*. | 25. ἄλλο $A^b$ Alex *ias* et margo *E*, qui γρ κατ' ἄλλο ἀλλ' ἐκεῖνο δηλονότι. ἄλλου *cb*. | ἐκεῖνο ὂν τοῦτο $A^b$. | 27. τὸ πῦρ om *i*. | ὡς;] οὐ *T*, εἰ δὲ $A^b$. | καὶ οὐσία] οὐσία $A^b$, οὖσα *ET* Alex, fort. recte. | 28. τῷ] τὸ *T*. | εἶναι] καὶ *T*, om *E*, εἶναι καὶ *as*. | 31. ἐγγινομένης *E*. | ἐκείνω $A^b$. | 33. ἢ κίνησις] ἡ κίνησις *T*, οὐδὲ κίνησις $A^b$. | τὸ] τε $A^b$. | 35. εἶδός τι] τι om $F^b$.

1049b 1. λέγεσθαι] οὐ λέγεσθαι *as*. | 4. πρῶτον *T*. | ὁσαχῶς *ETas*. | 5. ὅτι τὸ πρότερον *T*. | 6. ἀρχὴ om *T*.

Digitized by Google

*τικῆς ἢ στατικῆς. καὶ γὰρ ἡ φύσις ἐν ταὐτῷ [γίγνεται· ἐν ταὐτῷ γὰρ] γένει τῇ δυνάμει· ἀρχὴ γὰρ κινητική, ἀλλ' ὐκ ἐν ἄλλῳ ἀλλ' ἐν αὐτῷ ᾗ αὐτό. πάσης δὴ τῆς τοιαύτης προτέρα ἐςὶν ἡ ἐνέργεια καὶ λόγῳ καὶ τῇ ὐσίᾳ· χρόνῳ δ' ἔςι μὲν ὥς, ἔςι δ' ὡς ὔ. τῷ λόγῳ μὲν ὖν ὅτι προτέρα, δῆλον· τῷ γὰρ ἐνδέχεσθαι ἐνεργῆσαι δυνατόν ἐςι τὸ πρώτως δυνατόν, οἷον λέγω οἰκοδομικὸν τὸ δυνάμενον οἰκοδομεῖν, καὶ ὁρατικὸν τὸ ὁρᾶν, καὶ ὁρατὸν τὸ δυνατὸν ὁρᾶσθαι. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων, ὥς' ἀνάγκη τὸν λόγον προϋπάρχειν καὶ τὴν γνῶσιν τῆς γνώσεως. τῷ δὲ χρόνῳ πρότερον ὧδε· τὸ τῷ εἴδει τὸ αὐτὸ ἐνεργῦν πρότερον, ἀριθμῷ δ' ὔ. λέγω δὲ τῦτο ὅτι τῦδε μὲν τῦ ἀνθρώπυ τῦ ἤδη ὄντος κατ' ἐνέργειαν καὶ τῦ σίτυ καὶ τῦ ὁρῶντος πρότερον τῷ χρόνῳ ἡ ὕλη καὶ τὸ σπέρμα καὶ τὸ ὁρατικόν, ἃ δυνάμει μέν ἐστιν ἄνθρωπος καὶ σῖτος καὶ ὁρῶν, ἐνεργείᾳ δ' ὔπω. ἀλλὰ τύτων πρότερα τῷ χρόνῳ ἕτερα ὄντα ἐνεργείᾳ, ἐξ ὧν ταῦτα ἐγένετο· ἀεὶ γὰρ ἐκ τῦ δυνάμει ὄντος γίγνεται τὸ ἐνεργείᾳ ὂν ὑπὸ ἐνεργείᾳ ὄντος, οἷον ἄνθρωπος ἐξ ἀνθρώπυ, μυσικὸς ὑπὸ μυσικῦ, ἀεὶ κινῦντός τινος πρώτυ· τὸ δὲ κινῦν ἐνεργείᾳ ἤδη ἐςίν. εἴρηται δ' ἐν τοῖς περὶ τῆς* 186 *ὐσίας λόγοις ὅτι ἅπαν τὸ γιγνόμενον γίγνεται ἔκ τινός τι καὶ ὑπό τινος, καὶ τῦτο τῷ εἴδει τὸ αὐτό. διὸ καὶ δοκεῖ ἀδύνατον εἶναι οἰκοδόμον εἶναι μὴ οἰκοδομήσαντα μηθὲν ἢ κιθαριςὴν μηθὲν κιθαρίσαντα· ὁ γὰρ μανθάνων κιθαρίζειν κιθαρίζων μανθάνει κιθαρίζειν, ὁμοίως δὲ καὶ οἱ ἄλλοι. ὅθεν ὁ σοφιστικὸς ἔλεγχος ἐγίγνετο ὅτι οὐκ ἔχων τις τὴν ἐπιςήμην ποιήσει ὗ ἡ ἐπιςήμη· ὁ γὰρ μανθάνων ὐκ ἔχει. ἀλλὰ διὰ τὸ τοῦ γιγνομένου γεγενῆσθαί τι καὶ τῦ ὅλως κινουμένου κεκινῆσθαί τι (δῆλον δ' ἐν τοῖς περὶ κινήσεως τῦτο) καὶ τὸν μανθάνοντα ἀνάγκη ἔχειν τι τῆς ἐπιςήμης* 1050*a* *ἴσως. ἀλλ' οὖν καὶ ταύτῃ γε δῆλον ὅτι ἡ ἐνέργεια καὶ οὕτω προτέρα τῆς δυνάμεως κατὰ γένεσιν καὶ χρόνον. ἀλλὰ μὴν καὶ οὐσίᾳ γε, πρῶτον μὲν ὅτι τὰ τῇ γενέσει*

8. 9. *γίγνεται δυνάμει' ἐν* **E**. *γίγνεται — ταὐτῷ γὰρ* om ***A**^b^* Alex. | 10. *δὲ* ***Ts***. | 13. *τῷ*] *τὸ* ***E***. | *τῷ γὰρ*] *τὸ γὰρ τῷ* ***s***. | 15. *ὁρᾶν*] *δυνάμενον ὁρᾶν* ***as***. | 18. *ὧδε* add ***A**^b^**F**^b^**Miasc***, om ***b***. | 20. post *σίτου* add *καὶ τοῦ ἵππου* ***as***. | 21. *ἃ* om ***A**^b^*. | 22. *ἔσται* ***A**^b^*. | 23. *τῷ χρόνῳ πρότερα* ***ETas***. | 25. *τὸ* om ***A**^b^*. | *ὑπὸ ἐνεργείας ὄντος* ***Eas***, om ***A**^b^*. | 27. *ἐνέργεια* ***T***. | 28. *πᾶν* ***A**^b^*. | *τι*] *τε* ***s***. | 35. *καὶ — 36. τι* om ***T***.

1050*a* 4. *οὐσία* ***as***. | *μὲν οὖν ὅτι* ***as***. | *τὰ τῇ*] *ταύτῃ* ***T***.

Digitized by Google

*ὕστερα τῷ εἴδει καὶ τῇ οὐσίᾳ πρότερα, οἷον ἀνὴρ παιδὸς καὶ ἄνθρωπος σπέρματος· τὸ μὲν γὰρ ἤδη ἔχει τὸ εἶδος, τὸ δ' οὔ· καὶ ὅτι ἅπαν ἐπ' ἀρχὴν βαδίζει τὸ γιγνόμενον καὶ τέλος· ἀρχὴ γὰρ τὸ οὗ ἕνεκα, τοῦ τέλους δ' ἕνεκα ἡ γένεσις. τέλος δ' ἡ ἐνέργεια, καὶ τούτου χάριν ἡ δύναμις λαμβάνεται· οὐ γὰρ ἵνα ὄψιν ἔχωσιν ὁρῶσι τὰ ζῷα, ἀλλ' ὅπως ὁρῶσιν ὄψιν ἔχουσιν. ὁμοίως δὲ καὶ οἰκοδομικὴν ἵνα οἰκοδομῶσι, καὶ τὴν θεωρητικὴν ἵνα θεωρῶσιν· ἀλλ' οὐ θεωροῦσιν ἵνα θεωρητικὴν ἔχωσιν, εἰ μὴ οἱ μελετῶντες· οὗτοι δ' οὐχὶ θεωροῦσιν ἀλλ' ἢ ὡδὶ ἢ ὅτι οὐθὲν δέονται θεωρεῖν. ἔτι ἡ ὕλη ἐστὶ δυνάμει, ὅτι ἔλθοι ἂν εἰς τὸ εἶδος· ὅταν δέ γ' ἐνεργείᾳ ᾖ, τότε ἐν τῷ εἴδει ἐστίν. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων καὶ ὧν κίνησις τὸ τέλος. διὸ ὥσπερ οἱ διδάσκοντες ἐνεργοῦντα ἐπιδείξαντες οἴονται τὸ τέλος ἀποδεδωκέναι, καὶ ἡ φύσις ὁμοίως. εἰ γὰρ μὴ οὕτω γίγνεται, ὁ* 187 *Παύσωνος ἔσται Ἑρμῆς· ἄδηλος γὰρ καὶ ἡ ἐπιστήμη εἰ ἔσω ἢ ἔξω, ὥσπερ κἀκεῖνος· τὸ γὰρ ἔργον τέλος, ἡ δὲ ἐνέργεια τὸ ἔργον. διὸ καὶ τοὔνομα ἐνέργεια λέγεται κατὰ τὸ ἔργον, καὶ συντείνει πρὸς τὴν ἐντελέχειαν. ἐπεὶ δ' ἐστὶ τῶν μὲν ἔσχατον ἡ χρῆσις, οἷον ὄψεως ἡ ὅρασις, καὶ οὐθὲν γίγνεται παρὰ ταύτην ἕτερον ἀπὸ τῆς ὄψεως ἔργον, ἀπ' ἐνίων δὲ γίγνεταί τι, οἷον ἀπὸ τῆς οἰκοδομικῆς οἰκία παρὰ τὴν οἰκοδόμησιν, ὅμως οὐθὲν ἧττον ἔνθα μὲν τέλος ἔνθα δὲ μᾶλλον τέλος τῆς δυνάμεώς ἐστιν. ἡ γὰρ οἰκοδόμησις ἐν τῷ οἰκοδομουμένῳ, καὶ ἅμα γίγνεται καὶ ἔστι τῇ οἰκίᾳ. ὅσων μὲν οὖν ἕτερόν τί ἐστι παρὰ τὴν χρῆσιν τὸ γιγνόμενον, τούτων μὲν ἡ ἐνέργεια ἐν τῷ ποιουμένῳ ἐστίν, οἷον ἥ τε οἰκοδόμησις ἐν τῷ οἰκοδομουμένῳ καὶ ἡ ὕφανσις ἐν τῷ ὑφαινομένῳ, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων, καὶ ὅλως ἡ κίνησις ἐν τῷ κινουμένῳ· ὅσων δὲ μὴ ἔστιν ἄλλο τι ἔργον παρὰ τὴν ἐνέργειαν, ἐν αὐτοῖς ὑπάρχει ἡ ἐνέργεια, οἷον ἡ ὅρασις ἐν τῷ ὁρῶντι καὶ ἡ θεωρία ἐν τῷ θεωροῦντι καὶ ἡ*

8. τὸ οὗ] ὅτου $A^b$. | 10. τὰ ζῷα ὁρῶσιν *T*. | 13. θεωρητικὴν om $A^b$. | 14. οὐχ ἢ θεωροῦσιν ἀλλ' ἢ *ET*. | ἢ post ὡδὶ om $A^b$. | ἢ ὅτι οὐδὲ δέονται τοῦ θεωρεῖν fort. habuit Alex, locus admodum dubius. | 16. γ' om *ET*. | τότε] τόδε c. | 17. διὸ — 18. τέλος om *E*. | 19. γένηται Alex. | 20. πάσσωνος $TA^b ias$, πάσωνος Alex *E* mg. | ἑρμῆς ἔσται *Eas*, ἑρμήσεται *T*. | καὶ om $A^b ias$. | 22. λέγεται ἐνέργεια $A^b as$. | 24. ἐσχάτων $A^b$. | ἡ post ὄψεως om *ET*. | ὅρασιν *T*. | 25. ἔργον om $A^b$. | ἐπ' *Eas*. | 35. ἡ δ' ἐνέργεια $A^b$.

Digitized by Google

ζωὴ ἐν τῇ ψυχῇ, διὸ καὶ ἡ εὐδαιμονία· ζωὴ γάρ ποιά τις ἐστίν. ὥστε φανερὸν ὅτι ἡ οὐσία καὶ τὸ εἶδος ἐνέργειά ἐστιν. κατά τε δὴ τοῦτον τὸν λόγον φανερὸν ὅτι πρότερον τῇ οὐσίᾳ ἐνέργεια δυνάμεως· καὶ ὥσπερ εἴπομεν, τοῦ χρόνου ἀεὶ προλαμβάνει ἐνέργεια ἑτέρα πρὸ ἑτέρας ἕως τῆς τοῦ ἀεὶ κινοῦντος πρώτως. ἀλλὰ μὴν καὶ κυριωτέρως· τὰ μὲν γὰρ ἀΐδια πρότερα τῇ οὐσίᾳ τῶν φθαρτῶν, ἔστι δ' οὐθὲν δυνάμει ἀΐδιον. λόγος δὲ ὅδε. πᾶσα δύναμις ἅμα τῆς ἀντιφάσεώς ἐστιν· τὸ μὲν γὰρ μὴ δυνατὸν ὑπάρχειν οὐκ 188 ἂν ὑπάρξειεν οὐθενί, τὸ δυνατὸν δὲ πᾶν ἐνδέχεται μὴ ἐνεργεῖν. τὸ ἄρα δυνατὸν εἶναι ἐνδέχεται καὶ εἶναι καὶ μὴ εἶναι· τὸ αὐτὸ ἄρα δυνατὸν καὶ εἶναι καὶ μὴ εἶναι. τὸ δὲ δυνατὸν μὴ εἶναι ἐνδέχεται μὴ εἶναι· τὸ δ' ἐνδεχόμενον μὴ εἶναι φθαρτόν, ἢ ἁπλῶς, ἢ τοῦτο αὐτὸ ὃ λέγεται ἐνδέχεσθαι μὴ εἶναι, ἢ κατὰ τόπον ἢ κατὰ ποσὸν ἢ ποιόν· ἁπλῶς δὲ τὸ κατ' οὐσίαν. οὐθὲν ἄρα τῶν ἀφθάρτων ἁπλῶς δυνάμει ἐστὶν ὂν ἁπλῶς· κατὰ τὶ δ' οὐθὲν κωλύει, οἷον ποιὸν ἢ πού· ἐνεργείᾳ ἄρα πάντα. οὐδὲ τῶν ἐξ ἀνάγκης ὄντων, καίτοι ταῦτα πρῶτα· εἰ γὰρ ταῦτα μὴ ἦν, οὐθὲν ἂν ἦν. οὐδὲ δὴ κίνησις, εἴ τίς ἐστιν ἀΐδιος, οὐδ' εἴ τι κινούμενον ἀΐδιον, οὐκ ἔστι κατὰ δύναμιν κινούμενον ἀλλ' ἢ πόθεν ποῖ· τούτου δ' ὕλην οὐθὲν κωλύει ὑπάρχειν. διὸ ἀεὶ ἐνεργεῖ ἥλιος καὶ ἄστρα καὶ ὅλος ὁ οὐρανός, καὶ οὐ φοβερὸν μή ποτε στῇ, ὃ φοβοῦνται οἱ περὶ φύσεως. οὐδὲ κάμνει τοῦτο δρῶντα· οὐ γὰρ περὶ τὴν δύναμιν τῆς ἀντιφάσεως αὐτοῖς, οἷον τοῖς φθαρτοῖς, ἡ κίνησις, ὥστε ἐπίπονον εἶναι τὴν συνέχειαν τῆς κινήσεως· ἡ γὰρ οὐσία ὕλη καὶ δύναμις οὖσα, οὐκ ἐνέργεια, αἰτία τούτου. μιμεῖται δὲ τὰ ἄφθαρτα καὶ τὰ ἐν μεταβολῇ ὄντα, οἷον γῆ καὶ πῦρ. καὶ γὰρ ταῦτα ἀεὶ ἐνεργεῖ·

1050*b* 1. post ψυχῇ puncto dist *iascb*. | γὰρ καὶ ποιά *as*. | 2. 3. ἐνέργειά τίς ἐστι *Tas*. | 4. ἡ ἐνέργεια $F^bM$. | τῷ χρόνῳ *M*. | 5. τοῦ] τῷ χρόνῳ *T*. | 10. ὑπάρξῃ ἐν $A^b$. | 11. τὸ ἄρα] ἐν παρὰ *T*. | καὶ ante εἶναι om $A^b$. | 12. τὸ αὐτὸ] τοῦτο *T*. | τὸ αὐτὸ — μὴ εἶναι om *i*. | 15. κατὰ τὸ ποσὸν $A^b$*as*. | ἢ κατὰ τὸ ποιόν *Tas*. | 16. φθαρτῶν *ET*. | 17. ὂν om $A^b$. | κατὰ om *ET*. | 18. πάντα] ταῦτα $A^b$. | 19. ταῦτα μὴ] αὐτὰ μὴ $A^b$ Alex *i*. | 20. εἴ τίς] ἥτις *a*. | post ἀΐδιος puncto dist *ab*. | 21. ἢ $A^b$. | πόθεν πῇ *a*, πόθεν ἢ πῇ *s*. | τοῦτο $A^b$. | 22. ὁ ἥλιος *as*. | 23. ὅλως *T*. | 25. περὶ] ὑπὲρ *E*, κατὰ *T*, εἶναι γρ *E*, εἶναι περὶ *as*. | 27. δυνάμει *E*. | οὖσα om *ET*. | οὐδ' Alex. | ἐνεργεία *ET*, ἐνεργείᾳ *ias*. | 28. αἰτιατοῦ μιμεῖται *T*. | φθαρτὰ $A^b$ Alex.

Digitized by Google

*καϑ' αὑτὰ γὰρ καὶ ἐν αὐτοῖς ἔχει τὴν κίνησιν. αἱ δ' ἄλλαι δυνάμεις, ἐξ ὧν διώρισαι, πᾶσαι τῆς ἀντιφάσεώς εἰσιν· τὸ γὰρ δυνάμενον ὡδὶ κινεῖν δύναται καὶ μὴ ὡδί, ὅσα γε κατὰ λόγον. αἱ δ' ἄλογοι τῷ παρεῖναι καὶ μὴ τῆς ἀντιφάσεως ἔσονται αἱ αὐταί. εἰ ἄρα τινές εἰσι φύσεις τοιαῦται ἢ ὀσίαι οἵας λέγουσιν οἱ ἐν τοῖς λόγοις τὰς ἰδέας, πολὺ μᾶλλον ἐπιςῆμον ἄν τι εἴη ἢ αὐτοεπιςήμη* 189
1051*a* *καὶ κινούμενον ἢ κίνησις· ταῦτα γὰρ ἐνέργειαι μᾶλλον, ἐκεῖναι δὲ δυνάμεις τούτων. ὅτι μὲν οὖν πρότερον ἡ ἐνέργεια καὶ δυνάμεως καὶ πάσης ἀρχῆς μεταβλητικῆς, φανερόν.*

9 *Ὅτι δὲ καὶ βελτίων καὶ τιμιωτέρα τῆς σπουδαίας δυνάμεως ἡ ἐνέργεια, ἐκ τῶνδε δῆλον. ὅσα γὰρ κατὰ τὸ δύνασϑαι λέγεται, ταὐτόν ἐστι δυνατὸν τἀναντία, οἷον τὸ δύνασϑαι λεγόμενον ὑγιαίνειν ταὐτόν ἐστι καὶ νοσεῖν ἅμα· ἡ αὐτὴ γὰρ δύναμις τοῦ ὑγιαίνειν καὶ κάμνειν, καὶ ἠρεμεῖν καὶ κινεῖσϑαι, καὶ οἰκοδομεῖν καὶ καταβάλλειν, καὶ οἰκοδομεῖσϑαι καὶ καταπίπτειν. τὸ μὲν οὖν δύνασϑαι τἀναντία ἅμα ὑπάρχει, τὰ δ' ἐναντία ἅμα ἀδύνατον. καὶ τὰς ἐνεργείας δὲ ἅμα ἀδύνατον ὑπάρχειν, οἷον ὑγιαίνειν καὶ κάμνειν. ὥστ' ἀνάγκη τούτων ϑάτερον εἶναι τἀγαϑόν. τὸ δὲ δύνασϑαι ὁμοίως ἀμφότερον ἢ οὐδέτερον· ἡ ἄρα ἐνέργεια βελτίων. ἀνάγκη δὲ καὶ ἐπὶ τῶν κακῶν τὸ τέλος καὶ τὴν ἐνέργειαν εἶναι χεῖρον τῆς δυνάμεως· τὸ γὰρ δυνάμενον ταὐτὸ ἄμφω τἀναντία. δῆλον ἄρα ὅτι οὐκ ἔςι τὸ κακὸν παρὰ τὰ πράγματα· ὕςερον γὰρ τῇ φύσει τὸ κακὸν τῆς δυνάμεως. οὐκ ἄρα οὐδ' ἐν τοῖς ἐξ ἀρχῆς καὶ τοῖς ἀϊδίοις οὐϑὲν ἐςιν οὔτε κακὸν οὔτε ἁμάρτημα οὔτε διεφϑαρμένον· καὶ γὰρ ἡ διαφϑορὰ τῶν κακῶν ἐςίν. εὑρίσκεται δὲ καὶ τὰ διαγράμματα ἐνεργείᾳ· διαιροῦντες γὰρ εὑρίσκουσιν. εἰ δ' ἦν διῃρημένα, φανερὰ ἂν ἦν· νῦν δ' ἐνυ-*

30. αὑτὸ **ET**. | αὑτοῖς *a*. | 33. αἱ] ὅσαι **E**. | 34. αὗται $A^b$. | 35. οἱ om $A^b i$. | 36. αὐτοεπιστήμη scripsi c. Alex, αὐτὸ ἐπιστήμη *acb*, αὐτὴ ἐπιστήμη *is*.

1051*a* 1. κινήσεις *T*. | 2. ἡ et 3. καὶ ante δυνάμεως om Alex. | 4. καὶ post δὲ om $A^b F^b$. | τιμιωτέρα] σπουδαιοτέρα *Mas*. | 7. δύνασθαι τὸ λεγόμενον $A^b as$. | 7. 8. καὶ νοσεῖν ἅμα conieci ex Alex p. 565, 13, καὶ τὸ νοσοῦν καὶ ἅμα *ascb* et *i*, qui καὶ ἅμα ad sequentia trahit, γὰρ omisso. καὶ ante ἅμα om *T*. | 11. ἅμα ὑπάρχειν *Tas*, ὑπάρχει ἅμα $A^b$. | 11. 12. ἅμα ἀδύνατον — ἅμα om **ETi**. | 15. ἡ] ἢ *a*. | βέλτιον **ETas**. | 18. τὸ] τι τὸ **ET**. | 21. ἐστίν om **E**. | 23. δ' ἦν] δ' ᾖ $A^b$.

Digitized by Google

πάρχει δυνάμει. διὰ τί δύο ὀρθαὶ τὸ τρίγωνον; ὅτι αἱ περὶ μίαν στιγμὴν γωνίαι ἴσαι δύο ὀρθαῖς. εἰ οὖν ἀνῆκτο ἡ παρὰ τὴν πλευράν, ἰδόντι ἂν ἦν εὐθὺς δῆλον. διὰ τί 190 ἡ ἐν ἡμικυκλίῳ ὀρθὴ καθόλου; διότι ἐὰν ἴσαι τρεῖς, ἥ τε βάσις δύο καὶ ἡ ἐκ μέσου ἐπισταθεῖσα ὀρθή, ἰδόντι δῆλον τῷ ἐκεῖνο εἰδότι. ὥστε φανερὸν ὅτι τὰ δυνάμει ὄντα εἰς ἐνέργειαν ἀναγόμενα εὑρίσκεται. αἴτιον δ' ὅτι νόησις ἡ ἐνέργεια· ὥστ' ἐξ ἐνεργείας ἡ δύναμις· καὶ διὰ τοῦτο ποιοῦντες γιγνώσκουσιν· ὕστερον γὰρ γενέσει ἡ ἐνέργεια ἡ κατ' ἀριθμόν.

10 Ἐπεὶ δὲ τὸ ὂν λέγεται καὶ τὸ μὴ ὂν τὸ μὲν κατὰ τὰ σχήματα τῶν κατηγοριῶν, τὸ δὲ κατὰ δύναμιν ἢ ἐνέργειαν τούτων ἢ τἀναντία, τὸ δὲ κυριώτατα ὂν ἀληθὲς ἢ 1051b ψεῦδος, τοῦτο δ' ἐπὶ τῶν πραγμάτων ἐστὶ τῷ συγκεῖσθαι ἢ διῃρῆσθαι, ὥστε ἀληθεύει μὲν ὁ τὸ διῃρημένον οἰόμενος διῃρῆσθαι καὶ τὸ συγκείμενον συγκεῖσθαι, ἔψευσται δὲ ὁ ἐναντίως ἔχων ἢ τὰ πράγματα, πότ' ἔστιν ἢ οὐκ ἔστι τὸ ἀληθὲς λεγόμενον ἢ ψεῦδος; τοῦτο γὰρ σκεπτέον τί λέγομεν. οὐ γὰρ διὰ τὸ ἡμᾶς οἴεσθαι ἀληθῶς σε λευκὸν εἶναι εἶ σὺ λευκός, ἀλλὰ διὰ τὸ σὲ εἶναι λευκὸν ἡμεῖς οἱ φάντες τοῦτο ἀληθεύομεν. εἰ δὴ τὰ μὲν ἀεὶ σύγκειται καὶ ἀδύνατα διαιρεθῆναι, τὰ δ' ἀεὶ διῄρηται καὶ ἀδύνατα συντεθῆναι, τὰ δ' ἐνδέχεται τἀναντία, καὶ τὸ μὲν εἶναί ἐστι τὸ συγκεῖσθαι καὶ ἓν εἶναι, τὸ δὲ μὴ εἶναι τὸ μὴ συγκεῖσθαι ἀλλὰ πλείω εἶναι· περὶ μὲν οὖν τὰ ἐνδεχόμενα ἡ αὐτὴ γίγνεται ψευδὴς καὶ ἀληθὴς δόξα καὶ ὁ λόγος ὁ αὐτός, καὶ ἐνδέχεται ὁτὲ μὲν ἀληθεύειν ὁτὲ δὲ ψεύδεσθαι· περὶ δὲ τὰ ἀδύνατα ἀλ-

24. τὸ om Alex. | 25. μίαν τὴν στιγμὴν **T**. | 25. 26. ἀνῆκτο ἡ] ἀνάγκη τὸ **T**. | 26. παρὰ] περὶ ***ias***. | 27. ἡ addidi ex Alex, om ***iascb***. | καθόλου] καὶ καθόλου vel ἢ καθ. videtur habuisse Alex. | διατί **E**. | τρεῖς] αἱ τρεῖς ***as***. | 34. ἐπειδὴ δὲ $F^b$. | τὸ μὲν] τὰ μὲν $A^b$ Alex. | 35. τὸ] τὰ Alex.

1051 b 1. κυριώτατον ***Eas***. | ὂν] ἢ **T**, εἰ **E**. | 2. τούτων ***as***. | δ' ἐπὶ] δὴ ἔτι $A^b$. | τὸ ***ETasc***. | 3. διατηρεῖσθαι **T**, διαιρεῖσθαι ***as***. | ὥστε — διῃρῆσθαι om **T**. | ἀληθεύειν $A^b$***a***. | διῃρῆσθαι $A^b$, διαιρεῖσθαι ***iascb***. | 5. ἢ ante τὰ om **T**. | πότ' — 6. λέγομεν] ***aut quando sunt aut non sunt. quare quod verum aut falsum dicitur, quid profecto hoc dicimus, considerandum est. i***. | τὸ] ὡς τὸ **E**, ὥστε τὸ ***Tas***. | 7. σε ante ἀληθῶς **E**, om **T**. | εἶ — 8. ἡμεῖς om $A^b$. | 8. λευκὸν εἶναι ***as***. | 10. ἀεὶ] εἰ **T**. | συνθεῖναι $A^b$. | 11. καὶ ante τὸ μὲν de coni. addidi ex Alex, cf. Obs. p. 35, om ***ascb*** et ***i***, qui τὸ μὲν — πλείω εἶναι parenthesi includit. | 10. 11. τὸ ἓν εἶναι καὶ συγκεῖσθαι **T**. | 13. post εἶναι punctum ***scb***.

Digitized by Google

*λως ἔχειν οὐ γίγνεται ὁτὲ μὲν ἀληθὲς ὁτὲ δὲ ψεῦδος, ἀλλ' ἀεὶ ταὐτὰ ἀληθῆ καὶ ψευδῆ. περὶ δὲ δὴ τὰ ἀσύνθετα τί τὸ εἶναι ἢ μὴ εἶναι καὶ τὸ ἀληθὲς καὶ τὸ ψεῦδος; οὐ γάρ ἐστι σύνθετον, ὥστε εἶναι μὲν ὅταν συγκέηται, μὴ εἶναι δὲ ἐὰν διῃρημένον ᾖ, ὥσπερ τὸ λευκὸν ξύλον ἢ τὸ ἀσύμμετρον* 191 *τὴν διάμετρον· οὐδὲ τὸ ἀληθὲς καὶ ψεῦδος ὁμοίως ἔτι ὑπάρξει καὶ ἐπ' ἐκείνων. ἢ ὥσπερ οὐδὲ τὸ ἀληθὲς ἐπὶ τούτων τὸ αὐτό, οὕτως οὐδὲ τὸ εἶναι, ἀλλ' ἔστι τὸ μὲν ἀληθὲς τὸ δὲ ψεῦδος, τὸ μὲν θιγεῖν καὶ φάναι ἀληθές (οὐ γὰρ ταὐτὸ κατάφασις καὶ φάσις), τὸ δ' ἀγνοεῖν μὴ θιγγάνειν· ἀπατηθῆναι γὰρ περὶ τὸ τί ἐστιν οὐκ ἔστιν ἀλλ' ἢ κατὰ συμβεβηκός. ὁμοίως δὲ καὶ περὶ τὰς μὴ συνθετὰς οὐσίας· οὐ γὰρ ἔστιν ἀπατηθῆναι. καὶ πᾶσαί εἰσιν ἐνεργείᾳ, οὐ δυνάμει· ἐγίγνοντο γὰρ ἂν καὶ ἐφθείροντο· νῦν δὲ τὸ ὂν αὐτὸ οὐ γίγνεται οὐδὲ φθείρεται· ἔκ τινος γὰρ ἂν ἐγίγνετο. ὅσα δή ἐστιν ὅπερ εἶναί τι καὶ ἐνεργείᾳ, περὶ ταῦτα οὐκ ἔστιν ἀπατηθῆναι ἀλλ' ἢ νοεῖν ἢ μή. ἀλλὰ τὸ τί ἐστι ζητεῖται περὶ αὐτῶν, εἰ τοιαῦτά ἐστιν ἢ μή. τὸ δ' εἶναι ὡς τὸ ἀληθές, καὶ τὸ μὴ εἶναι ὡς τὸ ψεῦδος, ἓν μέν ἐστιν, εἰ σύγκειται, ἀληθές· τὸ δ' εἰ μὴ σύγκειται, ψεῦδος. τὸ δὲ ἕν, εἴπερ ὂν οὕτως ἐστίν·*
1052*a* *εἰ δὲ μὴ οὕτως, οὐκ ἔστιν. τὸ δὲ ἀληθὲς τὸ νοεῖν αὐτά· τὸ δὲ ψεῦδος οὐκ ἔστιν, οὐδ' ἀπάτη, ἀλλ' ἄγνοια, οὐχ οἵα ἡ τυφλότης· ἡ μὲν γὰρ τυφλότης ἐστὶν ὡς ἂν εἰ τὸ νοητικὸν ὅλως μὴ ἔχοι τις. φανερὸν δὲ καὶ ὅτι περὶ τῶν ἀκινήτων οὐκ ἔστιν ἀπάτη κατὰ τὸ ποτέ, εἴ τις ὑπολαμβάνει ἀκίνητα. οἷον τὸ τρίγωνον εἰ μὴ μεταβάλλειν οἴεται, οὐκ οἰήσεται ποτὲ μὲν δύο ὀρθὰς ἔχειν ποτὲ δ' οὔ (μεταβάλλοι γὰρ ἄν), ἀλλὰ τὶ μὲν τὶ δ' οὔ, οἷον ἄρτιον ἀριθμὸν πρῶτον εἶναι*

16. *γίγνεται οὐδὲ ὁτὲ* **$A^b$**. | 17. *ἀεὶ*] *εἰὰ* **T.** | *ταὐτὰ* coni., *ταῦτα* **iascb**, *ταὐτὰ γρ* Cas. | 18. *τὸ* ante *ψεῦδος* om **T.** | 19. *ὅταν*] *ἐὰν* **$A^b$**. | *σύγκειται* **E**, *σύγκηται* **asc**. | 20. *ἐὰν μὴ διῃρημένον* **T.** | 21. *καὶ ψεῦδος*] *καὶ τὸ ψεῦδος* **Eas**, *ἢ τὸ ψεῦδος* **T.** | 22. *ὑπ'* **T.** | *ἀληθὲς ἓν ἐπὶ* **ET.** | 23. *ἔσται* fort. Alex. | *τὸ δὲ*] *ἢ* **ET$A^b$c**. | 24. *τοῦτο* **T.** | 25. *ἀπόφασις* **T.** *καὶ φάσις* om **E.** | 27. *μὴ* om **T.** | *μὴ σ.*] *ἀσυνθέτους* **asc**. | 28. *ἐνέργειαι* **$A^b$** Alex **a.** | *οὐ*] *ἢ* **T.** | *γὰρ* om **T.** | 32. *τί* om **$A^b$**. | *εἰ*] fort. *οὐκ εἰ.* cf. Alex p. 572, 29. | 32. 33. *ἤ τι αὐτά* **T.** | 34. *ὡς τὸ*] *τὸ ὡς* **$A^b$**, *τὸ ὡς τὸ* **T.** | 35. *ὂν οὕτως*] *ὄν, οὕτως* **iascb**.

1052*a* 1. *ταῦτα* **$A^b$**. | 2. *οὐδ'* om **i.** | *οἷον* **$A^b$**. | 3. post *τυφλότης* add *ἐστίν* **as.** | *ἡ μὲν γὰρ τυφλότης* om **$A^b$**. | *ἡ*] *εἰ* **a.** | 4. *ὅτι καὶ* **$A^b$**, *καὶ ὅτι καὶ* **$F^b$**. | 5. *ὑπολαμβάνοι* **as.** | 6. *οἴηται* **$A^b$**, *οἴοιτο* Alex, om **asc.** | 8. *πρῶτον μὲν* **as.**

Digitized by Google

μηθένα, ἢ τινὰς μὲν τινὰς δ' οὔ. ἀριθμῷ δὲ περὶ ἕνα οὐδὲ
192 τοῦτο· οὐ γὰρ ἔτι τινὰ μὲν τινὰ δ' οὐκ οἰήσεται, ἀλλ' ἀληθεύσει ἢ ψεύσεται ὡς ἀεὶ οὕτως ἔχοντος.

# I.

Τὸ ἓν ὅτι μὲν λέγεται πολλαχῶς, ἐν τοῖς περὶ τοῦ ποσαχῶς διῃρημένοις εἴρηται πρότερον· πλεοναχῶς δὲ λεγομένου, οἱ συγκεφαλαιούμενοι τρόποι εἰσὶ τέτταρες τῶν πρώτων καὶ καθ' αὑτὰ λεγομένων ἕν, ἀλλὰ μὴ κατὰ συμβεβηκός. τό τε γὰρ συνεχὲς ἢ ἁπλῶς ἢ μάλιστά γε τὸ φύσει καὶ μὴ ἁφῇ μηδὲ δεσμῷ· καὶ τούτων μᾶλλον ἓν καὶ πρότερον, οὗ ἀδιαιρετωτέρα ἡ κίνησις καὶ μᾶλλον ἁπλῆ. ἔτι τοιοῦτον καὶ μᾶλλον τὸ ὅλον καὶ ἔχον τινὰ μορφὴν καὶ εἶδος· μάλιστα δ' εἴ τι φύσει τοιοῦτον καὶ μὴ βίᾳ, ὥσπερ ὅσα κόλλῃ ἢ γόμφῳ ἢ συνδέσμῳ, ἀλλ' ἔχει ἐν αὑτῷ τὸ αἴτιον αὑτῷ τοῦ συνεχὲς εἶναι. τοιοῦτον δὲ τῷ μίαν τὴν κίνησιν εἶναι καὶ ἀδιαίρετον τόπῳ καὶ χρόνῳ, ὥστε φανερόν, εἴ τι φύσει κινήσεως ἀρχὴν ἔχει τῆς πρώτης τὴν πρώτην, οἷον λέγω φορᾶς κυκλοφορίαν, ὅτι τοῦτο πρῶτον μέγεθος ἕν. τὰ μὲν δὴ οὕτως ἓν ἢ συνεχὲς ἢ ὅλον, τὰ δὲ ὧν ἂν ὁ λόγος εἷς ᾖ. τοιαῦτα δὲ ὧν ἡ νόησις μία· τοιαῦτα δὲ ὧν ἀδιαίρετος· ἀδιαίρετος δὲ τοῦ ἀδιαιρέτου εἴδει ἢ ἀριθμῷ. ἀριθμῷ μὲν οὖν τὸ καθ' ἕκαστον ἀδιαίρετον, εἴδει δὲ τὸ τῷ γνωστῷ καὶ τῇ ἐπιστήμῃ, ὥσθ' ἓν ἂν εἴη πρῶτον τὸ ταῖς οὐσίαις αἴτιον τοῦ ἑνός. λέγεται μὲν οὖν τὸ ἓν τοσαυταχῶς, τό τε συνεχὲς φύσει καὶ τὸ ὅλον, καὶ τὸ καθ' ἕκαστον καὶ τὸ
193 καθ' ὅλου. πάντα δὲ ταῦτα ἓν τῷ ἀδιαίρετον εἶναι τῶν μὲν τὴν κίνησιν, τῶν δὲ τὴν νόησιν ἢ τὸν λόγον. δεῖ δὲ κατα- 1052b
νοεῖν ὅτι οὐχ ὡσαύτως ληπτέον λέγεσθαι ποῖά τε ἓν λέγεται, καὶ τί ἐστι τὸ ἑνὶ εἶναι, καὶ τίς αὐτοῦ λόγος (λέγεται μὲν γὰρ τὸ ἓν τοσαυταχῶς, καὶ ἕκαστον ἔσται ἓν τούτων, ᾧ

15. πλεοναχῶς fort. Alex. | 17. τέσσαρες *Eas*. | 18. πρώτως *s*. | αὐτὸ *E*. | 21. οὗ] ὧν $A^b$*as*. | 23. τι τῇ φύσει *ETc*. | τοιοῦτόν ἐστι Alex. | 24. τι ἐν $A^b$. | 25. αὐτῷ om *s*. | τῷ] τὸ *ET*. | 29. τὰ — ὅλον om *i*. | ᾖ om *ET*. | τὸ συνεχὲς ἢ τὸ Alex. | ὧν om *ET*. | ὁ om *T*. | 31. δὲ τἀδιαιρέτου *T*. | 32. τὸ post δὲ add *E*. | τῷ] τὸ *T*. | 36. τῷ] τὸ *T*. | τῶν — κίνησιν om *i*.

1052*b* 3. ἓν *T*$A^b$. | 4. τὸ om $A^b$. | τούτων] videtur vel τῶν ὄντων scribendum esse cum Alexandro, vel alterum τούτων lin. 5. omittendum. | ὧν *as*.

*ἂν ὑπάρχῃ τις τούτων τῶν τρόπων· τὸ δὲ ἑνὶ εἶναι ὁτὲ μὲν τούτων τινὶ ἔσται, ὁτὲ δὲ ἄλλῳ, ὃ καὶ μᾶλλον ἐγγὺς τῷ ὀνόματί ἐστι, τῇ δυνάμει δ' ἐκεῖνα), ὥσπερ καὶ περὶ στοιχείου καὶ αἰτίου εἰ δέοι λέγειν ἐπί τε τοῖς πράγμασι διορίζοντα καὶ τοῦ ὀνόματος ὅρον ἀποδιδόντα. ἔστι μὲν γὰρ ὡς στοιχεῖον τὸ πῦρ (ἔστι δ' ἴσως καθ' αὑτὸ καὶ τὸ ἄπειρον ἤ τι ἄλλο τοιοῦτον), ἔστι δ' ὡς οὔ· οὐ γὰρ τὸ αὐτὸ πυρὶ καὶ στοιχείῳ εἶναι, ἀλλ' ὡς μὲν πρᾶγμά τι καὶ φύσις τὸ πῦρ στοιχεῖον, τὸ δὲ ὄνομα σημαίνει τὸ τοδὶ συμβεβηκέναι αὐτῷ, ὅτι ἔστι τι ἐκ τούτου ὡς πρώτου ἐνυπάρχοντος. οὕτω καὶ ἐπὶ αἰτίου καὶ ἑνὸς καὶ τῶν τοιούτων ἁπάντων. διὸ καὶ τὸ ἑνὶ εἶναι τὸ ἀδιαιρέτῳ ἐστὶν εἶναι, ὅπερ τῷδε ὄντι καὶ ἀχωρίστῳ ἢ τόπῳ ἢ εἴδει ἢ διανοίᾳ, ἢ [καὶ] τῷ ὅλῳ καὶ ἀδιαιρέτῳ. μάλιστα δὲ τὸ μέτρον εἶναι πρῶτον ἑκάστου γένους καὶ κυριώτατα τοῦ ποσοῦ· ἐντεῦθεν γὰρ καὶ ἐπὶ τὰ ἄλλα ἐλήλυθεν. μέτρον γάρ ἐστιν ᾧ τὸ ποσὸν γιγνώσκεται· γιγνώσκεται δ' ἢ ἑνὶ ἢ ἀριθμῷ τὸ ποσὸν ᾗ ποσόν, ὁ δ' ἀριθμὸς ἅπας ἑνί. ὥστε πᾶν τὸ ποσὸν γιγνώσκεται ᾗ ποσὸν τῷ ἑνί, καὶ ᾧ πρώτῳ [ποσὰ] γιγνώσκεται, τοῦτο αὐτὸ ἕν· διὸ τὸ ἓν ἀριθμοῦ ἀρχὴ ᾗ ἀριθμός. ἐντεῦθεν δὲ καὶ ἐν τοῖς ἄλλοις λέγεται μέτρον ᾧ πρώτῳ τε ἕκαστον γιγνώσκεται, καὶ τὸ* 194 *μέτρον ἑκάστου ἓν ἐν μήκει, ἐν πλάτει, ἐν βάθει, ἐν βάρει, ἐν τάχει. τὸ γὰρ βάρος καὶ τάχος κοινὸν ἐν τοῖς ἐναντίοις· διττὸν γὰρ ἑκάτερον αὐτῶν, οἷον βάρος τό τε ὁποσηνοῦν ἔχον ῥοπὴν καὶ τὸ ἔχον ὑπεροχὴν ῥοπῆς, καὶ τάχος τό τε ὁποσηνοῦν κίνησιν ἔχον καὶ τὸ ὑπεροχὴν κινήσεως· ἔστι γάρ τι τάχος καὶ τοῦ βραδέος καὶ βάρος τοῦ κουφοτέρου. ἐν πᾶσι δὴ τούτοις μέτρον καὶ ἀρχὴ ἕν τι καὶ ἀδιαίρετον, ἐπεὶ καὶ ἐν ταῖς γραμμαῖς χρῶνται ὡς ἀτόμῳ τῇ ποδιαίᾳ. παντα-*

5. ὑπάρξῃ Alex, ὑπάρχοι ***as***. | 5. 6. μὲν τὸ τούτων ***A***[b]. | 7. ἐστι, τῇ] ῇ ***A***[b]. | 8. αἰτίας ***Tas***. | 9. ὀνόματος τὸν ὅρον ***Tas***. | 12. πράγματι καὶ φύσει ***ET***. | 13. ὄνομα ὅλον σημαίνει ***E***, ὄνομα συμβαίνει ***Ta***. | τῶ ***Tas***. | 14. οὕτως post 15. αἰτίου ***T***. | 15. καὶ post ἑνὸς om ***Tas***. | καὶ post διὸ om ***i***. | 16. εἶναι τῶ ***Ta***. | τόδε ***ET***. | 16. 17. καὶ ἰδία χωριστῶ ***A***[b] Alex, fort. recte. | 17. καὶ post ἢ add ***ETb***. | 17. 18. fort. τὸ ὅλῳ καὶ ἀδιαιρέτῳ. | ἀδιαιρέτῳ ***A***[b] Alex: ceteri et ***c*** διωρισμένῳ. | 18. τῶ ***ETA***[b]***ac***. | μέτρῳ ***as***. | 19. καὶ post γὰρ add ***ET*** Alex ***as***, om ***icb***. | 21. ὁ δ'] ὁ γὰρ ***as***. | 23. ποσὰ add ***A***[b]***b***. | διότι τὸ ***as***. | 25. τε ᾧ ἕκαστον πρώτω ***A***[b]. | 28. ἕκαστον ***as***. | ὁποστηνοῦν ***Tas***, ὁσηνοῦν ***A***[b]. | 29. καὶ τάχος] καὶ τὸ τάχος ***A***[b]. | 29. 30. ὁποστηνοῦν ***Tas***. | 30. τι om ***A***[b]. | 31. βαρέος ***T***. | 32. δὲ ***ET***.

Digitized by Google

χοῦ γὰρ τὸ μέτρον ἕν τι ζητοῦσι καὶ ἀδιαίρετον· τοῦτο δὲ
τὸ ἁπλοῦν ἢ τῷ ποιῷ ἢ τῷ ποσῷ. ὅπου μὲν οὖν δοκεῖ μὴ
εἶναι ἀφελεῖν ἢ προσθεῖναι, τοῦτο ἀκριβὲς τὸ μέτρον· διὸ
τὸ τȣ̃ ἀριθμȣ̃ ἀκριβέςατον· τὴν γὰρ μονάδα τιθέασι πάντῃ 1053*a*
ἀδιαίρετον· ἐν δὲ τοῖς ἄλλοις μιμοῦνται τὸ τοιοῦτον· ἀπὸ
γὰρ σταδίου καὶ ταλάντου καὶ ἀεὶ τοῦ μείζονος λάθοι ἂν
καὶ προστεθέν τι καὶ ἀφαιρεθὲν μᾶλλον ἢ ἀπὸ ἐλάττονος.
ὥςε ἀφ᾽ ȣ̃ πρώτου κατὰ τὴν αἴσθησιν μὴ ἐνδέχεται, τȣ̃το
πάντες ποιοῦνται μέτρον καὶ ὑγρῶν καὶ ξηρῶν καὶ βάρους
καὶ μεγέθους· καὶ τότ᾽ οἴονται εἰδέναι τὸ ποσόν, ὅταν εἰ-
δῶσι διὰ τούτου τοῦ μέτρου. καὶ δὴ καὶ κίνησιν τῇ ἁπλῇ
κινήσει καὶ τῇ ταχίστῃ· ὀλίγιστον γὰρ αὕτη ἔχει χρόνον.
διὸ ἐν τῇ ἀστρολογίᾳ τὸ τοιοῦτον ἓν ἀρχὴ καὶ μέτρον· τὴν
κίνησιν γὰρ ὁμαλὴν ὑποτίθενται καὶ ταχίςην τὴν τȣ̃ ȣ̓ρανȣ̃,
πρὸς ἣν κρίνουσι τὰς ἄλλας. καὶ ἐν μουσικῇ δίεσις, ὅτι
ἐλάχιςον, καὶ ἐν φωνῇ ςοιχεῖον. καὶ ταῦτα πάντα ἕν τι
ȣ̓́τως, ȣ̓χ ὡς κοινόν τι τὸ ἕν, ἀλλ᾽ ὥσπερ εἴρηται. ȣ̓κ ἀεὶ
δὲ τῷ ἀριθμῷ ἓν τὸ μέτρον, ἀλλ᾽ ἐνίοτε πλείω, οἷον αἱ διέ-
195σεις δύο, αἱ μὴ κατὰ τὴν ἀκοὴν ἀλλ᾽ ἐν τοῖς λόγοις, καὶ
αἱ φωναὶ πλείους αἷς μετρȣ̃μεν, καὶ ἡ διάμετρος δυσὶ με-
τρεῖται καὶ ἡ πλευρὰ καὶ τὰ μεγέθη πάντα. ȣ̓́τω δὴ πάν-
των μέτρον τὸ ἕν, ὅτι γνωρίζομεν ἐξ ὧν ἐςὶν ἡ ȣ̓σία διαι-
ρȣ̃ντες ἢ κατὰ τὸ ποσὸν ἢ κατὰ τὸ εἶδος· καὶ διὰ τοῦτο τὸ
ἓν ἀδιαίρετον, ὅτι τὸ πρῶτον ἑκάςων ἀδιαίρετον. ȣ̓χ ὁμοίως
δὲ πᾶν ἀδιαίρετον, οἷον ποὺς καὶ μονάς, ἀλλὰ τὸ μὲν
πάντῃ, τὸ δ᾽ εἰς ἀδιαίρετα πρὸς τὴν αἴσθησιν ἐθέλει, ὥσπερ
εἴρηται ἤδη· ἴσως γὰρ πᾶν συνεχὲς διαιρετόν. ἀεὶ δὲ συγ-
γενὲς τὸ μέτρον· μεγεθῶν μὲν γὰρ μέγεθος, καὶ καθ᾽ ἕκα-
ςον μήκους μῆκος, πλάτους πλάτος, φωνῶν φωνή, βάρȣς
βάρος, μονάδων μονάς. ȣ̓́τω γὰρ δεῖ λαμβάνειν, ἀλλ᾽ ȣ̓χ
ὅτι ἀριθμῶν ἀριθμός· καίτοι ἔδει, εἰ ὁμοίως· ἀλλ᾽ οὐχ

36. προστιθέναι *Tas*. | τι *T*.

1053*a* 1. τὸ om *E*. | τοὺς *E*, om *T*. | ἀριθμοὺς *E*. | 3. στασίου *T*. | 4. προστιθέν *T*. | ἀπὸ τοῦ ἐλάττονος *Tas*. | 7. τότ᾽] τὸ τοιόνδε $A^b$. | ἴδωσι $TA^b$. | 9. ὀλιγοστὸν $A^b$*asc*. | 10. τοιοῦτο μὲν $A^b$. | 13. πάντα ταῦτα *T*. | 15. 16. ἡ δίεσις $F^b$. | 16. δύο αἱ om $TF^b$. | 17. αἱ om $A^b$. | 18. καὶ τὰ — οὕτω] μεγέθη τινὰ ὄντα δῆλον $A^b$*c*. | 19. ὅτι] εἰ *T*. | 20. καὶ add *ias*, om *b*. | 21. ἑκάστω *T*. | 23. πάντως *E*, πάντῃ πάντως $A^b$ Alex. | εἰς ἀδιαίρετα] fort. εἶναι ἀδιαίρετον. | 26. φωνῶν] φωνῆς *ET*. | 28. εἰ om *as*.



Digitized by Google

*ὁμοίως ἀξιοῖ, ἀλλ' ὥσπερ εἰ μονάδων μονάδας ἀξιώσειε μέτρον ἀλλὰ μὴ μονάδα· ὁ δ' ἀριθμὸς πλῆθος μονάδων. καὶ τὴν ἐπιστήμην δὲ μέτρον τῶν πραγμάτων λέγομεν καὶ τὴν αἴσθησιν διὰ τὸ αὐτό, ὅτι γνωρίζομέν τι αὐταῖς, ἐπεὶ μετροῦνται μᾶλλον ἢ μετροῦσιν. ἀλλὰ συμβαίνει ἡμῖν ὥσπερ ἂν εἰ ἄλλου ἡμᾶς μετροῦντος ἐγνωρίσαμεν πηλίκοι ἐσμὲν τῷ τὸν πῆχυν ἐπὶ τοσοῦτον ἡμῖν ἐπιβάλλειν. Πρωταγόρας δ' ἄνθρωπόν φησι πάντων εἶναι μέτρον, ὥσπερ ἂν εἰ τὸν*
1053*b* *ἐπιστήμονα εἰπὼν ἢ τὸν αἰσθανόμενον· τούτους δ' ὅτι ἔχουσιν ὁ μὲν αἴσθησιν ὁ δὲ ἐπιστήμην, ἅ φαμεν εἶναι μέτρα τῶν ὑποκειμένων. οὐθὲν δὴ λέγων περιττὸν φαίνεταί τι λέγειν. ὅτι μὲν οὖν τὸ ἑνὶ εἶναι μάλιστά ἐστι κατὰ τὸ ὄνομα ἀφορίζοντι μέτρον τι, καὶ κυριώτατα τοῦ ποσοῦ, εἶτα τοῦ ποιοῦ, φανερόν. ἔσται δὲ τοιοῦτον τὸ μὲν ἂν ᾖ ἀδιαίρετον κατὰ τὸ* 196
*ποσόν, τὸ δὲ ἂν κατὰ τὸ ποιόν· διόπερ ἀδιαίρετον τὸ ἓν ἢ ἁπλῶς ἢ ᾗ ἕν.*

2 *Κατὰ δὲ τὴν οὐσίαν καὶ τὴν φύσιν ζητητέον ποτέρως ἔχει, καθάπερ ἐν τοῖς διαπορήμασιν ἐπήλθομεν τί τὸ ἕν ἐστι καὶ πῶς δεῖ περὶ αὐτοῦ λαβεῖν, πότερον ὡς οὐσίας τινὸς οὔσης αὐτοῦ τοῦ ἑνός, καθάπερ οἵ τε Πυθαγόρειοί φασι πρότερον καὶ Πλάτων ὕστερον, ἢ μᾶλλον ὑπόκειταί τις φύσις, καὶ πῶς δεῖ γνωριμωτέρως λεχθῆναι καὶ μᾶλλον ὥσπερ οἱ περὶ φύσεως· ἐκείνων γὰρ ὁ μέν τις φιλίαν εἶναί φησι τὸ ἕν, ὁ δ' ἀέρα, ὁ δὲ τὸ ἄπειρον. εἰ δὲ μηθὲν τῶν καθόλου δυνατὸν οὐσίαν εἶναι, καθάπερ ἐν τοῖς περὶ οὐσίας καὶ περὶ τοῦ ὄντος εἴρηται λόγοις, οὐδ' αὐτὸ τοῦτο οὐσίαν ὡς ἕν τι παρὰ τὰ πολλὰ δυνατὸν εἶναι (κοινὸν γάρ) ἀλλ' ἢ κατηγόρημα μόνον, δῆλον ὡς οὐδὲ τὸ ἕν· τὸ γὰρ ὂν καὶ τὸ ἓν καθόλου κατηγορεῖται μάλιστα πάντων. ὥστε οὔτε τὰ γένη φύσεις τινὲς καὶ οὐσίαι χωρισταὶ τῶν ἄλλων εἰσίν, οὔτε τὸ ἓν γένος ἐνδέχεται εἶναι διὰ τὰς αὐτὰς αἰτίας δι' ἅσπερ οὐδὲ τὸ ὂν*

31. *δὲ* om ***as***. | 32. *αὐταῖς* ***asc***, *αὐτοῖς* ***b***. | *ἐπεὶ*] *εἴτε* ***T***. | 35. *ἡμῶν* ***Ea***.
1053*b* 1. *ἴσχουσιν* $A^b$. | 2. *ἃ* om $A^b$. | 3. *λέγοντες περιττὸν φαίνονται* ***T***$A^b$***ias***. | *τι* om ***T***. | 4. *τὸ*] *τῷ* ***as***. | *ἑνὶ* ***ETias*** et fort. Alex, *ἓν* ***cb***. | 4. 5. *ἀφορίζοντι*] *ὃ ἀφορίζουσι* ***ETias*** et fort. Alex. | 5. *κυριώτατον* ***as***. | 10. *ἔχειν* ***T***. | post *ἐπήλθομεν* comma ***asb***. | 11. *περὶ τοῦ αὐτοῦ* ***Tas***. | 14. *γρ καὶ προσδεῖ γνωριμωτέρως, ἤτοι ἐλλείπει ἐνδέχεται* ***E***. | *καὶ μ.*] *ἆρα μ.* Alex, ***et an magis i***, fort. *ἢ μ.* | 15. *γὰρ*] *μὲν γὰρ* ***as***. | *τὸ ἓν φησιν* $A^b$. | 16. *δὲ*] fort. *δὴ* c. Alex. | 17. *καὶ*] *καὶ τοῖς* ***as***. | *περὶ* om ***T***. | 18. *οὐσία* $A^b$***as***. | 20. *τὸ γὰρ ὂν καὶ τὸ ἓν* om ***T***. | 21. *φύσει* $A^b$.

Digitized by Google

οὐδὲ τὴν οὐσίαν. ἔτι δ' ὁμοίως ἐπὶ πάντων ἀναγκαῖον ἔχειν· λέγεται δ' ἰσαχῶς τὸ ὂν καὶ τὸ ἕν· ὥστ' ἐπείπερ ἐν τοῖς ποιοῖς ἐστί τι τὸ ἓν καὶ τὶς φύσις, ὁμοίως δὲ καὶ ἐν τοῖς ποσοῖς, δῆλον ὅτι καὶ ὅλως ζητητέον τί τὸ ἕν, ὥσπερ καὶ τί τὸ ὄν, ὡς οὐχ ἱκανὸν ὅτι τοῦτο αὐτὸ ἡ φύσις αὐτοῦ. ἀλλὰ μὴν ἔν γε χρώμασίν ἐστι τὸ ἓν χρῶμα, οἷον τὸ λευκόν, εἰ τὰ ἄλλα ἐκ τούτου καὶ τοῦ μέλανος φαίνεται γιγνόμενα, τὸ δὲ μέλαν στέρησις λευκοῦ, ὥσπερ καὶ φωτὸς σκότος· τοῦτο δ' ἐστὶ στέρησις φωτός. ὥστ' εἰ τὰ ὄντα ἦν χρώματα, ἦν ἂν
197 ἀριθμός τις τὰ ὄντα. ἀλλὰ τίνων; δῆλον δὴ ὅτι χρωμάτων. καὶ τὸ ἓν ἦν ἄν τι ἕν, οἷον τὸ λευκόν. ὁμοίως δὲ καὶ εἰ μέλη τὰ ὄντα ἦν, ἀριθμὸς ἂν ἦν, διέσεων μέντοι, ἀλλ' οὐκ ἀριθμὸς ἡ οὐσία αὐτῶν· καὶ τὸ ἓν ἦν ἄν τι οὗ ἡ οὐσία οὐ τὸ ἓν ἀλλὰ δίεσις. ὁμοίως δὲ καὶ ἐπὶ τῶν φθόγγων στοι- 1054*a*
χείων ἂν ἦν τὰ ὄντα ἀριθμός, καὶ τὸ ἓν στοιχεῖον φωνῆεν. καὶ εἰ σχήματα εὐθύγραμμα, σχημάτων ἂν ἦν ἀριθμός, καὶ τὸ ἓν τὸ τρίγωνον. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων γενῶν. ὥστ' εἴπερ καὶ ἐν τοῖς πάθεσι καὶ ἐν τοῖς ποιοῖς καὶ ἐν τοῖς ποσοῖς καὶ ἐν κινήσει ἀριθμῶν ὄντων καὶ ἑνός τινος ἐν ἅπασιν ὅ τε ἀριθμὸς τινῶν καὶ τὸ ἓν τὶ ἕν, ἀλλ' οὐχὶ τοῦτο αὐτὸ αὐτοῦ ἡ οὐσία, καὶ ἐπὶ τῶν οὐσιῶν ἀνάγκη ὡσαύτως ἔχειν· ὁμοίως γὰρ ἔχει ἐπὶ πάντων. ὅτι μὲν οὖν τὸ ἓν ἐν παντὶ γένει ἐστί τις φύσις, καὶ οὐθενὸς τοῦτό γ' αὐτὸ ἡ φύσις τὸ ἕν, φανερόν· ἀλλ' ὥσπερ ἐν χρώμασι χρῶμα ἓν ζητητέον αὐτὸ τὸ ἕν, οὕτω καὶ ἐν οὐσίᾳ οὐσίαν μίαν αὐτὸ τὸ ἕν. ὅτι δὲ ταὐτὸ σημαίνει πως τὸ ἓν καὶ τὸ ὄν, δῆλον τῷ τε παρακολουθεῖν ἰσαχῶς ταῖς κατηγορίαις καὶ μὴ εἶναι ἐν μηδεμιᾷ, οἷον οὔτ' ἐν τῇ τί ἐστιν οὔτ' ἐν τῇ ποῖον, ἀλλ' ὁμοίως ἔχει ὥσπερ τὸ ὄν, καὶ τῷ μὴ προσκατηγορεῖσθαι

25. τὸ ἓν καὶ τὸ ὂν ***T*** et fort. Alex. | 29. ante τὸ ἓν addendum videtur τὶ ex ***E*** et Alex. | χρῶμα fort. om Alex. | εἰ] εἶτα ***Tias***. | 33. δηλαδὴ ὅτι ***T***. | 35. διέσεως ***TA$^b$ias***. | 36. αὐτῶν· καὶ τὸ ἓν] *et eorum non ipsum unum* ***i***.

1054*a* 2. ἦν ἂν ***Eas***. | φωνῆεν] φωνῆεν ἢ σύμφωνον fort. Alex. | 6. ἐν ante τοῖς om ***T***. | 7. τὶ ἕν] τι ὂν ***A$^b$as***, om ***T***. | 8. αὐτὸ αὐτοῦ conieci ex Alex p. 586, 22 et ***i***, coll. p. 1053*b* 28, 1054*a* 10. αὐτὸ ***A$^b$***, αὐτοῦ ***ascb***. | 10. ἅπαντι ***A$^b$*** Alex. | γε τὸ ἡ ***T***. | 11. τὸ ἓν om ***i***. | 12. οὐσίαν μίαν] καὶ οὐσία μία margo ***E***. | post αὐτὸ add τε ***ascb***, om ***Ei*** et fort. Alex. cf. Obs. p. 18. | 13. τὸ post καὶ om ***ET***. | 14. ἓν ***ET***. | 15. τί om ***A$^b$***. | 16. τὸ μὴ ***T***, οὐ τῷ ***F$^b$c***.

Digitized by Google

*ἕτερόν τι τὸ εἷς ἄνθρωπος τοῦ ἄνθρωπος, ὥσπερ οὐδὲ τὸ εἶναι παρὰ τὸ τί ἢ ποιὸν ἢ ποσόν, καὶ τὸ ἑνὶ εἶναι τὸ ἑκάστῳ εἶναι.*

3 *Ἀντίκειται δὲ τὸ ἓν καὶ τὰ πολλὰ κατὰ πλείους τρό-*
*πους, ὧν ἕνα τὸ ἓν καὶ τὸ πλῆθος ὡς ἀδιαίρετον καὶ διαιρε-*
*τόν· τὸ μὲν γὰρ ἢ διῃρημένον ἢ διαιρετὸν πλῆθός τι λέγε-*
*ται, τὸ δὲ ἀδιαίρετον ἢ μὴ διῃρημένον ἕν. ἐπεὶ οὖν αἱ ἀντι-* 198
*θέσεις τετραχῶς, καὶ οὔτε κατὰ στέρησιν λέγεται θάτερον,*
*ἐναντία ἂν εἴη, καὶ οὔτε ὡς ἀντίφασις οὔτε ὡς τὰ πρός τι*
*λεγόμενα. λέγεται δ' ἐκ τοῦ ἐναντίου καὶ δηλοῦται τὸ ἓν ἐκ*
*τοῦ διαιρετοῦ τὸ ἀδιαίρετον διὰ τὸ μᾶλλον αἰσθητὸν τὸ πλῆ-*
*θος εἶναι καὶ τὸ διαιρετὸν ἢ τὸ ἀδιαίρετον, ὥστε τῷ λόγῳ*
*πρότερον τὸ πλῆθος τοῦ ἀδιαιρέτου διὰ τὴν αἴσθησιν. ἔστι δὲ τοῦ*
*μὲν ἑνός, ὥσπερ καὶ ἐν τῇ διαιρέσει τῶν ἐναντίων διεγρά-*
*ψαμεν, τὸ ταὐτὸ καὶ ὅμοιον καὶ ἴσον, τοῦ δὲ πλήθους τὸ*
*ἕτερον καὶ ἀνόμοιον καὶ ἄνισον. λεγομένου δὲ τοῦ ταὐτοῦ*
*πολλαχῶς, [καὶ] ἕνα μὲν τρόπον κατ' ἀριθμὸν λέγομεν*
*ἐνίοτε αὐτό, τὸ δ' ἐὰν καὶ λόγῳ καὶ ἀριθμῷ ἓν ᾖ, οἷον*
*σὺ σαυτῷ καὶ τῷ εἴδει καὶ τῇ ὕλῃ ἕν· ἔτι δ' ἐὰν ὁ λόγος*
1054*b* *ὁ τῆς πρώτης οὐσίας εἷς ᾖ, οἷον αἱ ἴσαι γραμμαὶ εὐθεῖαι αἱ*
*αὐταί, καὶ τὰ ἴσα καὶ [τὰ] ἰσογώνια τετράγωνα, καίτοι*
*πλείω· ἀλλ' ἐν τούτοις ἡ ἰσότης ἑνότης. ὅμοια δὲ ἐὰν μὴ*
*ταὐτὰ ἁπλῶς ὄντα, μηδὲ κατὰ τὴν οὐσίαν ἀδιάφορα τὴν*
*συγκειμένην, κατὰ τὸ εἶδος ταὐτὰ ᾖ, οἷον τὸ μεῖζον τετρά-*
*γωνον τῷ μικρῷ ὅμοιον, καὶ αἱ ἄνισοι εὐθεῖαι· αὗται γὰρ*
*ὅμοιαι μέν, αἱ αὐταὶ δὲ ἁπλῶς οὔ. τὰ δ' ἐὰν τὸ αὐτὸ*
*εἶδος ἔχοντα, ἐν οἷς τὸ μᾶλλον καὶ ἧττον ἐγγίγνεται, μήτε*
*μᾶλλον ᾖ μήτε ἧττον. τὰ δ' ἐὰν ᾖ τὸ αὐτὸ πάθος καὶ ἓν*

17. τοῦ ἄνθρωπος] τοῦ ἀνθρώπου **Tas**. | 18. παρὰ] περὶ **as**. | ἢ post τί om $A^b$. | καὶ om **T**. | 20. τὰ om $A^bF^b$. | 23. γοῦν **Tas**. | 24. οὔτε $A^b$ Alex **c**, τούτων **iasb**. | fort. λέγεται θάτερον, οὔτε ὡς ἀντίφασις, οὔτε ὡς τὰ πρός τι λεγόμενα, ἐναντία ἂν εἴη. cf. Obs. p. 101. | θάτερον λέγεται **T**. | 25. ἐναντίον **as**. | 26. λεγόμενα om $A^b$. | 28. ἢ τὸ ἀδιαίρετον om **i**. | 29. ἔτι $A^b$**i**. | δὴ Alex. | 30. τῶν ἐναντίων om $F^b$. | 31. τὸ ταὐτὸ] ταὐτὸ **T**, τὸ αὐτὸ **as**. | 32. τοῦ add $A^bF^b$. | 33. καὶ om **E**$F^b$**i**. | λέγομεν] ὃ λέγομεν **ET** Alex **ias**. | 34. αὐτό] ταὐτό Alex. | τὸ **ET** et fort. Alex, τοῦτο **ascb**. | 35. ἂν **asc**.

1054*b* 2. τὰ ἴσα καὶ om **T**. | τὰ ante ἰσογώνια om Alex. | 5. ὑποκειμένην **ETMias**. | ᾖ οἷον] ὥσπερ $A^b$. | 6. 7. αὗται μὲν γὰρ ὅμοιαι, ὅμοιαι δὲ αἱ αὐταὶ ἁπλῶς οὔ **T**. | 7. δὲ om $A^b$. | 7. 9. 11. 16. ἂν **c**. | 9. ᾖ μήτε] ἢ μήτε $A^b$.

Digitized by Google

*τῷ εἴδει, οἷον τὸ λευκόν, σφόδρα καὶ ἧττον, ὅμοιά φασιν εἶναι ὅτι ἓν τὸ εἶδος αὐτῶν. τὰ δ' ἐὰν πλείω ἔχῃ ταὐτὰ ἢ ἕτερα, ἢ ἁπλῶς ἢ τὰ πρόχειρα, οἷον καττίτερος ἀργύρῳ [ἢ χρυσῷ], χρυσὸς δὲ πυρὶ ᾗ ξανθὸν καὶ πυρρόν. ὥστε δῆλον*
199 *ὅτι καὶ τὸ ἕτερον καὶ τὸ ἀνόμοιον πολλαχῶς λέγεται. καὶ τὸ μὲν ἄλλο ἀντικειμένως καὶ τὸ ταὐτό, διὸ πᾶν πρὸς ἅπαν ἢ ταὐτὸ ἢ ἄλλο· τὸ δ' ἐὰν μὴ καὶ ἡ ὕλη καὶ ὁ λόγος εἷς, διὸ σὺ καὶ ὁ πλησίον ἕτερος· τὸ δὲ τρίτον ὡς τὰ ἐν τοῖς μαθηματικοῖς. τὸ μὲν οὖν ἕτερον ἢ ταὐτὸ διὰ τοῦτο πᾶν πρὸς πᾶν λέγεται, ὅσα λέγεται ἓν καὶ ὄν. οὐδὲ γὰρ ἀντίφασίς ἐστι τοῦ ταὐτοῦ· διὸ οὐ λέγεται ἐπὶ τῶν μὴ ὄντων (τὸ δὲ μὴ ταὐτὸ λέγεται), ἐπὶ δὲ τῶν ὄντων πάντων· ἢ γὰρ ἓν ἢ οὐχ ἓν πεφυκὸς καὶ ὂν καὶ ἕν. τὸ μὲν οὖν ἕτερον καὶ ταὐτὸν οὕτως ἀντίκειται, διαφορὰ δὲ καὶ ἑτερότης ἄλλο. τὸ μὲν γὰρ ἕτερον καὶ οὗ ἕτερον οὐκ ἀνάγκη εἶναι τινὶ ἕτερον· πᾶν γὰρ ἢ ἕτερον ἢ ταὐτὸ ὅ τι ἂν ᾖ ὄν· τὸ δὲ διάφορον τινὸς τινὶ διάφορον, ὥστ' ἀνάγκη ταὐτό τι εἶναι ᾧ διαφέρουσιν. τοῦτο δὲ τὸ ταὐτὸ ἢ γένος ἢ εἶδος· πᾶν γὰρ τὸ διαφέρον διαφέρει ἢ γένει ἢ εἴδει, γένει μὲν ὧν μὴ ἐστι κοινὴ ἡ ὕλη μηδὲ γένεσις εἰς ἄλληλα, οἷον ὅσων ἄλλο σχῆμα τῆς κατηγορίας, εἴδει δὲ ὧν τὸ αὐτὸ γένος. λέγεται δὲ γένος ὃ ἄμφω ταὐτὸ λέγονται κατὰ τὴν οὐσίαν τὰ διάφορα. τὰ δ' ἐναντία διάφορα, καὶ ἡ ἐναντίωσις διαφορά τις. ὅτι δὲ καλῶς τοῦτο ὑποτιθέμεθα, δῆλον ἐκ τῆς ἐπαγωγῆς· πάντα γὰρ διαφέροντά τε φαίνεται, καὶ ταῦτα οὐ μόνον ἕτερα ὄντα, ἀλλὰ τὰ μὲν τὸ γένος ἕτερα, τὰ δ' ἐν τῇ αὐτῇ συστοιχίᾳ τῆς κατηγορίας, ὥστ' ἐν ταὐτῷ γένει καὶ ταὐτὰ τῷ* 1055*a*
*γένει. διώρισται δ' ἐν ἄλλοις ποῖα τῷ γένει ταὐτὰ ἢ ἕτερα.*

10. post λευκόν non dist *cb*. | 11. τὰ πλείω Alex. | 12. ἢ τὰ ἕτερα *ET*. | ἢ ἕτερα, ἢ ἁπλῶς om Alex. | 13. ἢ χρυσῷ om Alex. | χρυσὸς δὲ πυρὶ ᾗ] πῦρ ἢ *E*, om *T*. | καὶ τὸ πυρρόν *ET*, ἢ πυρρόν Alex. | 14. τὸ ante ὅμοιον om *T*. | 15. αὐτό $TF^b$. | ἄπαν $A^b$. | 17. λόγος ἴδιος καὶ τὸ πλησιαίτερον. τὸ $A^b$ Alex. | τὸ πλησίον ἕτερον $TA^b$*asc*. | ἕτερον *i*. | 19. πρὸς ἅπαν $A^bF^b$. | λέγεται ἕν] καὶ ἓν Alex. | οὐ *ET* Alex. | 21. ἐπὶ δὲ] ἐπειδὴ *T*. | πάντων τῶν ὄντων $A^b$, τῶν πάντων ὄντων *c*. | 22. καὶ ante ὂν add *E*. | καὶ post ὂν om *T*. | 27. τὸ ταὐτὸ ἢ Alex *i*, τὸ ταὐτὸ *ET*, τὸ αὐτὸ *ascb*. | 30. λέγεται δὲ γένος om *c*. | ὃ] *quo i*. | 31. λέγεται $A^b$. | 31. 32. τὰ δ' ἐναντία διάφορα om *T*. | 32. διάφορα om *as*. | 34. fort. γὰρ τὰ διαφέροντα φαίνεται καὶ ταὐτά, οὐ (vel καὶ οὐ) μόνον ἕτερα ὄντα, coll. Alex. | τε et ταῦτα om $A^b$.

1055*a* 1. ταὐτὰ] ταῦτα *T*. | 1. 2. τῷ γένει $A^b$ Alex, τῷ εἴδει *iascb*, cf. Obs. p. 103.

Digitized by Google

4 Ἐπεὶ δὲ διαφέρειν ἐνδέχεται ἀλλήλων τὰ διαφέροντα πλεῖον καὶ ἔλαττον, ἔστι τις καὶ μεγίστη διαφορά, καὶ ταύτην λέγω ἐναντίωσιν. ὅτι δ' ἡ μεγίστη ἐστὶ διαφορά, δῆλον ἐκ τῆς ἐπαγωγῆς. τὰ μὲν γὰρ γένει διαφέροντα οὐκ ἔχει 200 ὁδὸν εἰς ἄλληλα, ἀλλ' ἀπέχει πλέον καὶ ἀσύμβλητα· τοῖς δ' εἴδει διαφέρουσιν αἱ γενέσεις ἐκ τῶν ἐναντίων εἰσὶν ὡς ἐσχάτων. τὸ δὲ τῶν ἐσχάτων διάστημα μέγιστον, ὥστε καὶ τὸ τῶν ἐναντίων. ἀλλὰ μὴν τό γε μέγιστον ἐν ἑκάστῳ γένει τέλειον. μέγιστόν τε γὰρ οὗ μή ἐστιν ὑπερβολή, καὶ τέλειον οὗ μή ἐστιν ἔξω λαβεῖν τι δυνατόν· τέλος γὰρ ἔχει ἡ τελεία διαφορά, ὥσπερ καὶ τἆλλα τῷ τέλος ἔχειν λέγεται τέλεια. τοῦ δὲ τέλους οὐθὲν ἔξω· ἔσχατον γὰρ ἐν παντὶ καὶ περιέχει. διὸ οὐθὲν ἔξω τοῦ τέλους, οὐδὲ προσδεῖται οὐθενὸς τὸ τέλειον. ὅτι μὲν οὖν ἡ ἐναντιότης ἐστὶ διαφορὰ τέλειος, ἐκ τούτων δῆλον· πολλαχῶς δὲ λεγομένων τῶν ἐναντίων, ἀκολουθήσει τὸ τελείως οὕτως ὡς ἂν καὶ τὸ ἐναντίοις εἶναι ὑπάρχῃ αὐτοῖς. τούτων δὲ ὄντων φανερὸν ὅτι οὐκ ἐνδέχεται ἑνὶ πλείω ἐναντία εἶναι· οὔτε γὰρ τοῦ ἐσχάτου ἐσχατώτερον εἴη ἄν τι, οὔτε τοῦ ἑνὸς διαστήματος πλείω δυοῖν ἔσχατα. ὅλως τε εἰ ἔστιν ἡ ἐναντιότης διαφορά, ἡ δὲ διαφορὰ δυοῖν, ὥστε καὶ ἡ τέλειος. ἀνάγκη δὲ καὶ τοὺς ἄλλους ὅρους ἀληθεῖς εἶναι τῶν ἐναντίων. καὶ γὰρ πλεῖστον διαφέρει ἡ τέλειος διαφορά. τῶν τε γὰρ γένει διαφερόντων οὐκ ἔστιν ἐξωτέρω λαβεῖν καὶ τῶν εἴδει· δέδεικται γὰρ ὅτι πρὸς τὰ ἔξω τοῦ γένους οὐκ ἔστι διαφορά· τούτων δ' αὕτη μεγίστη, καὶ τὰ ἐν ταὐτῷ γένει πλεῖστον διαφέροντα ἐναντία· μεγίστη γὰρ διαφορὰ τούτων ἡ τέλειος. καὶ τὰ ἐν ταὐτῷ δεκτικῷ πλεῖστον διαφέροντα ἐναντία· ἡ γὰρ ὕλη ἡ αὐτὴ τοῖς ἐναντίοις. καὶ τὰ ὑπὸ τὴν αὐτὴν δύναμιν πλεῖστον διαφέροντα· καὶ γὰρ ἡ ἐπιστήμη περὶ ἓν γένος ἡ μία, ἐν οἷς ἡ τελεία διαφορὰ μεγίστη. πρώτη δὲ ἐναντίωσις ἕξις καὶ στέρησίς ἐστιν· 201 οὐ πᾶσα δὲ στέρησις (πολλαχῶς γὰρ λέγεται ἡ στέρησις), ἀλλ' ἥτις ἂν τελεία ᾖ. τὰ δ' ἄλλα ἐναντία κατὰ ταῦτα

4. ἔστι] καὶ ἔστι $A^b$. | ἐστὶ om *as*. | διαφορά ἐστι *T*. | 6. οὐδὲ $A^b$. | 7. πλεῖστον Alex. | 9. τὸ δ' ἔσχατον *δ*. *as*. | 11. τε] μὲν *as*. | 12. τέλειον post ἔξω iterant *as*. | 13. τελεία] τοιαύτη *T*. | 17. τούτου *Tas*. | 18. τοῦ $A^b$. | 19. ὑπάρχει *Ta*, ὑπάρχοι *s*. | 20. τοῦ om *E*. | 21. διαστήματα *as*. | 22. τε] δὲ $A^b$ Alex. | 23. ἡ] εἰ *T*. | καὶ om *i*. | 26. γὰρ om *ias*. | 28. τούτω *T*. | ἐναντία *E* Alex, τἀναντία *ascb*. | 30. ἐναντία om *ET*. | 33. ἐναντιότης $F^b$, ἐναντίως *T*. | 35. εἴτις *T*. | ταὐτὰ *as*.

Digitized by Google

λεχθήσεται, τὰ μὲν τῷ ἔχειν, τὰ δὲ τῷ ποιεῖν ἢ ποιητικὰ εἶναι, τὰ δὲ τῷ λήψεις εἶναι καὶ ἀποβολαὶ τȣ́των ἢ ἄλλων ἐναντίων. εἰ δὴ ἀντίκειται μὲν ἀντίφασις καὶ στέρησις καὶ ἐναντιότης καὶ τὰ πρός τι, τȣ́των δὲ πρῶτον ἀντίφασις, ἀν- 1055*b* τιφάσεως δὲ μηθὲν ἐϛι μεταξύ, τῶν δὲ ἐναντίων ἐνδέχεται, ὅτι μὲν ȣ̓ ταὐτὸν ἀντίφασις καὶ τἀναντία δῆλον. ἡ δὲ ϛέρησις ἀντίφασίς τίς ἐστιν· ἢ γὰρ τὸ ἀδύνατον ὅλως ἔχειν, ἢ ὃ ἂν πεφυκὸς ἔχειν μὴ ἔχῃ, ἐστέρηται ἢ ὅλως ἢ πὼς ἀφορισθέν· πολλαχῶς γὰρ ἤδη τοῦτο λέγομεν, ὥσπερ διῄρηται ἡμῖν ἐν ἄλλοις. ὥς' ἔϛιν ἡ ϛέρησις ἀντίφασίς τις ἢ ἀδυναμία διορισθεῖσα ἢ συνειλημμένη τῷ δεκτικῷ. διὸ ἀντιφάσεως μὲν ȣ̓κ ἔϛι μεταξύ, ϛερήσεως δέ τινός ἐϛιν· ἴσον μὲν γὰρ ἢ ȣ̓κ ἴσον πᾶν, ἴσον δ' ἢ ἄνισον ȣ̓ πᾶν, ἀλλ' εἴπερ, μόνον ἐν τῷ δεκτικῷ τοῦ ἴσȣ. εἰ δὴ αἱ γενέσεις τῇ ὕλῃ ἐκ τῶν ἐναντίων, γίγνονται δὲ ἢ ἐκ τȣ͂ εἴδȣς καὶ τῆς τȣ͂ εἴδους ἕξεως ἢ ἐκ ϛερήσεώς τινος τȣ͂ εἴδȣς καὶ τῆς μορφῆς, δῆλον ὅτι ἡ μὲν ἐναντίωσις ϛέρησις ἄν τις εἴη πᾶσα, ἡ δὲ ϛέρησις ἴσως ȣ̓ πᾶσα ἐναντιότης. αἴτιον δ' ὅτι πολλαχῶς ἐνδέχεται ἐϛερῆσθαι τὸ ἐϛερημένον· ἐξ ὧν γὰρ αἱ μεταβολαὶ ἐσχάτων, ἐναντία ταῦτα. φανερὸν δὲ καὶ διὰ τῆς ἐπαγωγῆς. πᾶσα γὰρ ἐναντίωσις ἔχει στέρησιν θατέρου τῶν ἐναντίων. ἀλλ' οὐχ ὁμοίως πάντα· ἀνισότης μὲν γὰρ ἰσότητος, ἀνομοιότης δὲ ὁμοιότητος, κακία δὲ ἀρετῆς. διαφέρει δὲ ὥσπερ εἴρηται· τὸ μὲν γὰρ ἐὰν μόνον ᾖ ἐϛερημένον, τὸ δ' ἐὰν ᾖ 202 ποτὲ ἢ ἔν τινι, οἷον ἂν ἐν ἡλικίᾳ τινὶ ἢ τῷ κυρίῳ ἢ πάντῃ. διὸ τῶν μὲν ἔϛι μεταξύ, καὶ ἔϛιν ȣ̓́τε ἀγαθὸς ἄνθρωπος ȣ̓́τε κακός, τῶν δὲ οὐκ ἔστιν, ἀλλ' ἀνάγκη εἶναι ἢ περιττὸν ἢ ἄρτιον, ὅτι τὰ μὲν ἔχει τὸ ὑποκείμενον ὡρισμένον, τὰ δ' οὔ. ὥστε φανερὸν ὅτι ἀεὶ θάτερον τῶν ἐναντίων λέγεται κατὰ ϛέρησιν· ἀπόχρη δὲ κἂν τὰ πρῶτα καὶ τὰ γένη τῶν ἐναντίων, οἷον τὸ ἓν καὶ τὰ πολλά· τὰ γὰρ ἄλλα εἰς ταῦτα ἀνάγεται.

5 Ἐπεὶ δ' ἓν ἑνί ἐστιν ἐναντίον, ἀπορήσειεν ἄν τις πῶς

37. λείψεις *ETas*.
1055*b* 3. μὲν] μὲν οὖν *as*. | post δῆλον comma et 4. post ἐστιν punctum *b*. | 6. πολλαχῶς ἀφορισθὲν *T*. | ἤδη om Alex. | λέγεται Alex. | 7. ante ἢ comma *cb*. | 11. αἱ μὲν γενέσεις $F^b$. | 13. ἐκ om *ET*. | 14. τις om $A^b$. | 16. αἱ om *T*. | 18. ἐναντιότης Alex. | θάτερον $A^b$ Alex, fort. recte. | 20. ἀνομοιότητος *T*. | 21. μόνον ἐὰν *T*. | 22. ἂν om $A^b$. | 24. ἀλλ' om *T*. | 25. ὅτι coni. ex Alex, ἔτι *iascb*. | 30. ἐστιν om $A^b$.

Digitized by Google

ἀντίκειται τὸ ἓν καὶ τὰ πολλὰ καὶ τὸ ἴσον τῷ μεγάλῳ
καὶ τῷ μικρῷ. τὸ γὰρ πότερον ἀεὶ ἐν ἀντιθέσει λέγομεν,
οἷον πότερον λευκὸν ἢ μέλαν. καὶ πότερον λευκὸν ἢ οὐ λευ-
κόν· πότερον δὲ ἄνθρωπος ἢ λευκὸν οὐ λέγομεν. ἐὰν μὴ ἐξ
ὑποθέσεως καὶ ζητοῦντες οἷον πότερον ἦλθε Κλέων ἢ Σωκρά-
της. ἀλλ' οὐκ ἀνάγκη ἐν οὐδενὶ γένει τοῦτο. ἀλλὰ καὶ τοῦτο
ἐκεῖθεν ἐλήλυθεν· τὰ γὰρ ἀντικείμενα μόνα οὐκ ἐνδέχεται
ἅμα ὑπάρχειν· ᾧ καὶ ἐνταῦθα χρῆται ἐν τῷ πότερος ἦλ-
1056a θεν· εἰ γὰρ ἅμα ἐνεδέχετο, γελοῖον τὸ ἐρώτημα. εἰ δέ, καὶ
οὕτως ὁμοίως ἐμπίπτει εἰς ἀντίθεσιν, εἰς τὸ ἓν ἢ πολλά,
οἷον πότερον ἀμφότεροι ἦλθον ἢ ἅτερος. εἰ δὴ ἐν τοῖς ἀντι-
κειμένοις ἀεὶ τοῦ ποτέρου ἡ ζήτησις, λέγεται δὲ πότερον μεῖ-
ζον ἢ ἔλαττον ἢ ἴσον, τίς ἐστιν ἡ ἀντίθεσις πρὸς ταῦτα τοῦ
ἴσου; οὔτε γὰρ θατέρῳ μόνῳ ἐναντίον οὔτ' ἀμφοῖν· τί γὰρ
μᾶλλον τῷ μείζονι ἢ τῷ ἐλάττονι; ἔτι τῷ ἀνίσῳ ἐναντίον
τὸ ἴσον· ὥστε πλείοσιν ἔσται ἢ ἑνί. εἰ δὲ τὸ ἄνισον ση-
μαίνει τὸ αὐτὸ ἅμα ἀμφοῖν, εἴη μὲν ἂν ἀντικείμενον ἀμ-
φοῖν, καὶ ἡ ἀπορία βοηθεῖ τοῖς φάσκουσι τὸ ἄνισον δυάδα
εἶναι· ἀλλὰ συμβαίνει ἓν δυοῖν ἐναντίον· ὅπερ ἀδύνατον. 203
ἔτι τὸ μὲν ἴσον μεταξὺ φαίνεται μεγάλου καὶ μικροῦ, ἐναν-
τίωσις δὲ μεταξὺ οὔτε φαίνεται οὔτε ἐκ τοῦ ὁρισμοῦ δυνατόν·
οὐ γὰρ ἂν εἴη τελεία μεταξύ τινος οὖσα, ἀλλὰ μᾶλλον ἔχει
ἀεὶ ἑαυτῆς τι μεταξύ. λείπεται δὴ ἢ ὡς ἀπόφασιν ἀντι-
κεῖσθαι ἢ ὡς στέρησιν. θατέρου μὲν δὴ οὐκ ἐνδέχεται· τί γὰρ
μᾶλλον τοῦ μεγάλου ἢ μικροῦ; ἀμφοῖν ἄρα ἀπόφασις στε-
ρητική. διὸ καὶ πρὸς ἀμφότερα τὸ πότερον λέγεται, πρὸς
δὲ θάτερον οὔ, οἷον πότερον μεῖζον ἢ ἴσον, ἢ πότερον ἴσον ἢ
ἔλαττον· ἀλλ' ἀεὶ τρία. οὐ στέρησις δὲ ἐξ ἀνάγκης· οὐ γὰρ
πᾶν ἴσον ὃ μὴ μεῖζον ἢ ἔλαττον, ἀλλ' ἐν οἷς πέφυκεν
ἐκεῖνα. ἔστι δὴ τὸ ἴσον τὸ μήτε μέγα μήτε μικρόν, πεφυ-

31. post πολλὰ add τὰ γὰρ ἄλλα εἰς ταῦτα ἀνάγεται **as**. | 32. τῷ om $A^b$. | τὸ γὰρ] εἰ γὰρ τὸ $A^b$ et γρ *E* et fort. Alex. | ἐν ἀντιθέσει ἀεὶ **as**. | 36. οὐ κατ' ἀνάγκην γρ *E*. | 38. ἦλθεν] ἐλθεῖν $TA^b$**as**.

1056**a** 1. ante καὶ videtur distinxisse Alex, post 2. οὕτως dist **iascb**. | 2. ὅμως *E*, ὁ μὲν *T*. | ἐκπίπτει $A^b$**as**. | 7. μᾶλλον ἢ τῷ *ET***as**. | 8. ὥστ' ἐν πλ. *ET***as**. | ἢ ἐν ἑνὶ *E*. | 9. ἅμα om $A^b$. | ἂν add *E*. | 10. βοήθεια $A^b$. | πάσχουσι **a**. | 11. ἐναντίων **c**. | 12. φαίνεται καὶ μεγάλου καὶ *T*. | 13. δὲ οὐδεμία μεταξὺ $A^b$**as**. | 15. αὕτη $A^b$. | μεταξύ] μεταξύ τινος οὖσα *ET*. | 16. ὡς om $F^b$. | 20. τρία οὐ. στέρησις *T*. | 21. ὃ μὴ] ἢ Alex.

Digitized by Google

κὸς δὲ μέγα ἢ μικρὸν εἶναι· καὶ ἀντίκειται ἀμφοῖν ὡς ἀπόφασις στερητική, διὸ καὶ μεταξύ ἐστιν. καὶ τὸ μήτ' ἀγαθὸν μήτε κακὸν ἀντίκειται ἀμφοῖν, ἀλλ' ἀνώνυμον· πολλαχῶς γὰρ λέγεται ἑκάτερον καὶ οὐκ ἔστιν ἓν τὸ δεκτικόν, ἀλλὰ μᾶλλον τὸ μήτε λευκὸν μήτε μέλαν. ἓν δὲ οὐδὲ τοῦτο λέγεται, ἀλλ' ὡρισμένα πως τὰ χρώματα ἐφ' ὧν λέγεται στερητικῶς ἡ ἀπόφασις αὕτη· ἀνάγκη γὰρ ἢ φαιὸν ἢ ὠχρὸν εἶναι ἢ τοιοῦτόν τι ἄλλο. ὥστε οὐκ ὀρθῶς ἐπιτιμῶσιν οἱ νομίζοντες ὁμοίως λέγεσθαι πάντα, ὥστε ἔσεσθαι ὑποδήματος καὶ χειρὸς μεταξὺ τὸ μήτε ὑπόδημα μήτε χεῖρα, εἴπερ καὶ τὸ μήτε ἀγαθὸν μήτε κακὸν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, ὡς πάντων ἐσομένου τινὸς μεταξύ. οὐκ ἀνάγκη δὲ τοῦτο συμβαίνειν. ἡ μὲν γὰρ ἀντικειμένων συναπόφασίς ἐστιν ὧν ἔστι μεταξύ τι καὶ διάστημά τι πέφυ-
204κεν εἶναι· τῶν δ' οὐκ ἔστι διαφορά· ἐν ἄλλῳ γὰρ γένει ὧν 1056*b*
αἱ συναποφάσεις, ὥστ' οὐχ ἓν τὸ ὑποκείμενον.

6 Ὁμοίως δὲ καὶ περὶ τοῦ ἑνὸς καὶ τῶν πολλῶν ἀπορήσειεν ἄν τις. εἰ γὰρ τὰ πολλὰ τῷ ἑνὶ ἁπλῶς ἀντίκειται, συμβαίνει ἔνια ἀδύνατα. τὸ γὰρ ἓν ὀλίγον ἢ ὀλίγα ἔσται· τὰ γὰρ πολλὰ καὶ τοῖς ὀλίγοις ἀντίκειται. ἔτι τὰ δύο πολλά, εἴπερ τὸ διπλάσιον πολλαπλάσιον, λέγεται δὲ κατὰ τὰ δύο διπλάσια· ὥστε τὸ ἓν ὀλίγον· πρὸς τί γὰρ πολλὰ τὰ δύο εἰ μὴ πρὸς ἕν τε καὶ τὸ ὀλίγον; οὐθὲν γάρ ἐστιν ἔλαττον. ἔτι ὡς ἐν μήκει τὸ μακρὸν καὶ βραχύ, οὕτως ἐν πλήθει τὸ πολὺ καὶ ὀλίγον, καὶ ὃ ἂν ᾖ πολὺ καὶ πολλά, καὶ τὰ πολλὰ πολύ. εἰ μή τι ἄρα διαφέρει ἐν συνεχεῖ εὐορίστῳ, τὸ ὀλίγον πλῆθός τι ἔσται. ὥστε τὸ ἓν πλῆθός τι, εἴπερ καὶ ὀλίγον· τοῦτο δ' ἀνάγκη, εἰ τὰ δύο πολλά. ἀλλ' ἴσως τὰ πολλὰ λέγεται μέν πως καὶ [τὸ] πολύ, ἀλλ' ὡς

23. post δὲ add ἢ $A^b$*cb*. | 24. ἀποφ. στ.] στερητικὴ στέρησις γρ Alex. | 24. 25. μήτε κακὸν μήτ' ἀγαθὸν *ETasc*. | 28. οὖ *ET*. | τὰ χρώματα om $A^b$. | 30. ἄλλο] ἄλλο ὡρισμένον $A^b$*ias*. | 31. 32. ἔσεσθαι] λέγεσθαι γρ *E*. | 33. ἐπείπερ $A^b$*as*. | 34. τοῦ om $A^b$. | 35. ἀνάγκη δ. τ. συμβαίνει *as*. | 36. ὧν] καὶ ὧν Alex *i*.

1056*b* 2. post συναπ. add εἰσὶν Alex. | 4. ἀντίκεινται *ET*. | 7. post πολλαπλάσιον add καὶ οὕτως *as*. | 7. 8. κατὰ τὰ *Ei* et fort. Alex, κατὰ *T*, καὶ τὰ *ascb*. | 8. διπλάσια om *ET*. | 9. καὶ πρὸς τὸ $A^b$. | 10. ἔτι εἰ ὡς *ETias*, ἔτι ὥσπερ Alex. | καὶ τὸ βρ. Alex. | 11. καὶ τὸ ὀλίγον *TMa*. | 12. ἐν] ἐπὶ Alex. | 13. ἀορίστῳ *T* Alex *as*. | ante τὸ ὀλίγ. dist Alex, post τὸ ὀλίγ. *icb*. | τι] τι ἔσται *E*, τι ἔστιν *Tas*. | 14. εἰ] ἢ *a*. | 15. μέν πως] μὲν ὡς *ETias*. | τὸ ante πολὺ omittendum c. Alex.

Digitized by Google

*διαφέρον, οἷον ὕδωρ πολύ, πολλὰ δ' οὔ. ἀλλ' ὅσα διαιρετά, ἐν τούτοις λέγεται, ἕνα μὲν τρόπον ἐὰν ᾖ πλῆθος ἔχον ὑπεροχὴν ἢ ἁπλῶς ἢ πρός τι, καὶ τὸ ὀλίγον ὡσαύτως πλῆθος ἔχον ἔλλειψιν, τὸ δὲ ὡς ἀριθμός, ὃ καὶ ἀντίκειται τῷ ἑνὶ μόνον. οὕτως γὰρ λέγομεν ἓν ἢ πολλά, ὥσπερ εἴ τις εἴποι ἓν καὶ ἕνα ἢ λευκὸν καὶ λευκά, καὶ τὰ μεμετρημένα πρὸς τὸ μέτρον καὶ τὸ μετρητόν. οὕτως καὶ τὰ πολλαπλάσια λέγεται· πολλὰ γὰρ ἕκαστος ἀριθμὸς ὅτι ἕνα καὶ ὅτι μετρητὸς ἑνὶ ἕκαστος, καὶ ὡς τὸ ἀντικείμενον τῷ ἑνί, οὐ τῷ ὀλίγῳ. οὕτω μὲν οὖν ἐστὶ πολλὰ καὶ τὰ δύο, ὡς δὲ πλῆθος ἔχον ὑπεροχὴν ἢ πρός τι ἢ ἁπλῶς οὐκ ἔστιν, ἀλλὰ πρῶτον. ὀλίγα δ' ἁπλῶς τὰ δύο· πλῆθος γάρ ἐστιν ἔλλειψιν ἔχον πρῶτον. διὸ καὶ οὐκ ὀρθῶς ἀπέστη Ἀναξαγόρας εἰπὼν* 205
*ὅτι ὁμοῦ πάντα χρήματα ἦν ἄπειρα καὶ πλήθει καὶ μικρότητι· ἔδει δ' εἰπεῖν ἀντὶ τοῦ «καὶ μικρότητι» καὶ ὀλιγότητι· οὐ γὰρ ἄπειρα, ἐπεὶ τὸ ὀλίγον οὐ διὰ τὸ ἕν, ὥσπερ τινές φασιν, ἀλλὰ διὰ τὰ δύο. ἀντίκειται δὴ τὸ ἓν καὶ τὰ πολλὰ τὰ ἐν ἀριθμοῖς ὡς μέτρον μετρητῷ· ταῦτα δὲ ὡς τὰ πρός τι, ὅσα μὴ καθ' αὑτὰ τῶν πρός τι. διῄρηται δ' ἡμῖν ἐν ἄλλοις ὅτι διχῶς λέγεται τὰ πρός τι, τὰ μὲν ὡς ἐναντία, τὰ δ' ὡς ἐπιστήμη πρὸς ἐπιστητόν, τῷ λέγεσθαί τι*
1057*a* *ἄλλο πρὸς αὐτό. τὸ δὲ ἓν ἔλαττον εἶναι τινός, οἷον τοῖν δυοῖν, οὐθὲν κωλύει· οὐ γὰρ εἰ ἔλαττον καὶ ὀλίγον. τὸ δὲ πλῆθος οἷον γένος ἐστὶ τοῦ ἀριθμοῦ· ἔστι γὰρ ἀριθμὸς πλῆθος ἑνὶ μετρητόν. καὶ ἀντίκειταί πως τὸ ἓν καὶ ἀριθμός, οὐχ ὡς ἐναντίον, ἀλλ' ὥσπερ εἴρηται τῶν πρός τι ἔνια· ᾗ γὰρ μέτρον, τὸ δὲ μετρητόν, ταύτῃ ἀντίκειται. διὸ οὐ πᾶν ὃ ἂν ᾖ ἓν ἀριθμός ἐστιν, οἷον εἴ τι ἀδιαίρετόν ἐστιν. ὁμοίως δὲ λεγομένη ἡ ἐπιστήμη πρὸς τὸ ἐπιστητὸν οὐχ ὁμοίως ἀποδίδωσιν·*

18. ἢ ante ἁπλῶς om $A^b$. | 19. καὶ om *Ti*. | 21. λευκά] λευκόν *T*. | πρὸς] καὶ Alex. | 21. 22. fort. τὰ μεμετρημένα καὶ τὸ μετρητὸν πρὸς τὸ μέτρον. | 23. λέγεται] λέγεται πολλά $A^b$*ias*, fort. recte. | ἕκαστος ὁ ἀριθμὸς, *unusquisque uno numerus i*. | ἓν *ET*, ἑνὸς *as*. | 24. ἑνὶ om *i*. | 28. καὶ om *ET*$F^b$. | ἀπέστη — εἰπὼν] *fuerit dicens i*. | 32. ante ἀντίκειται add ἀντίκειται δὴ (δὲ *s*) καὶ οὕτως. *as*. | δὲ *T*. | ἓν — 33. ἀριθμοῖς] ἓν τοῖς πολλοῖς *ET*. | τὰ πολλὰ] τὸ πολὺ Alex. | 33. post ἀριθμοῖς add ἓν τὸ τοῖς πολλοῖς *as*. | ταῦτα] τὰ *ET*. | 34. ὅσα — τι om $A^b$. | διῄρηται — 35. τι om *T*. | 36. τῷ] τὸ *T*.

1057*a* 1. αὐτά *as*. | 3. οἷον] οἷον ὡς *ET*$F^b$*a*, ὡς *s*. | 4. ὁ ἀριθμός *as*. | ὡς] ὧ *T*.

Digitized by Google

δόξειε μὲν γὰρ ἂν μέτρον ἡ ἐπιςήμη εἶναι, τὸ δ' ἐπιςητὸν τὸ μετρέμενον, συμβαίνει δ' ἐπιςήμην μὲν πᾶσαν ἐπιςητὸν εἶναι, τὸ δ' ἐπιςητὸν μὴ πᾶν ἐπιςήμην, ὅτι τρόπον τινὰ ἡ ἐπιστήμη μετρεῖται τῷ ἐπιστητῷ. τὸ δὲ πλῆθος οὔτε τῷ ὀλίγῳ ἐναντίον, ἀλλὰ τέτῳ μὲν τὸ πολὺ ὡς ὑπερέχον πλῆθος ὑπερεχομένῳ πλήθει, ὄτε τῷ ἑνὶ πάντως· ἀλλὰ τὸ μὲν ὥσπερ εἴρηται, ὅτι διαιρετὸν τὸ δ' ἀδιαίρετον, τὸ δ' ὡς πρός τι, ὥσπερ ἡ ἐπιςήμη ἐπιςητῷ, ἐὰν ᾖ ἀριθμός, τὸ δ' ἓν μέτρον.

7 Ἐπεὶ δὲ τῶν ἐναντίων ἐνδέχεται εἶναί τι μεταξὺ καὶ
206 ἐνίων ἔςιν, ἀνάγκη ἐκ τῶν ἐναντίων εἶναι τὰ μεταξύ. πάντα γὰρ τὰ μεταξὺ ἐν τῷ αὐτῷ γένει ἐςὶ καὶ ὧν ἐςὶ μεταξύ. μεταξὺ μὲν γὰρ ταῦτα λέγομεν εἰς ὅσα μεταβάλλειν ἀνάγκη πρότερον τὸ μεταβάλλον· οἷον ἀπὸ τῆς ὑπάτης ἐπὶ τὴν νήτην εἰ μεταβαίνοι τῷ ὀλιγίςῳ, ἥξει πρότερον εἰς τὲς μεταξὺ φθόγγους, καὶ ἐν χρώμασιν εἰ ἥξει ἐκ τῦ λευκοῦ εἰς τὸ μέλαν, πρότερον ἥξει εἰς τὸ φοινικῦν καὶ φαιὸν ἢ εἰς τὸ μέλαν· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων. μεταβάλλειν δ' ἐξ ἄλλε γένες εἰς ἄλλο γένος οὐκ ἔςιν ἀλλ' ἢ κατὰ συμβεβηκός, οἷον ἐκ χρώματος εἰς σχῆμα. ἀνάγκη ἄρα τὰ μεταξὺ καὶ αὐτοῖς καὶ ὧν μεταξύ εἰσιν ἐν τῷ αὐτῷ γένει εἶναι. ἀλλὰ μὴν πάντα γε τὰ μεταξύ ἐστιν ἀντικειμένων τινῶν· ἐκ τούτων γὰρ μόνων καθ' αὑτά ἔστι μεταβάλλειν. διὸ ἀδύνατον εἶναι μεταξὺ μὴ ἀντικειμένων· εἴη γὰρ ἂν μεταβολὴ καὶ μὴ ἐξ ἀντικειμένων. τῶν δ' ἀντικειμένων ἀντιφάσεως μὲν ὀκ ἔςι μεταξύ· τῦτο γάρ ἐςιν ἀντίφασις, ἀντίθεσις ἧς ὁτῳῦν θάτερον μόριον πάρεςιν, ὀκ ἐχέσης ὀθὲν μεταξύ. τῶν δὲ λοιπῶν τὰ μὲν πρός τι, τὰ δὲ ςέρησις, τὰ δ' ἐναντία ἐςίν. τῶν δὲ πρός τι ὅσα μὴ ἐναντία, οὐκ ἔχει μεταξύ. αἴτιον δ' ὅτι οὐκ ἐν τῷ αὐτῷ γένει ἐστίν. τί γὰρ ἐπιςήμης καὶ ἐπιστητῦ μεταξύ; ἀλλὰ μεγάλε καὶ μικρῦ. 1057*b*

10. ἐπιστητὸν] ἐπιστητὴν $A^b$. | 13. τοῦτο T. | ὑπάρχον as. | 14. ὑπ. τῷ πλήθει T. | μὲν] μὲν ἓν $A^b$. | 15. δ' prius om E. | τὸ δ' ante ὡς om i. | 16. post ἐπιστητῷ distinxi c. Alex, post ἀριθμός colon ponunt iascb. | 17. μέτρον] fort. καὶ μέτρον c. Alex. | 18. τι om $TA^b$. | 19. τὰ om T. | 21. ὅσα] ἃ T. | 22. πρότερον ἀνάγκη ETas. | 23. ὀλιγίστῳ] ὀλιγίστῳ λόγῳ ET, ὀλίγῳ χρόνῳ as. | 29. καὶ ante αὐτοῖς om $A^b$. | αὑτοῖς as. | 31. μόνον $A^b$. | αὑτὸ as. | 35. ἧς] καὶ ἧς as. | μόριον θάτερον as. | οὐκ om as. | 36. post μεταξύ add ἧς ὁτῳοῦν θάτερον μόριον ὂν τὸ ναὶ ἢ τὸ οὒ πάρεστιν οὐκ ἐχούσης οὐθὲν μεταξύ as. | 37. 38. ἔχει τὰ μεταξύ E.

Digitized by Google

*εἰ δ' ἐστὶν ἐν ταὐτῷ γένει τὰ μεταξύ, ὥσπερ δέδεικται, καὶ μεταξὺ ἐναντίων, ἀνάγκη αὐτὰ συγκεῖσθαι ἐκ τούτων τῶν ἐναντίων. ἢ γὰρ ἔσται τι γένος αὐτῶν ἢ οὐθέν. καὶ εἰ μὲν γένος ἔσται οὕτως ὥστ' εἶναι πρότερόν τι τῶν ἐναντίων, αἱ διαφοραὶ πρότεραι ἐναντίαι ἔσονται αἱ ποιήσασαι τὰ ἐναντία* 207 *εἴδη ὡς γένους· ἐκ γὰρ τοῦ γένους καὶ τῶν διαφορῶν τὰ εἴδη. οἷον εἰ τὸ λευκὸν καὶ μέλαν ἐναντία, ἔστι δὲ τὸ μὲν διακριτικὸν χρῶμα τὸ δὲ συγκριτικὸν χρῶμα, αὗται αἱ διαφοραὶ τὸ διακριτικὸν καὶ συγκριτικὸν πρότεραι· ὥστε ταῦτα ἐναντία ἀλλήλοις πρότερα. ἀλλὰ μὴν τά γ' ἐναντίως διαφέροντα μᾶλλον ἐναντία, καὶ τὰ λοιπὰ καὶ τὰ μεταξὺ ἐκ τοῦ γένους ἔσται καὶ τῶν διαφορῶν· οἷον ὅσα χρώματα τοῦ λευκοῦ καὶ μέλανός ἐστι μεταξύ, ταῦτα δεῖ ἐκ τοῦ γένους λέγεσθαι (ἔστι δὲ γένος τὸ χρῶμα) καὶ ἐκ διαφορῶν τινῶν. αὗται δ' οὐκ ἔσονται τὰ πρῶτα ἐναντία· εἰ δὲ μή, ἔσται ἕκαστον ἢ λευκὸν ἢ μέλαν. ἕτεραι ἄρα· μεταξὺ ἄρα τῶν πρώτων ἐναντίων αὗται ἔσονται. αἱ πρῶται δὲ διαφοραὶ τὸ διακριτικὸν καὶ συγκριτικόν. ὥστε ταῦτα πρῶτα ζητητέον ὅσα ἐναντία μὴ ἐν γένει, ἐκ τίνος τὰ μεταξὺ αὐτῶν. ἀνάγκη γὰρ τὰ ἐν ταὐτῷ γένει ἐκ τῶν ἀσυνθέτων τῷ γένει συγκεῖσθαι ἢ ἀσύνθετα εἶναι. τὰ μὲν οὖν ἐναντία ἀσύνθετα ἐξ ἀλλήλων, ὥστ' ἀρχαί· τὰ δὲ μεταξὺ ἢ πάντα ἢ οὐθέν. ἐκ δὲ τῶν ἐναντίων γίγνεταί τι, ὥστ' ἔσται μεταβολὴ εἰς τοῦτο πρὶν ἢ εἰς αὐτά· ἑκατέρου γὰρ καὶ ἧττον ἔσται καὶ μᾶλλον. μεταξὺ ἄρα ἔσται καὶ τοῦτο τῶν ἐναντίων. καὶ τἆλλα ἄρα πάντα σύνθετα τὰ μεταξύ· τὸ γὰρ τοῦ μὲν μᾶλλον τοῦ δ' ἧττον σύνθετόν πως ἐξ ἐκείνων ὧν λέγεται εἶναι τοῦ μὲν μᾶλλον τοῦ δ' ἧττον. ἐπεὶ δ' οὐκ ἔστιν ἕτερα πρότερα ὁμογενῆ τῶν ἐναντίων, ἅπαντ' ἂν ἐκ τῶν ἐναντίων εἴη τὰ μεταξύ. ὥστε καὶ τὰ κάτω πάντα, καὶ τἀναντία καὶ τὰ μεταξύ, ἐκ τῶν πρώτων ἐναντίων ἔσονται. ὅτι μὲν οὖν τὰ μεταξὺ ἐν*

1057*b* 2. ταὐτῷ] αὐτῷ **asc.** | 3. καὶ αὐτὰ **as.** | 5. ἔσται] fort. ἔστιν. | 6. πρότερον **ET.** | 7. εἴδει **a.** | ὡς εἴδη γ. 8, γένους ὡς εἴδη **c.** | γένους. ἐκ] γένη. εἰ **T.** | 8. τἀναντία **ET.** | 10. ὥστε — 11. πρότερα om **T.** | ταῦτα τὰ ἐν. **as.** | 11. πρότερον **E.** | ἐναντία δ. **as.** | 13. χρώματος **T.** | 14. δεῖ] δὴ **T.** | ἔκ τε τοῦ **Tas.** | 17. ἄρα ante τῶν om **T.** | 18. δὲ] γρ καὶ χωρὶς τοῦ δέ συνδέσμου, ἵνα στίζωμεν μέχρι τοῦ διαφοραί margo **E.** | 19. συγκριτικὸν καὶ ὥστε **T.** | 23. ὥστ' ἀρχαί] *propterea quod principia sunt* **i.** | 27. τὰ om **T.** | 28. πῶς δ' ἐξ **T.** | 29. δ' οὐκ] οὖν οὐκ **E.**

Digitized by Google

208τε ταὐτῷ γένει πάντα καὶ μεταξὺ ἐναντίων καὶ σύγκειται
ἐκ τῶν ἐναντίων ἅπαντα, δῆλον.
8 Τὸ δ' ἕτερον τῷ εἴδει τινὸς τὶ ἕτερόν ἐστι, καὶ δεῖ τοῦτο
ἀμφοῖν ὑπάρχειν· οἷον εἰ ζῷον ἕτερον τῷ εἴδει, ἄμφω ζῷα.
ἀνάγκη ἄρα ἐν γένει τῷ αὐτῷ εἶναι τὰ ἕτερα τῷ εἴδει. τὸ
γὰρ τοιοῦτον γένος καλῶ, ὃ ἄμφω ἓν ταὐτὸ λέγεται, μὴ
κατὰ συμβεβηκὸς ἔχον διαφοράν, εἴθ' ὡς ὕλη ὂν εἴτ' ἄλ- 1058*a*
λως. οὐ μόνον γὰρ δεῖ τὸ κοινὸν ὑπάρχειν, οἷον ἄμφω ζῷα,
ἀλλὰ καὶ ἕτερον ἑκατέρῳ τοῦτο αὐτὸ τὸ ζῷον, οἷον τὸ μὲν
ἵππον τὸ δὲ ἄνθρωπον· διὸ τοῦτο τὸ κοινὸν ἕτερον ἀλλήλων
ἐστὶ τῷ εἴδει. ἔσται δὴ καθ' αὑτὰ τὸ μὲν τοιονδὶ ζῷον τὸ δὲ
τοιονδί, οἷον τὸ μὲν ἵππος τὸ δ' ἄνθρωπος. ἀνάγκη ἄρα τὴν
διαφορὰν ταύτην ἑτερότητα τοῦ γένους εἶναι. λέγω γὰρ γένους
διαφορὰν ἑτερότητα ἣ ἕτερον ποιεῖ τοῦτο αὐτό. ἐναντίωσις
τοίνυν ἔσται αὕτη. δῆλον δὲ καὶ ἐκ τῆς ἐπαγωγῆς. πάντα
γὰρ διαιρεῖται τοῖς ἀντικειμένοις, καὶ ὅτι τἀναντία ἐν ταὐτῷ
γένει, δέδεικται· ἡ γὰρ ἐναντιότης ἦν διαφορὰ τελεία, ἡ
δὲ διαφορὰ ἡ εἴδει πᾶσα τινὸς τί· ὥστε τοῦτο τὸ αὐτό τε
καὶ γένος ἐπ' ἀμφοῖν. διὸ καὶ ἐν τῇ αὐτῇ συστοιχίᾳ πάντα
τὰ ἐναντία τῆς κατηγορίας, ὅσα εἴδει διάφορα καὶ μὴ γένει,
ἕτερά τε ἀλλήλων μάλιστα· τελεία γὰρ ἡ διαφορά, καὶ
ἅμα ἀλλήλοις οὐ γίγνεται. ἡ ἄρα διαφορὰ ἐναντίωσίς ἐστιν.
τοῦτο ἄρα ἐστὶ τὸ ἑτέροις εἶναι τῷ εἴδει, τὸ ἐν ταὐτῷ γένει
ὄντα ἐναντίωσιν ἔχειν ἄτομα ὄντα. ταὐτὰ δὲ τῷ εἴδει, ὅσα
μὴ ἔχει ἐναντίωσιν ἄτομα ὄντα· ἐν γὰρ τῇ διαιρέσει καὶ
ἐν τοῖς μεταξὺ γίγνονται ἐναντιώσεις πρὶν εἰς τὰ ἄτομα
ἐλθεῖν. ὥστε φανερὸν ὅτι πρὸς τὸ καλούμενον ὂν γένος οὔτε
209ταὐτὸν οὔτε ἕτερον τῷ εἴδει οὐθέν ἐστι τῶν ὡς γένους εἰδῶν προσ-
ηκόντων (ἡ γὰρ ὕλη ἀποφάσει δηλοῦται, τὸ δὲ γένος ὕλη
οὗ λέγεται γένος, μὴ ὡς τὸ τῶν Ἡρακλειδῶν, ἀλλ' ὡς τὸ
ἐν τῇ φύσει), οὐδὲ πρὸς τὰ μὴ ἐν ταὐτῷ γένει, ἀλλὰ διοίσει

34. πάντα *ET*. | 36. ζῷον] *animali i*. | 37. ἄρα] καὶ *A^b*. | 38. τοιοῦτο *E*. | ὃ *ETas*, ᾧ *cb*, cf. p. 1054*b* 30.

1058*a* 1. εἴτ'] εἴθ' ὡς *A^bias*. | 4. διὸ *A^bi*, διὰ *ascb*. | ἕτερα *s*. | 5. αὐτὸ *ETas*. | τοιονδὶ] τοῖον τὸ *T*. | 6. ἀνάγκη — 7. εἶναι om *T*. | 9. καὶ om *A^bas*. | 11. 12. γρ καὶ οὕτως· ἡ δὲ διαφορὰ ἡ τέλειος τινός τι *E*. | 14. εἴδει et καὶ om *i*. | 17. ἄρα] γὰρ *ETias*. | ἕτερον *as*. | τὸ ἐν] τῷ ἐν *T*. | 18. ταὐτὰ — 19. ὄντα om *T*. | 21. καλούμενον ὂν] fort. καθόλου ὂν vel κατηγορούμενον. | ὂν om *Ei*. | 22. 23. προσηκόντως *E*. | 24. οὗ] ὃ *TA^b*, ὃ οὐ *as*. | ἀλλ'] ἀλλ' ἢ *as*. | τὸ om *T*.

Digitized by Google

τῷ γένει ἐκείνων, εἴδει δὲ τῶν ἐν ταὐτῷ γένει. ἐναντίωσιν γὰρ ἀνάγκη εἶναι τὴν διαφορὰν ἣ διαφέρει εἴδει· αὕτη δ' ὑπάρχει τοῖς ἐν ταὐτῷ γένει οὖσι μόνοις.

9 Ἀπορήσειε δ' ἄν τις διὰ τί γυνὴ ἀνδρὸς οὐκ εἴδει διαφέρει ἐναντίου τοῦ θήλεος καὶ τοῦ ἄρρενος ὄντος, τῆς δὲ διαφορᾶς ἐναντιώσεως· οὐδὲ ζῷον θῆλυ καὶ ἄρρεν ἕτερον τῷ εἴδει, καίτοι καθ' αὑτὸ τοῦ ζῴου αὕτη ἡ διαφορὰ καὶ οὐχ ὡς λευκότης ἢ μελανία, ἀλλ' ᾗ ζῷον καὶ τὸ θῆλυ καὶ τὸ ἄρρεν ὑπάρχει. ἔστι δ' ἡ ἀπορία αὕτη σχεδὸν ἡ αὐτὴ καὶ διὰ τί ἡ μὲν ποιεῖ τῷ εἴδει ἕτερα ἐναντίωσις, ἡ δ' οὔ, οἷον τὸ πεζὸν καὶ τὸ πτερωτόν, λευκότης δὲ καὶ μελανία οὔ. ἢ ὅτι τὰ μὲν οἰκεῖα πάθη τοῦ γένους, τὰ δ' ἧττον; καὶ ἐπειδή ἐστι
1058b τὸ μὲν λόγος τὸ δ' ὕλη, ὅσαι μὲν ἐν τῷ λόγῳ εἰσὶν ἐναντιότητες εἴδει ποιοῦσι διαφοράν, ὅσαι δ' ἐν τῷ συνειλημμένῳ τῇ ὕλῃ οὐ ποιοῦσιν. διὸ ἀνθρώπου λευκότης οὐ ποιεῖ οὐδὲ μελανία, οὐδὲ τοῦ λευκοῦ ἀνθρώπου ἐστὶ διαφορὰ κατ' εἶδος πρὸς μέλανα ἄνθρωπον, οὐδ' ἂν ὄνομα ἓν τεθῇ. ὡς ὕλη γὰρ ὁ ἄνθρωπος, οὐ ποιεῖ δὲ διαφορὰν ἡ ὕλη· οὐκ ἀνθρώπου γὰρ εἴδη εἰσὶν οἱ ἄνθρωποι διὰ τοῦτο, καίτοι ἕτεραι αἱ σάρκες καὶ τὰ ὀστᾶ ἐξ ὧν ὅδε καὶ ὅδε· ἀλλὰ τὸ σύνολον ἕτερον μέν, εἴδει δ' οὐχ ἕτερον, ὅτι ἐν τῷ λόγῳ οὐκ ἔστιν ἐναντίωσις· τοῦτο δ' ἐστὶ τὸ ἔσχατον ἄτομον. ὁ δὲ Καλλίας ἐστὶν ὁ λόγος μετὰ τῆς ὕλης· καὶ ὁ λευκὸς δὴ ἄνθρωπος, ὅτι Καλλίας λευκός· 210
κατὰ συμβεβηκὸς οὖν ὁ ἄνθρωπος λευκός. οὐδὲ χαλκοῦς δὴ κύκλος καὶ ξύλινος, οὐδὲ τρίγωνον χαλκοῦν καὶ κύκλος ξύλινος, οὐ διὰ τὴν ὕλην εἴδει διαφέρουσιν, ἀλλ' ὅτι ἐν τῷ λόγῳ ἔνεστιν ἐναντίωσις. πότερον δ' ἡ ὕλη οὐ ποιεῖ ἕτερα τῷ εἴδει, οὖσά πως ἑτέρα, ἢ ἔστιν ὡς ποιεῖ; διὰ τί γὰρ ὁδὶ ὁ ἵππος τουδὶ ἀνθρώπου ἕτερος τῷ εἴδει; καίτοι σὺν τῇ ὕλῃ οἱ λόγοι αὐτῶν. ἢ ὅτι ἔνεστιν ἐν τῷ λόγῳ ἐναντίωσις; καὶ γὰρ τοῦ λευκοῦ ἀνθρώπου καὶ μέλανος ἵππου. καὶ ἔστι γε

26. ἐκεῖνα $A^b$. | τῶν] τὰ $TA^b$asc. | 27. διαφέρειν T. | 28. ταὐτῷ τῷ γ. as. | 29. τις om T. | ἀνδρὸς γυνὴ $A^b$as. | 32. αὐτὰ $A^b$. | 32. 33. ὡς ἡ λευκότης $A^b$as. | 37. καὶ] ἢ E, om T. | ἐστι om asc.

1058b 6. οὐκ] οὐδὲν $A^b$. | 7. εἴδει T, ὕλη $A^b$, ἡ ὕλη as. | ante διὰ punctum iasc. | 10. τὸ om ET. | τὸ ἔσχατον om as. | 12. λευκός om $A^b$. | οὐδ' ὁ χ. ETas. | 13. καὶ ὁ ξ. as. | καὶ ξύλινος] fort. καὶ ξύλινον τρίγωνον, cf. Obs. p. 125. | ξύλινος κύκλος T. | 15. ἐναντιότης as. | οὐ om ET. | 16. πως] ἁπλῶς rc E. | ἑτέρα om T et pr E. | ὅδε $A^b$asc. | 19. μέλανος om $A^b$.

Digitized by Google

εἴδει, ἀλλ' οὐχ ᾗ ὁ μὲν λευκὸς ὁ δὲ μέλας, ἐπεὶ καὶ εἰ ἄμφω λευκὰ ἦν, ὅμως ἂν ἦν εἴδει ἕτερα. τὸ δὲ ἄρρεν καὶ θῆλυ τοῦ ζῴου οἰκεῖα μὲν πάθη, ἀλλ' οὐ κατὰ τὴν οὐσίαν ἀλλ' ἐν τῇ ὕλῃ καὶ τῷ σώματι. διὸ τὸ αὐτὸ σπέρμα θῆλυ ἢ ἄρρεν γίγνεται παθόν τι πάθος. τί μὲν οὖν ἐστὶ τὸ τῷ εἴδει ἕτερον εἶναι, καὶ διὰ τί τὰ μὲν διαφέρει εἴδει τὰ δ' οὔ, εἴρηται.

10 Ἐπειδὴ δὲ τὰ ἐναντία ἕτερα τῷ εἴδει, τὸ δὲ φθαρτὸν καὶ τὸ ἄφθαρτον ἐναντία (στέρησις γὰρ ἀδυναμία διωρισμένη), ἀνάγκη ἕτερον εἶναι τῷ γένει τὸ φθαρτὸν καὶ τὸ ἄφθαρτον. νῦν μὲν οὖν ἐπ' αὐτῶν εἰρήκαμεν τῶν καθόλου ὀνομάτων, ὥστε δόξειεν ἂν οὐκ ἀναγκαῖον εἶναι ὁτιοῦν ἄφθαρτον καὶ φθαρτὸν ἕτερα εἶναι τῷ εἴδει, ὥσπερ οὐδὲ λευκὸν καὶ μέλαν. τὸ γὰρ αὐτὸ ἐνδέχεται εἶναι καὶ ἅμα, ἐὰν ᾖ τῶν καθόλου, ὥσπερ ὁ ἄνθρωπος εἴη ἂν καὶ λευκὸς καὶ μέλας· καὶ τῶν καθ' ἕκαστον, εἴη γὰρ ἂν μὴ ἅμα ὁ αὐτὸς λευκὸς καὶ μέλας· καίτοι ἐναντίον τὸ λευκὸν τῷ μέλανι. ἀλλὰ τῶν ἐναντίων τὰ μὲν κατὰ συμβεβηκὸς ὑπάρχει
211 ἐνίοις, οἷον καὶ τὰ νῦν εἰρημένα καὶ ἄλλα πολλά, τὰ δὲ ἀδύνατον, ὧν ἐστὶ καὶ τὸ φθαρτὸν καὶ τὸ ἄφθαρτον· οὐθὲν 1059*a*
γάρ ἐστι φθαρτὸν κατὰ συμβεβηκός· τὸ μὲν γὰρ συμβεβηκὸς ἐνδέχεται μὴ ὑπάρχειν, τὸ δὲ φθαρτὸν τῶν ἐξ ἀνάγκης ὑπαρχόντων ἐστὶν οἷς ὑπάρχει· ἢ ἔσται ταὐτὸ καὶ ἓν φθαρτὸν καὶ ἄφθαρτον, εἰ ἐνδέχεται μὴ ὑπάρχειν αὐτῷ τὸ φθαρτόν. ἢ τὴν οὐσίαν ἄρα ἢ ἐν τῇ οὐσίᾳ ἀνάγκη ὑπάρχειν τὸ φθαρτὸν ἑκάστῳ τῶν φθαρτῶν. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τοῦ ἀφθάρτου· τῶν γὰρ ἐξ ἀνάγκης ὑπαρχόντων ἄμφω. ᾗ ἄρα καὶ καθ' ὃ πρῶτον τὸ μὲν φθαρτὸν τὸ δ' ἄφθαρτον, ἔχει ἀντίθεσιν, ὥστε ἀνάγκη γένει ἕτερα εἶναι. φανερὸν τοίνυν ὅτι οὐκ ἐνδέχεται εἶναι εἴδη τοιαῦτα οἷα λέγουσί τινες· ἔσται γὰρ καὶ ἄνθρωπος ὁ μὲν φθαρτὸς ὁ δ' ἄφθαρτος. καίτοι τῷ εἴδει ταὐτὰ λέγεται εἶναι τὰ εἴδη τοῖς τισὶ καὶ οὐχ ὁμώνυμα· τὰ δὲ γένει ἕτερα πλεῖον διέστηκεν ἢ τὰ εἴδει.

21. ὁμοίως *as*. | 23. ἢ θῆλυ ἢ *as*. | 24. τί] ὅτι *E*. | 26. ἐπεὶ δὲ *as*. | δὲ post τὸ om $A^b$. | 27. τὸ om $A^b$. | ἀδυναμίᾳ *a*. | 28. γένει] lege εἴδει. | τὸ post καὶ om $A^b$. | 29. οὖν om *T*. | 30. ὡς δὲ $EA^bc$. | 33. ἂν εἴη *T*. | 34. ἕκαστα *Tas*. | 35. καίτοι] καὶ τὸ *T*.

1059*a* 4. καὶ om $A^b$*as*. | 5. μὴ ὑπ. αὐτῷ] αὐτὸ μὴ ὑπ. *as*. | 7. ὁ αὐτὸς δὲ $A^b$*as*. | 9. ᾗ] ἡ *as*. | καθὸ πρῶτον *ascb*, *secundum quod primum i*. | 10. γένη *T*. | 12. καὶ om *ET*. | 14. γένη ἕτερα εἴδη πλεῖον *T*.



Digitized by Google

# *K.*

*Ὅτι μὲν ἡ σοφία περὶ ἀρχὰς ἐπιστήμη τίς ἐστι, δῆλον ἐκ τῶν πρώτων, ἐν οἷς διηπόρηται πρὸς τὰ ὑπὸ τῶν ἄλλων εἰρημένα περὶ τῶν ἀρχῶν· ἀπορήσειε δ' ἄν τις πότερον μίαν ὑπολαβεῖν εἶναι δεῖ τὴν σοφίαν ἐπιστήμην ἢ πολλάς. εἰ μὲν γὰρ μίαν, μία γ' ἐστὶν ἀεὶ τῶν ἐναντίων· αἱ δ' ἀρχαὶ οὐκ ἐναντίαι. εἰ δὲ μὴ μία, ποίας δεῖ θεῖναι ταύτας; ἔτι τὰς ἀποδεικτικὰς ἀρχὰς θεωρῆσαι μιᾶς ἢ πλειόνων; εἰ μὲν γὰρ μιᾶς, τί μᾶλλον ταύτης ἢ ὁποιασοῦν; εἰ δὲ πλειόνων, ποίας* 212 *δεῖ ταύτας θεῖναι; ἔτι πότερον πασῶν τῶν οὐσιῶν ἢ οὔ; εἰ μὲν γὰρ μὴ πασῶν, ποίων χαλεπὸν ἀποδοῦναι· εἰ δὲ πασῶν μία, ἄδηλον πῶς ἐνδέχεται πλειόνων τὴν αὐτὴν ἐπιστήμην εἶναι. ἔτι πότερον περὶ τὰς οὐσίας μόνον ἢ καὶ τὰ συμβεβηκότα [ἀπόδειξίς ἐστιν]; εἰ γὰρ περί γε τὰ συμβεβηκότα ἀπόδειξίς ἐστιν, περὶ τὰς οὐσίας οὐκ ἔστιν. εἰ δ' ἑτέρα, τίς ἑκατέρα καὶ ποτέρα σοφία; ἡ μὲν γὰρ ἀποδεικτικὴ σοφία ἡ περὶ τὰ συμβεβηκότα, ἡ δὲ περὶ τὰ πρῶτα ἡ τῶν οὐσιῶν. ἀλλ' οὐδὲ περὶ τὰς ἐν τοῖς φυσικοῖς εἰρημένας αἰτίας τὴν ζητουμένην ἐπιστήμην θετέον. οὔτε γὰρ περὶ τὸ οὗ ἕνεκεν· τοιοῦτον γὰρ τἀγαθόν, τοῦτο δ' ἐν τοῖς πρακτοῖς ὑπάρχει καὶ τοῖς οὖσιν ἐν κινήσει· καὶ τοῦτο πρῶτον κινεῖ (τοιοῦτον γὰρ τὸ τέλος), τὸ δὲ πρῶτον κινῆσαν οὐκ ἔστιν ἐν τοῖς ἀκινήτοις. ὅλως δ' ἀπορίαν ἔχει πότερόν ποτε περὶ τὰς αἰσθητὰς οὐσίας ἐστὶν*
1059*b* *ἡ ζητουμένη νῦν ἐπιστήμη ἢ οὔ, περὶ δέ τινας ἑτέρας. εἰ γὰρ περὶ ἄλλας, ἢ περὶ τὰ εἴδη εἴη ἂν ἢ περὶ τὰ μαθηματικά. τὰ μὲν οὖν εἴδη ὅτι οὐκ ἔστι, δῆλον. ὅμως δ' ἀπορίαν ἔχει, κἂν εἶναί τις αὐτὰ θῇ, διὰ τί ποτ' οὐχ ὥσπερ ἐπὶ τῶν μαθηματικῶν, οὕτως ἔχει καὶ ἐπὶ τῶν ἄλλων ὧν ἔστιν εἴδη. λέγω δ' ὅτι τὰ μαθηματικὰ μὲν μεταξύ τε τῶν εἰδῶν τι-*

18. *τις* om ***ET***. | 22. *γ'*] *δ'* ***ETa***, om ***s***. | 23. *μία*] ***unam i***. | 26. *τιθέναι* $A^b$***c***. | ante *πασῶν* fort. addendum *μία* ex Alex et Arist. p. 997 ***a*** 16. | 28. *πῶς*] *ἀποδοῦναι πῶς* ***T***. | 30. *ἀπόδειξίς ἐστιν* add ***E*** Alex ***b***, om ***iasc***, cf. Ar. p. 997 ***a*** 25. | *γε* om ***ET***. | 31. *περὶ δὲ τὰς* ***T***. | 33. *ἡ* ante *περὶ* om $A^b$. | *ἡ δὲ*] ***an vero i***. | *ἡ τῶν*] *ἢ τῶν* ***T***. | 35. *ἐπιζητουμένην* ***ET*** $A^b$***asc***. | *οὔτε*] fort. *οὐδὲ*. | *οὗ ἕνεκεν*] *ἕνεκεν τινὸς* $A^b$, *ἕνεκά τινος* Alex. | 36. *πρακτικοῖς* $A^b$***as***.

1059***b*** 3. *οὖν*] *γὰρ* ***as***. | *διότι* et *ὅλως* $A^b$. | 6. *τε* om ***ET***.

θέασι καὶ τῶν αἰσθητῶν οἷον τρίτα τινὰ παρὰ τὰ εἴδη τε καὶ τὰ δεῦρο· τρίτος δ' ἄνθρωπος οὐκ ἔστιν οὐδ' ἵππος παρ' αὐτόν τε καὶ τοὺς καθ' ἕκαστον. εἰ δ' αὖ μή ἐστιν ὡς λέγουσι, περὶ ποῖα θετέον πραγματεύεσθαι τὸν μαθηματικόν; οὐ γὰρ δὴ περὶ τὰ δεῦρο· τούτων γὰρ οὐθέν ἐστιν οἷον αἱ μαθηματικαὶ ζητοῦσι τῶν ἐπιστημῶν. οὐδὲ μὴν περὶ τὰ μαθηματικὰ
213 ἡ ζητουμένη νῦν ἐστὶν ἐπιστήμη· χωριστὸν γὰρ αὐτῶν οὐθέν. ἀλλ' οὐδὲ τῶν αἰσθητῶν οὐσιῶν· φθαρταὶ γάρ. ὅλως δ' ἀπορήσειέ τις ἂν ποίας ἐστὶν ἐπιστήμης τὸ διαπορῆσαι περὶ τῆς τῶν μαθηματικῶν ὕλης. οὔτε γὰρ τῆς φυσικῆς, διὰ τὸ περὶ τὰ ἔχοντα ἐν αὑτοῖς ἀρχὴν κινήσεως καὶ στάσεως τὴν τοῦ φυσικοῦ πᾶσαν εἶναι πραγματείαν, οὐδὲ μὴν τῆς σκοπούσης περὶ ἀποδείξεώς τε καὶ ἐπιστήμης· περὶ γὰρ αὐτὸ τοῦτο τὸ γένος τὴν ζήτησιν ποιεῖται. λείπεται τοίνυν τὴν προκειμένην φιλοσοφίαν περὶ αὐτῶν τὴν σκέψιν ποιεῖσθαι. διαπορήσειε δ' ἄν τις εἰ δεῖ θεῖναι τὴν ζητουμένην ἐπιστήμην περὶ τὰς ἀρχὰς τὰ καλούμενα ὑπό τινων στοιχεῖα· ταῦτα δὲ πάντες ἐνυπάρχοντα τοῖς συνθέτοις τιθέασιν. μᾶλλον δ' ἂν δόξειε τῶν καθόλου δεῖν εἶναι τὴν ζητουμένην ἐπιστήμην· πᾶς γὰρ λόγος καὶ πᾶσα ἐπιστήμη τῶν καθόλου καὶ οὐ τῶν ἐσχάτων, ὥστ' εἴη ἂν οὕτω τῶν πρώτων γενῶν. ταῦτα δὲ γίγνοιτ' ἂν τό τε ὂν καὶ τὸ ἕν· ταῦτα γὰρ μάλιστ' ἂν ὑποληφθείη περιέχειν τὰ ὄντα πάντα καὶ μάλιστα ἀρχαῖς ἐοικέναι διὰ τὸ εἶναι πρῶτα τῇ φύσει· φθαρέντων γὰρ αὐτῶν συναναιρεῖται καὶ τὰ λοιπά· πάντα γὰρ ὂν καὶ ἕν. ᾗ δὲ τὰς διαφορὰς αὐτῶν ἀνάγκη μετέχειν εἰ θήσει τις αὐτὰ γένη, διαφορὰ δ' οὐδεμία τοῦ γένους μετέχει, ταύτῃ δ' οὐκ ἂν δόξειε δεῖν αὐτὰ τιθέναι γένη οὐδ' ἀρχάς. ἔτι δ' εἰ μᾶλλον ἀρχὴ τὸ ἁπλούστερον τοῦ ἧττον τοιούτου, τὰ δ' ἔσχατα τῶν ἐκ τοῦ γένους ἁπλούστερα τῶν γενῶν (ἄτομα γάρ, τὰ γένη δ' εἰς εἴδη πλείω καὶ διαφέροντα διαιρεῖται), μᾶλλον ἂν ἀρχὴ δόξειεν εἶναι τὰ εἴδη τῶν γενῶν. ᾗ δὲ συναναιρεῖται τοῖς γένεσι τὰ εἴδη, τὰ γένη ταῖς ἀρχαῖς ἔοικε μᾶλλον·

7. τρίτα] τρόπον *T*. | 9. ἕκαστα *ETas*. | 11. 12. ζητοῦσιν αἱ μαθηματικαὶ $A^b$c. | 15. ἄν τις $F^b$, om ἂν *T* et pr *E*. | τῆς om $F^b$. | 17. ἔχοντα] ἔσχατα *T*. | ἑαυτοῖς $A^b$, αὐτοῖς *as*. | 18. οὔτε *as*. | 19. περὶ ante ἀποδ. om *T*. | 21. αὐτῆς *T*. | 27. γίγνοιντ' *E*. | 31. καὶ om *T*. | πᾶν $A^b$*ias*. | 36. post γάρ parenthesin claudit *b*, post 37. διαιρεῖται *i*. | 36. γένει *T*. | 37. εἴδη om *T*. | μᾶλλον δ' ἂν *a*. | 38. συναιρεῖται $A^b$*a*.



Digitized by Google

1060*a* ἀρχὴ γὰρ τὸ συναιροῦν. τὰ μὲν οὖν τὴν ἀπορίαν ἔχοντα 214
ταῦτα καὶ τοιαῦτ' ἐστὶν ἕτερα.

2 Ἔτι πότερον δεῖ τιθέναι τι παρὰ τὰ καθ' ἕκαστα ἢ οὔ, ἀλλὰ τούτων ἡ ζητουμένη ἐπιστήμη. ἀλλὰ ταῦτα ἄπειρα. τά γε μὴν παρὰ τὰ καθ' ἕκαστα γένη ἢ εἴδη ἐστίν· ἀλλ' οὐδετέρου τούτων ἡ ζητουμένη νῦν ἐπιστήμη. διότι γὰρ ἀδύνατον τοῦτ', εἴρηται. καὶ γὰρ ὅλως ἀπορίαν ἔχει πότερον δεῖ τινὰ ὑπολαβεῖν οὐσίαν εἶναι χωριστὴν παρὰ τὰς αἰσθητὰς οὐσίας καὶ τὰ δεῦρο, ἢ οὔ, ἀλλὰ ταῦτ' εἶναι τὰ ὄντα καὶ περὶ ταῦτα τὴν σοφίαν ὑπάρχειν. ζητεῖν μὲν γὰρ ἐοίκαμεν ἄλλην τινά, καὶ τὸ προκείμενον τοῦτ' ἐστὶν ἡμῖν, λέγω δὲ τὸ ἰδεῖν εἴ τι χωριστὸν καθ' αὑτὸ καὶ μηδενὶ τῶν αἰσθητῶν ὑπάρχον. ἔτι δ' εἰ παρὰ τὰς αἰσθητὰς οὐσίας ἔστι τις ἑτέρα οὐσία, παρὰ ποίας τῶν αἰσθητῶν δεῖ τιθέναι ταύτην εἶναι; τί γὰρ μᾶλλον παρὰ τοὺς ἀνθρώπους ἢ τοὺς ἵππους ἢ τῶν ἄλλων ζῴων θήσει τις αὐτὴν ἢ καὶ τῶν ἀψύχων ὅλως; τό γε μὴν ἴσας ταῖς αἰσθηταῖς καὶ φθαρταῖς οὐσίαις ἀϊδίους ἑτέρας κατασκευάζειν ἐκτὸς τῶν εὐλόγων δόξειεν ἂν πίπτειν. εἰ δὲ μὴ χωριστὴ τῶν σωμάτων ἡ ζητουμένη νῦν ἐστὶν ἀρχή, τίνα ἄν τις ἄλλην μᾶλλον θείη τῆς ὕλης; αὕτη γε μὴν ἐνεργείᾳ μὲν οὐκ ἔστι, δυνάμει δ' ἔστιν. μᾶλλόν τ' ἂν ἀρχὴ κυριωτέρα ταύτης δόξειεν εἶναι τὸ εἶδος καὶ ἡ μορφή· τοῦτο δὲ φθαρτόν, ὥσθ' ὅλως οὐκ ἔστιν ἀΐδιος οὐσία χωριστὴ καὶ καθ' αὑτήν. ἀλλ' ἄτοπον· ἔοικε γὰρ καὶ ζητεῖται σχεδὸν ὑπὸ τῶν χαριεστάτων ὡς οὖσά τις ἀρχὴ καὶ οὐσία τοιαύτη· πῶς γὰρ ἔσται τάξις μή τινος ὄντος ἀϊδίου καὶ χωριστοῦ καὶ μένοντος; ἔτι δ' εἴπερ ἔστι τις οὐσία καὶ ἀρχὴ τοιαύτη τὴν
φύσιν οἵαν νῦν ζητοῦμεν, καὶ αὕτη μία πάντων καὶ ἡ αὐτὴ 215
τῶν ἀϊδίων τε καὶ φθαρτῶν, ἀπορίαν ἔχει διὰ τί ποτε τῆς αὐτῆς ἀρχῆς οὔσης τὰ μέν ἐστιν ἀΐδια τῶν ὑπὸ τὴν ἀρχήν, τὰ δ' οὐκ ἀΐδια· τοῦτο γὰρ ἄτοπον. εἰ δ' ἄλλη μέν ἐστιν ἀρχὴ τῶν φθαρτῶν ἄλλη δὲ τῶν ἀϊδίων, εἰ μὲν ἀΐδιος καὶ

**1060*a*** 2. καὶ τὰ τοιαῦτα $F^b$. | ἕτερα om $F^b$. | 3. θεῖναι Alex. | 4. ζητ. νῦν ἐπ. *as*. | ἐπιστήμη om *T*. | ἄπειρα] φθαρτά Alex. | 5. γε] τε *a*. | ante γένη add *aut i*. | 6. οὐδετέρα *as*. | νῦν om *Tas*. | διὸ *ET*. | 8. τινὰ om Alex. | 12. δεῖν $A^b$. | 13. περὶ *T*. | 16. αὐτὴν εἶναι ἢ *as*. | 17. ἴσα *T*. | 19. ἐστὶν om $A^b$. | 20. ἄλλην τις $A^b$c. | θείη μᾶλλον *ETas*. | 28. μία, μία πάντων *T*. | ἡ αὐτὴ] αὕτη $A^b$. | 31. οὐκ ἀΐδια] οὔ. καὶ $A^b$. | ἄτοπον] τὸ ἄτοπον *as*.

Digitized by Google

ἢ τῶν φθαρτῶν, ὁμοίως ἀπορήσομεν· διὰ τί γὰρ ἐκ ἀϊδίȣ
τῆς ἀρχῆς ȣ̓́σης καὶ τὰ ὑπὸ τὴν ἀρχὴν ἀΐδια; φθαρτῆς δ'
οὔσης ἄλλη τις ἀρχὴ γίγνεται ταύτης κἀκείνης ἑτέρα, καὶ
τȣ̃τ' εἰς ἄπειρον πρόεισιν. εἰ δ' αὖ τις τὰς δοκȣ́σας μάλιϛ'
ἀρχὰς ἀκινήτους εἶναι, τό τε ὂν καὶ τὸ ἓν θήσει, πρῶτον
μὲν εἰ μὴ τόδε τι καὶ ȣ̓σίαν ἑκάτερον αὐτῶν σημαίνει, πῶς 1060*b*
ἔσονται χωριϛαὶ καὶ καθ' αὑτάς; τοιαύτας δὲ ζητȣ̃μεν τὰς
ἀϊδίȣς τε καὶ πρώτας ἀρχάς. εἴ γε μὴν τόδε τι καὶ ȣ̓σίαν
ἑκάτερον αὐτῶν δηλοῖ, πάντ' ἐστὶν οὐσίαι τὰ ὄντα· κατὰ
πάντων γὰρ τὸ ὂν κατηγορεῖται, κατ' ἐνίων δὲ καὶ τὸ ἕν.
ȣ̓σίαν δ' εἶναι πάντα τὰ ὄντα ψεῦδος. ἔτι δὲ τοῖς τὴν πρώ-
την ἀρχὴν τὸ ἓν λέγουσι καὶ τȣ̃τ' ȣ̓σίαν, ἐκ δὲ τȣ̃ ἑνὸς καὶ
τῆς ὕλης τὸν ἀριθμὸν γεννῶσι πρῶτον, καὶ τοῦτον οὐσίαν
φάσκȣσιν εἶναι, πῶς ἐνδέχεται τὸ λεγόμενον ἀληθὲς εἶναι;
τὴν γὰρ δυάδα καὶ τῶν λοιπῶν ἕκαϛον ἀριθμῶν τῶν συν-
θέτων πῶς ἓν δεῖ νοῆσαι; περὶ τȣ́του γὰρ ȣ̓́τε λέγȣσιν ȣ̓θὲν
ȣ̓́τε ῥᾴδιον εἰπεῖν. εἴ γε μὴν γραμμὰς ἢ τὰ τȣ́των ἐχόμενα
(λέγω δ' ἐπιφανείας τὰς πρώτας) θήσει τις ἀρχάς, ταῦτα
δ' ȣ̓κ εἰσὶν ȣ̓σίαι χωριϛαί, τομαὶ δὲ καὶ διαιρέσεις αἱ μὲν
ἐπιφανειῶν αἱ δὲ σωμάτων, αἱ δὲ στιγμαὶ γραμμῶν, ἔτι
216 δὲ πέρατα τῶν αὐτῶν τούτων· πάντα δὲ ταῦτα ἐν ἄλλοις
ὑπάρχει καὶ χωριϛὸν ȣ̓θέν ἐϛιν. ἔτι πῶς ȣ̓σίαν ὑπολαβεῖν
εἶναι δεῖ τȣ̃ ἑνὸς καὶ ϛιγμῆς; ȣ̓σίας μὲν γὰρ πάσης γένεσίς
ἐϛι, ϛιγμῆς δ' οὐκ ἔϛιν· διαίρεσις γὰρ ἡ ϛιγμή. παρέχει
δ' ἀπορίαν καὶ τὸ πᾶσαν μὲν ἐπιϛήμην εἶναι τῶν καθόλου
καὶ τȣ̃ τοιουδί, τὴν δ' ȣ̓σίαν μὴ τῶν καθόλου εἶναι, μᾶλλον
δὲ τόδε τι καὶ χωριϛόν, ὥϛ' εἰ περὶ τὰς ἀρχάς ἐϛιν ἐπι-
ϛήμη, πῶς δεῖ τὴν ἀρχὴν ὑπολαβεῖν ȣ̓σίαν εἶναι; ἔτι πό-
τερον ἔϛι τι παρὰ τὸ σύνολον ἢ ȣ̓́; λέγω δὲ τὴν ὕλην καὶ
τὸ μετὰ ταύτης. εἰ μὲν γὰρ μή, τά γ' ἐν ὕλῃ φθαρτὰ
πάντα. εἰ δ' ἔϛι τι, τὸ εἶδος ἂν εἴη καὶ ἡ μορφή. τοῦτ'
ȣ̓̃ν ἐπὶ τίνων ἐϛὶ καὶ ἐπὶ τίνων ȣ̓́, χαλεπὸν ἀφορίσαι· ἐπ'

33. ἀΐδια $A^b$c. | 34. καὶ om i. | τὰ ὑ. τ. ἀ.] *quae sub aeterno sunt* i. | ἀρχὴν ἀΐδια] ἀρχὴν οὐκ ἀΐδια E, ἀΐδιον $A^b$c. | 36. αὖ] ἂν T.

1060*b* 3. τε om $A^b$. | οὐσίαν καὶ τόδε τι $A^b$. | 3. 4. τόδε οὐσίαν καὶ τι ἑκάτ. c. | 4. εἰσὶν $A^b$c, fort. ἔσται ex Alex. | οὐσία as. | κατὰ] καὶ T. | 5. καὶ add Ei Alex. | 10. τῶν λοιπ.] λοιπ. τῶν a. | ἀριθμὸν $A^b$as. | 13. τις] τὰς T. | 14. δ'] γὰρ $A^b$, fort. γ'. | 14. 15. μὲν γὰρ ἐπιφανειῶν $A^b$. | 16. πέρατα om T. | ἅπαντα $A^b$. | 17. οὐθέν ἐστιν om T. | 18. καὶ τῆς στιγμῆς T. | πάσης om T. | 21. τοιοῦδε T. | δ' om $A^b$. | 25. γ' ἐν] γένη T.

Digitized by Google

ἐνίων γὰρ δῆλον οὐκ ὂν χωριστὸν τὸ εἶδος, οἷον οἰκίας. ἔτι πότερον αἱ ἀρχαὶ εἴδει ἢ ἀριθμῷ αἱ αὐταί; εἰ γὰρ ἀριθμῷ, πάντ' ἔσται ταὐτά.

3 Ἐπεὶ δ' ἐστὶν ἡ τοῦ φιλοσόφου ἐπιστήμη τοῦ ὄντος ᾗ ὂν καθόλου καὶ οὐ κατὰ μέρος, τὸ δ' ὂν πολλαχῶς καὶ οὐ καθ' ἕνα λέγεται τρόπον· εἰ μὲν οὖν ὁμωνύμως κατὰ δὲ κοινὸν μηθέν, οὐκ ἔστιν ὑπὸ μίαν ἐπιστήμην (οὐ γὰρ ἓν γένος τῶν τοιούτων), εἰ δὲ κατά τι κοινόν, εἴη ἂν ὑπὸ μίαν ἐπιστήμην. ἔοικε δὴ τὸν εἰρημένον λέγεσθαι τρόπον καθάπερ τό τε ἰατρικὸν καὶ ὑγιεινόν· καὶ γὰρ τούτων ἑκάτερον πολλα-
1061a χῶς λέγομεν. λέγεται δὲ τοῦτον τὸν τρόπον ἕκαστον τῷ τὸ μὲν πρὸς τὴν ἰατρικὴν ἐπιστήμην ἀνάγεσθαί πως, τὸ δὲ πρὸς ὑγίειαν, τὸ δ' ἄλλως, πρὸς ταὐτὸ δ' ἕκαστον. ἰατρικὸς γὰρ λόγος καὶ μαχαίριον λέγεται τῷ τὸ μὲν ἀπὸ τῆς ἰατρικῆς ἐπιστήμης εἶναι, τὸ δὲ ταύτῃ χρήσιμον. ὁμοίως δὲ καὶ ὑγιεινόν· τὸ μὲν γὰρ ὅτι σημαντικὸν ὑγιείας, τὸ δ' ὅτι ποιη- 217
τικόν. ὁ δ' αὐτὸς τρόπος καὶ ἐπὶ τῶν λοιπῶν. τὸν αὐτὸν δὴ τρόπον καὶ τὸ ὂν ἅπαν λέγεται· τῷ γὰρ τοῦ ὄντος ᾗ ὂν πάθος ἢ ἕξις ἢ διάθεσις ἢ κίνησις ἢ τῶν ἄλλων τι τῶν τοιούτων εἶναι λέγεται ἕκαστον αὐτῶν ὄν. ἐπεὶ δὲ παντὸς τοῦ ὄντος πρὸς ἕν τι καὶ κοινὸν ἡ ἀναγωγὴ γίγνεται, καὶ τῶν ἐναντιώσεων ἑκάστη πρὸς τὰς πρώτας διαφορὰς καὶ ἐναντιώσεις ἀναχθήσεται τοῦ ὄντος, εἴτε πλῆθος καὶ ἓν εἴθ' ὁμοιότης καὶ ἀνομοιότης αἱ πρῶται τοῦ ὄντος εἰσὶ διαφοραί, εἴτ' ἄλλαι τινές· ἔστωσαν γὰρ αὗται τεθεωρημέναι. διαφέρει δ' οὐθὲν τὴν τοῦ ὄντος ἀναγωγὴν πρὸς τὸ ὂν ἢ πρὸς τὸ ἓν γίγνεσθαι. καὶ γὰρ εἰ μὴ ταὐτὸν ἄλλο δ' ἐστίν, ἀντιστρέφει γε· τό τε γὰρ ἓν καὶ ὄν πως, τό τε ὂν ἕν. ἐπεὶ δ' ἐστὶ τὰ ἐναντία πάντα τῆς αὐτῆς καὶ μιᾶς ἐπιστήμης θεωρῆσαι, λέγεται δ' ἕκαστον αὐτῶν κατὰ στέρησιν, καίτοι γ' ἔνια ἀπο-

28. οὐκ ἂν χωριστὸν *T*, κἂν χωριστὸν $A^b$. | 29. γὰρ ἀριθμῷ] γὰρ ἀριθμῷ ἓν $A^b$*ias*. | 30. πάντες εἰσὶ *T*. | ταῦτα *T*$A^b$, τοιαῦτα *E*. | 33. οὖν om *s*. | 34. γὰρ ἂν ἓν $A^b$*as*. | 36. δὲ *Ti*. | 37. τε om $A^b$. | καὶ τὸ ὑγιεινόν $A^b$*as*.

1061 *a* 1. λεγόμενον *T*$A^b$*asc*, *dicitur i*. | δὲ] *namque i*. | δὲ τῶν τρόπων *ET*. | 2. τὴν om *as*. | 3. γὰρ] δὲ *T*. | 4. μαχαίριος *T*. | 6. ὅτι post γὰρ om *T*. | 8. δὲ *T*. | τὸ γὰρ τοῦ *T*, τοῦ γὰρ $A^b$. | 9. ἢ τῶν] καὶ τῶν $A^b$. | 10. λέγεται εἶναι $A^b$. | 11. κοινὴ ἀναγωγὴ $A^b$. | 12. 13. καὶ τὰς ἐναντιώσεις *ETas*. | 13. ἀναχθήσονται *T*. | 18. ἐστὶ post 19. αὐτῆς ponit $F^b$. | 19. καὶ μιᾶς om $F^b$. | 20. δ'] γὰρ $F^b$.

Digitized by Google

ρήσειέ τις ἂν πῶς λέγεται κατὰ στέρησιν, ὧν ἔστιν ἀνὰ μέσον τι, καθάπερ ἀδίκου καὶ δικαίου, περὶ πάντα δὴ τὰ τοιαῦτα τὴν στέρησιν δεῖ τιθέναι, μὴ τοῦ ὅλου λόγου, τοῦ τελευταίου δὲ εἴδους· οἷον εἰ ἔστιν ὁ δίκαιος καθ' ἕξιν τινὰ πειθαρχικὸς τοῖς νόμοις, οὐ πάντως ὁ ἄδικος ἔσται τοῦ ὅλου στερούμενος λόγου, περὶ δὲ τὸ πείθεσθαι τοῖς νόμοις ἐκλείπων πῇ, καὶ ταύτῃ ἡ στέρησις ὑπάρξει αὐτῷ. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῶν ἄλλων. καθάπερ δ' ὁ μαθηματικὸς περὶ τὰ ἐξ ἀφαιρέσεως τὴν θεωρίαν ποιεῖται (περιελὼν γὰρ πάντα τὰ αἰσθητὰ θεωρεῖ, οἷον βάρος καὶ κουφότητα καὶ σκληρότητα καὶ τοὐναντίον, ἔτι δὲ καὶ θερμότητα καὶ ψυχρότητα καὶ τὰς ἄλλας αἰσθητὰς ἐναντιώσεις, μόνον δὲ καταλεί-
218 πει τὸ ποσὸν καὶ συνεχές, τῶν μὲν ἐφ' ἓν τῶν δ' ἐπὶ δύο τῶν δ' ἐπὶ τρία, καὶ τὰ πάθη τὰ τούτων ᾗ ποσά ἐστι καὶ συνεχῆ, καὶ οὐ καθ' ἕτερόν τι θεωρεῖ, καὶ τῶν μὲν τὰς πρὸς ἄλληλα θέσεις σκοπεῖ καὶ τὰ ταύταις ὑπάρχοντα, τῶν δὲ τὰς συμμετρίας καὶ ἀσυμμετρίας, τῶν δὲ τοὺς λό- 1061*b*
γους, ἀλλ' ὅμως μίαν πάντων καὶ τὴν αὐτὴν τίθεμεν ἐπιστήμην τὴν γεωμετρικήν), τὸν αὐτὸν δὴ τρόπον ἔχει καὶ περὶ τὸ ὄν. τὰ γὰρ τούτῳ συμβεβηκότα καθ' ὅσον ἐστὶν ὄν, καὶ τὰς ἐναντιώσεις αὐτοῦ ᾗ ὄν, οὐκ ἄλλης ἐπιστήμης ἢ φιλοσοφίας θεωρῆσαι. τῇ φυσικῇ μὲν γὰρ οὐχ ᾗ ὄντα, μᾶλλον δ' ᾗ κινήσεως μετέχει, τὴν θεωρίαν τις ἀπονείμειεν ἄν. ἥ γε μὴν διαλεκτικὴ καὶ ἡ σοφιστικὴ τῶν συμβεβηκότων μέν εἰσι τοῖς οὖσιν, οὐχ ᾗ δ' ὄντα, οὐδὲ περὶ τὸ ὂν αὐτὸ καθ' ὅσον ὄν ἐστιν. ὥστε λείπεται τὸν φιλόσοφον, καθ' ὅσον ὄντ' ἐστίν, εἶναι περὶ τὰ λεχθέντα θεωρητικόν. ἐπεὶ δὲ τό τε ὂν ἅπαν καθ' ἕν τι καὶ κοινὸν λέγεται πολλαχῶς λεγόμενον, καὶ τἀναντία τὸν αὐτὸν τρόπον (εἰς τὰς πρώτας γὰρ ἐναντιώσεις καὶ διαφορὰς τοῦ ὄντος ἀνάγεται), τὰ δὲ τοιαῦτα δυνατὸν ὑπὸ μίαν ἐπιστήμην εἶναι, διαλύοιτ' ἂν ἡ κατ' ἀρχὰς ἀπορία λεχθεῖσα, λέγω δ' ἐν ᾗ διηπορεῖτο πῶς ἔσται πολλῶν

21. ἄν τις Alex. | 22. δεῖ *T*. | 24. ὁ δίκαιος ὁ καθ' Alex. | καθ' ἕξιν] μέθεξιν $A^b$. | 25. τοῦ] ὁ τοῦ *ET*. | 26. τοῦ *T*. | ἐκλεῖπον *T*. | 27. ταύτῃ στέρησις αὐτῷ ὑπάρξει $A^b$. | 29. ἀπορίαν *T*. | 31. καὶ post δὲ om *ET*. | 32. post ἄλλας add τὰς *Eb*. | 34. τὰ post πάθη om *T*. | 35. τῶν μὲν γὰρ τὰς Alex. | 36. θέσεις] φύσεις καὶ θέσεις *as*. | τὰ om *T*.

1061*b* 2. ὅλως $A^b$. | 3. δὴ add $A^b$. | 7. ἔχει $A^b$, μετέχειν *a*. | ἀπονέμειεν $A^b$. | 8. ἡ om *ET*. | 9. αὐτῷ *T*. | 10. ὄν] γρ ὄντως *E*. | ὄντ'] οὗτός $TA^b$. | 16. διηπόρητο *T*.

Digitized by Google

4 *καὶ διαφόρων ὄντων τῷ γένει μία τις ἐπιστήμη. ἐπεὶ δὲ καὶ ὁ μαθηματικὸς χρῆται τοῖς κοινοῖς ἰδίως, καὶ τὰς τούτων ἀρχὰς ἂν εἴη θεωρῆσαι τῆς πρώτης φιλοσοφίας. ὅτι γὰρ ἀπὸ τῶν ἴσων ἴσων ἀφαιρεθέντων ἴσα τὰ λειπόμενα, κοινὸν μέν ἐστιν ἐπὶ πάντων τῶν ποσῶν, ἡ μαθηματικὴ δ' ἀπολαβοῦσα περί τι μέρος τῆς οἰκείας ὕλης ποιεῖται τὴν θεωρίαν, οἷον περὶ γραμμὰς ἢ γωνίας ἢ ἀριθμοὺς ἢ τῶν λοιπῶν τι ποσῶν, οὐχ ᾗ δ' ὄντα ἀλλ' ᾗ συνεχὲς αὐτῶν ἕκαστον ἐφ' ἓν ἢ δύο ἢ τρία· ἡ δὲ φιλοσοφία περὶ τῶν ἐν μέρει μέν, ᾗ* 219 *τούτων ἑκάστῳ τι συμβέβηκεν, οὐ σκοπεῖ, περὶ τὸ ὂν δ' ᾗ ὂν τῶν τοιούτων ἕκαστον θεωρεῖ. τὸν αὐτὸν δ' ἔχει τρόπον καὶ περὶ τὴν φυσικὴν ἐπιστήμην τῇ μαθηματικῇ· τὰ συμβεβηκότα γὰρ ἡ φυσικὴ καὶ τὰς ἀρχὰς θεωρεῖ τὰς τῶν ὄντων ᾗ κινούμενα καὶ οὐχ ᾗ ὄντα. τὴν δὲ πρώτην εἰρήκαμεν ἐπιστήμην τούτων εἶναι καθ' ὅσον ὄντα τὰ ὑποκείμενά ἐστιν, ἀλλ' οὐχ ᾗ ἕτερόν τι. διὸ καὶ ταύτην καὶ τὴν μαθηματικὴν ἐπιστήμην μέρη τῆς σοφίας εἶναι θετέον.*

5 *Ἔστι δέ τις ἐν τοῖς οὖσιν ἀρχὴ περὶ ἣν οὐκ ἔστι διεψεῦσθαι, τοὐναντίον δ' ἀναγκαῖον ἀεὶ ποιεῖν, λέγω δὲ ἀληθεύειν, οἷον ὅτι οὐκ ἐνδέχεται τὸ αὐτὸ καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον*
1062*a* *εἶναι καὶ μὴ εἶναι, καὶ τἆλλα τὰ τοῦτον αὐτοῖς ἀντικείμενα τὸν τρόπον. καὶ περὶ τῶν τοιούτων ἁπλῶς μὲν οὐκ ἔστιν ἀπόδειξις, πρὸς τόνδε δ' ἔστιν. οὐ γὰρ ἔστιν ἐκ πιστοτέρας ἀρχῆς αὐτοῦ τούτου ποιήσασθαι τὸν συλλογισμόν, δεῖ δέ γ', εἴπερ ἔσται τὸ ἁπλῶς ἀποδεδεῖχθαι. πρὸς δὲ τὸν λέγοντα τὰς ἀντικειμένας φάσεις τῷ δεικνύντι διότι ψεῦδος ληπτέον τι τοιοῦτον ὃ ταὐτὸ μὲν ἔσται τῷ μὴ ἐνδέχεσθαι ταὐτὸ εἶναι καὶ μὴ εἶναι καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον, μὴ δόξει δ' εἶναι ταὐτόν· οὕτω γὰρ μόνως ἂν ἀποδειχθείη πρὸς τὸν φάσκοντα ἐνδέχεσθαι τὰς ἀντικειμένας φάσεις ἀληθεύεσθαι κατὰ τοῦ αὐτοῦ. τοὺς δὴ μέλλοντας ἀλλήλοις λόγου κοινωνήσειν δεῖ τι συνιέναι αὐτῶν· μὴ γιγνομένου γὰρ τούτου πῶς*

17. καὶ om *F^b a*. | 18. ἰδίοις *F^b i*. | 19. ὅτι] εἰ *T*. | 20. alterum ἴσων add *E* Alex *i*. | 25. ᾗ] ἢ *A^b as*, εἰ vel ᾗ Alex p. 619, 26. | 26. ἑκάστων *A^b*. | τι Alex *i*, τί *ascb*. | 31. τὰ om *A^b*. | 32. ᾗ om *ET*. | ἕτερ' ἄττα γρ *E*. | 34. οὐκ ἔσται *A^b ias*. | 36. καὶ om *as*.

1062*a* 1. αὐτοῖς *as*. | 2. τὸν om *T*. | 4. τὸν om *A^b c* Alex. | γ' om *T*. | 5. ἐστὶ *as*. | λόγον *T*. | 6. ψεύδεται *F^b*. | 7. ὃ ταὐτῷ *T*. | 8. δόξῃ *A^b c*, δόξειε rc *E*. | 9. μόνος *A^b*. | 11. δὲ *Ts*. | 12. fort. αὐτῶν, *in vicem i*, cf. Alex p. 622, 23.

Digitized by Google

ἔσται κοινωνία τούτοις πρὸς ἀλλήλους λόγου; δεῖ τοίνυν τῶν
220 ὀνομάτων ἕκαστον εἶναι γνώριμον καὶ δηλοῦν τι, καὶ μὴ πολλά, μόνον δ' ἕν· ἂν δὲ πλείω σημαίνῃ, φανερὸν ποιεῖν ἐφ' ὃ φέρει τοὔνομα τούτων. ὁ δὴ λέγων εἶναι τοῦτο καὶ μὴ εἶναι, τοῦτο ὅ φησιν οὔ φησιν, ὥσθ' ὃ σημαίνει τοὔνομα τοῦτ' οὔ φησι σημαίνειν· τοῦτο δ' ἀδύνατον. ὥστ' εἴπερ σημαίνει τι τὸ εἶναι τόδε, τὴν ἀντίφασιν ἀδύνατον ἀληθεύειν κατὰ τοῦ αὐτοῦ. ἔτι δ' εἴ τι σημαίνει τοὔνομα καὶ τοῦτ' ἀληθεύεται, δεῖ τοῦτ' ἐξ ἀνάγκης εἶναι· τὸ δ' ἐξ ἀνάγκης ὂν οὐκ ἐνδέχεταί ποτε μὴ εἶναι· τὰς ἀντικειμένας ἄρα οὐκ ἐνδέχεται φάσεις ἀληθεύειν κατὰ τοῦ αὐτοῦ. ἔτι δ' εἰ μηθὲν μᾶλλον ἡ φάσις ἢ ἡ ἀπόφασις ἀληθεύεται, ὁ λέγων ἄνθρωπον ἢ οὐκ ἄνθρωπον οὐθὲν μᾶλλον ἀληθεύσει. δόξειε δὲ κἂν οὐχ ἵππον εἶναι φάσκων τὸν ἄνθρωπον ἢ μᾶλλον ἢ οὐχ ἧττον ἀληθεύειν ἢ οὐκ ἄνθρωπον, ὥστε καὶ ἵππον φάσκων εἶναι τὸν αὐτὸν ἀληθεύσει· τὰς γὰρ ἀντικειμένας ὁμοίως ἦν ἀληθεύειν. συμβαίνει τοίνυν τὸν αὐτὸν ἄνθρωπον εἶναι καὶ ἵππον ἢ τῶν ἄλλων τι ζῴων. ἀπόδειξις μὲν οὖν οὐδεμία τούτων ἐστὶν ἁπλῶς, πρὸς μέντοι τὸν ταῦτα τιθέμενον ἀπόδειξις. ταχέως δ' ἄν τις καὶ αὐτὸν τὸν Ἡράκλειτον τοῦτον ἐρωτήσας τὸν τρόπον ἠνάγκασεν ὁμολογεῖν μηδέποτε τὰς ἀντικειμένας φάσεις δυνατὸν εἶναι κατὰ τῶν αὐτῶν ἀληθεύεσθαι· νῦν δ' οὐ συνεὶς ἑαυτοῦ τί ποτε λέγει, ταύτην ἔλαβε τὴν δόξαν. ὅλως δ' εἰ τὸ λεγόμενον ὑπ' αὐτοῦ ἐστὶν ἀληθές, οὐδ' ἂν αὐτὸ τοῦτο εἴη ἀληθές, λέγω δὲ τὸ ἐνδέχεσθαι τὸ αὐτὸ καθ' ἕνα 1062b
καὶ τὸν αὐτὸν χρόνον εἶναί τε καὶ μὴ εἶναι. καθάπερ γὰρ
221 καὶ διῃρημένων αὐτῶν οὐθὲν μᾶλλον ἡ κατάφασις ἢ ἡ ἀπόφασις ἀληθεύεται, τὸν αὐτὸν τρόπον καὶ τοῦ συναμφοτέρου καὶ τοῦ συμπεπλεγμένου καθάπερ μιᾶς τινὸς καταφάσεως οὔσης οὐθὲν μᾶλλον ἡ ἀπόφασις ἢ τὸ ὅλον ὡς ἐν καταφάσει

13. ἔστι *E*$A^b$*as*. | 14. τι] ἔν τι *as*. | 15. ἂν δὲ] ἂν *a*, κἂν *s*. | πλείονα *ETas*. | 16. δεῖ $F^b$. | 17. ὅ] ὃ ὅλως εἶναί *E*$F^b$*ias*, om *T*. | 19. ἀληθεύειν ἀδύνατον *ETas*. | 19. 20. κατὰ τοῦ αὐτοῦ om *ETc*. | 21. δεῖ καὶ τοῦτ' *ETas*. | 22. τότε *ETias*. | 23. φάσεις καὶ ἀποφάσεις ἀληθεύειν *ETas*. | 24. ἡ post ἢ om *Tas*. | 25. οὐθὲν] οὐδὲ *T*. | 27. ἢ om *E*. | 28. 29. ἀληθεύειν] ἀληθεύει *a*. | 32. ἐρωτῶν $A^b$. | 35. συνιεὶς *T*$A^b$*as* et γρ *E*. | ἑαυτὸν *Ts*, αὐτοῦ $A^b$.

1062*b* 1. ἀληθὲς εἴη *ETas*. | 3. ἡ post ἢ om $F^b$*as*. | 4. τοῦ om *T*. | 5. τινὸς μιᾶς $A^b$. | 6. ὡς om *as*. | ἐν τῇ καταφάσει $F^b$.

Digitized by Google

*τιθέμενον ἀληθεύσεται. ἔτι δ' εἰ μηθὲν ἔςιν ἀληθῶς καταφῆσαι, κἂν αὐτὸ τοῦτο ψεῦδος εἴη τὸ φάναι μηδεμίαν ἀληθῆ κατάφασιν ὑπάρχειν. εἰ δ' ἔστι τι, λύοιτ' ἂν τὸ λεγόμενον ὑπὸ τῶν τὰ τοιαῦτα ἐνιςαμένων καὶ παντελῶς ἀναιρούντων τὸ διαλέγεσθαι.*

6 *Παραπλήσιον δὲ τοῖς εἰρημένοις ἐςὶ καὶ τὸ λεχθὲν ὑπὸ τοῦ Πρωταγόρου· καὶ γὰρ ἐκεῖνος ἔφη πάντων χρημάτων εἶναι μέτρον ἄνθρωπον, οὐθὲν ἕτερον λέγων ἢ τὸ δοκοῦν ἑκάςῳ τοῦτο καὶ εἶναι παγίως. τούτου δὲ γιγνομένου τὸ αὐτὸ συμβαίνει καὶ εἶναι καὶ μὴ εἶναι, καὶ κακὸν καὶ ἀγαθὸν εἶναι, καὶ τἄλλα τὰ κατὰ τὰς ἀντικειμένας λεγόμενα φάσεις, διὰ τὸ πολλάκις τοισδὶ μὲν φαίνεσθαι τόδε εἶναι καλὸν τοισδὶ δὲ τοὐναντίον, μέτρον δ' εἶναι τὸ φαινόμενον ἑκάςῳ. λύοιτο δ' ἂν αὕτη ἡ ἀπορία θεωρήσασι πόθεν ἡ ἀρχὴ τῆς ὑπολήψεως ταύτης. ἔοικε γὰρ ἐνίοις μὲν ἐκ τῆς τῶν φυσιολόγων δόξης γεγενῆσθαι, τοῖς δ' ἐκ τοῦ μὴ ταὐτὰ περὶ τῶν αὐτῶν ἅπαντας γιγνώσκειν, ἀλλὰ τοισδὶ μὲν ἡδὺ τόδε φαίνεσθαι τοισδὶ δὲ τοὐναντίον. τὸ γὰρ μηθὲν ἐκ μὴ ὄντος γίγνεσθαι πᾶν δ' ἐξ ὄντος, σχεδὸν ἁπάντων ἐςὶ κοινὸν δόγμα τῶν περὶ φύσεως. ἐπεὶ οὖν οὐ λευκὸν γίγνεται λευκοῦ τελέως ὄντος καὶ οὐδαμῇ μὴ λευκοῦ, νῦν δὲ γεγενημένον μὴ λευκὸν γίγνοιτ' ἂν ἐκ μὴ ὄντος λευκοῦ τὸ γιγνόμενον μὴ λευκόν· ὥςε ἐκ μὴ ὄντος γίγνοιτ' ἂν κατ' ἐκείνους, εἰ μὴ ὑπῆρχε μὴ λευκὸν τὸ αὐτὸ καὶ λευκόν. οὐ χαλεπὸν δὲ* 222
*διαλύειν τὴν ἀπορίαν ταύτην· εἴρηται γὰρ ἐν τοῖς φυσικοῖς πῶς ἐκ τοῦ μὴ ὄντος γίγνεται τὰ γιγνόμενα καὶ πῶς ἐξ ὄντος. τό γε μὴν ὁμοίως προσέχειν ταῖς δόξαις καὶ ταῖς φαντασίαις τῶν πρὸς αὐτοὺς διαμφισβητούντων εὔηθες· δῆλον γὰρ ὅτι τοὺς ἑτέρους αὐτῶν ἀνάγκη διεψεῦσθαι. φανερὸν*

7. *ἀληθεύεται* **F^b^**, *ἀληθὲς ἔσται* **EMas**. | *ἀληθὲς* Alex. | 10. *τὰ* om **as**. | 13. 14. *εἶναι χρημάτων μέτρον* **Eas**, *εἶναι μέτρον χρημάτων* **T**. | 14. *τὸν ἄνθρωπον* **Eas**. | 17. *φάσεις λεγόμενα* **ETas**. | 20. *πόθεν ἐλήλυθεν ἡ* **E Tias**. | 23. *ἅπαντα* **E**. | *τοῖσδε* **A^b^**. | 23. 24. *τότε φαίνεται* **T**. | 24. *τοῖς* **ET**. | *ἐκ τοῦ μὴ* **T**. | 25. *κοινόν ἐστι* **A^b^c**. | 26. 27. *ἐκ λευκοῦ τ.* Alex **ias**. | 27. *τελείως* **ETas**. | *μηδαμῆ μὴ* Alex. | *νῦν δὲ* — 29. *λευκόν*] depravata videntur. | 28. *γίγνοιτ' ἂν*] ***si fieret i.*** | *γρ καὶ οὕτως· ἐκ μὴ ὄντος μὴ λευκοῦ* margo **E**. | 29. *ὥστε*]· ***profecto i.*** | 30. *μὴ* post *καὶ* **A^b^ic** Alex. | *τὸ λευκὸν τὸ* Alex. | 33. *προσέχειν*] *προσέχειν ἀμφοτέραις* **ETMias**. | *ταῖς δόξαις καὶ* om **F^b^**. | 34. *τῶν πρὸς αὐτοὺς* om **F^b^**. | *αὐτοὺς* **as**. | *ἀμφισβητούντων* **A^b^F^b^**.

*δὲ τȣ̃τ' ἐκ τῶν γιγνομένων κατὰ τὴν αἴσθησιν· ȣ̓δέποτε γὰρ τὸ αὐτὸ φαίνεται τοῖς μὲν γλυκὺ τοῖς δὲ τοὐναντίον, μὴ* 1063*a* *διεφθαρμένων καὶ λελωβημένων τῶν ἑτέρων τὸ αἰσθητήριον καὶ κριτήριον τῶν λεχθέντων χυμῶν. τȣ́του δ' ὄντος τοιȣ́τȣ τȣ̀ς ἑτέρους μὲν ὑποληπτέον μέτρον εἶναι, τȣ̀ς δ' ἑτέρȣς ȣ̓χ ὑποληπτέον. ὁμοίως δὲ τȣ̃το λέγω καὶ ἐπὶ ἀγαθȣ̃ καὶ κακȣ̃, καὶ καλȣ̃ καὶ αἰσχρȣ̃, καὶ τῶν ἄλλων τῶν τοιούτων. οὐθὲν γὰρ διαφέρει τȣ̃τ' ἀξιȣ̃ν ἢ τὰ φαινόμενα τοῖς ὑπὸ τὴν ὄψιν ὑποβάλλȣσι τὸν δάκτυλον καὶ ποιȣ̃σιν ἐκ τȣ̃ ἑνὸς φαίνεσθαι δύο, δύο τ' εἶναι διὰ τὸ φαίνεσθαι τοσαῦτα καὶ πάλιν ἕν· τοῖς γὰρ μὴ κινοῦσι τὴν ὄψιν ἓν φαίνεται τὸ ἕν. ὅλως δ' ἄτοπον ἐκ τȣ̃ φαίνεσθαι τὰ δεῦρο μεταβάλλοντα καὶ μηδέποτε διαμένοντα ἐν τοῖς αὐτοῖς, ἐκ τȣ́του περὶ τῆς ἀληθείας τὴν κρίσιν ποιεῖσθαι. δεῖ γὰρ ἐκ τῶν ἀεὶ κατὰ ταὐτὰ ἐχόντων καὶ μηδεμίαν μεταβολὴν ποιουμένων τἀληθὲς θηρεύειν. τοιαῦτα δ' ἐστὶ τὰ κατὰ τὸν κόσμον· ταῦτα γὰρ οὐχ ὁτὲ μὲν τοιαδὶ πάλιν δ' ἀλλοῖα φαίνεται, ταὐτὰ δ' ἀεὶ καὶ μεταβολῆς οὐδεμιᾶς κοινωνοῦντα. ἔτι δ' εἰ κίνησίς ἐςι καὶ κινούμενόν τι, κινεῖται δὲ πᾶν ἔκ τινος καὶ εἴς τι, δεῖ ἄρα τὸ κινȣ́μενον εἶναι ἐν ἐκείνῳ ἐξ ȣ̃ κινήσεται καὶ ȣ̓κ* 223 *εἶναι ἐν αὐτῷ, καὶ εἰς τοδὶ κινεῖσθαι καὶ γίγνεσθαι ἐν τȣ́τῳ, τὸ δὲ κατὰ τὴν ἀντίφασιν μὴ ἀληθεύεσθαι κατ' αὐτούς. καὶ εἰ κατὰ τὸ ποσὸν συνεχῶς τὰ δεῦρο ῥεῖ καὶ κινεῖται, καί τις τȣ̃το θείη καίπερ ȣ̓κ ἀληθὲς ὄν, διὰ τί κατὰ τὸ ποιὸν οὐ μένει; φαίνονται γὰρ ȣ̓χ ἥκιςα τὰ κατὰ τὰς ἀντιφάσεις ταὐτȣ̃ κατηγορεῖν ἐκ τȣ̃ τὸ ποσὸν ὑπειληφέναι μὴ μένειν ἐπὶ τῶν σωμάτων διὰ τὸ καὶ εἶναι τετράπηχυ τὸ αὐτὸ καὶ ȣ̓κ εἶναι. ἡ δ' οὐσία κατὰ τὸ ποιόν, τȣ̃το δὲ τῆς ὡρισμένης φύσεως, τὸ δὲ ποσὸν τῆς ἀορίςȣ. ἔτι διὰ τί προστάττοντος τȣ̃ ἰατρȣ̃ τοδὶ τὸ σιτίον προσενέγκασθαι προσφέρονται; τί γὰρ μᾶλλον τοῦτο ἄρτος ἐςὶν ἢ οὐκ ἔςιν; ὥστ'*

1063*a* 1. *μηδὲ* $A^b$. | 2. *ἐφθαρμένων Tas.* | 4. *ἑτέρους*] *ἄλλους* $A^b$. | 7. *ταῦτ' T*, *τοῦ* $F^b$. | 9. *τ'* coni., *δ'* *ascb*, *ac duo esse putant i.* | 10. *ὄψιν ἐμφαίνεται* $A^b$. | 13. *κατ' αὐτὴν T*, *κατὰ ταῦτα as.* | 14. *ἐχόντων*] *ὄντων* $A^b$. | *μηδέποτε as.* | 15. *γὰρ*] *μὲν T.* | 16. *τοιάδε E.* | 17. *εἰ*] *ἡ T.* | 19. *εἶναι ἔτι ἐν ETas.* | *οὐκ*] *μὴ* $A^b$. | 20. *τόδε* $A^b$. | 21. *τὸ δὲ κ. τ. ἀ.*] *aut contradictionem i.* | *συναληθεύεσθαι* $A^b$*as.* | 24. *φαίνεται T.* | *τὰ* om *Tas.* | 25. *αὐτοῦ* $A^b$. | 26. *διὰ τὸ*] *διὸ* $A^b$. | *καὶ* om *as.* | 27. *δὲ*] *γὰρ* $A^b$*ias.* | 30. *τοῦτο* om *ET.* | *ἄρτον T.*

Digitized by Google

οὐθὲν ἂν διέχοι φαγεῖν ἢ μὴ φαγεῖν. νῦν δ' ὡς ἀληθεύοντες περὶ αὐτὸ καὶ ὄντος τοῦ προσαχθέντος σιτίου τούτου προσφέρονται τοῦτο. καίτοι γ' οὐκ ἔδει μὴ διαμενούσης παγίως μηδεμιᾶς φύσεως ἐν τοῖς αἰσθητοῖς, ἀλλ' ἀεὶ πασῶν κινουμένων καὶ ῥεουσῶν. ἔτι δ' εἰ μὲν ἀλλοιούμεθα ἀεὶ καὶ μηδέποτε διαμένομεν οἱ αὐτοί, τί καὶ θαυμαστὸν εἰ μηδέποθ' ἡμῖν ταὐτὰ φαίνεται καθάπερ τοῖς κάμνουσιν; καὶ γὰρ τού-
1063*b* τοις διὰ τὸ μὴ ὁμοίως διακεῖσθαι τὴν ἕξιν καὶ ὅθ' ὑγίαινον, οὐχ ὅμοια φαίνεται τὰ κατὰ τὰς αἰσθήσεις, αὐτὰ μὲν οὐδεμιᾶς διά γε τοῦτο μεταβολῆς κοινωνοῦντα τὰ αἰσθητά, αἰσθήματα δ' ἕτερα ποιοῦντα τοῖς κάμνουσι καὶ μὴ ταὐτά. τὸν αὐτὸν δὴ τρόπον ἔχειν καὶ τῆς εἰρημένης μεταβολῆς γιγνομένης ἴσως ἀναγκαῖόν ἐστιν. εἰ δὲ μὴ μεταβάλλομεν ἀλλ' οἱ αὐτοὶ διατελοῦμεν ὄντες, εἴη ἄν τι μένον. πρὸς μὲν οὖν τοὺς ἐκ λόγου τὰς εἰρημένας ἀπορίας ἔχοντας οὐ ῥᾴδιον δια- 224
λῦσαι μὴ τιθέντων τι καὶ τούτου λόγον μηκέτι ἀπαιτούντων· οὕτω γὰρ πᾶς λόγος καὶ πᾶσα ἀπόδειξις γίγνεται· μηθὲν γὰρ τιθέντες ἀναιροῦσι τὸ διαλέγεσθαι καὶ ὅλως λόγον. ὥστε πρὸς μὲν τοὺς τοιούτους οὐκ ἔστι λόγος, πρὸς δὲ τοὺς διαποροῦντας ἐκ τῶν παραδεδομένων ἀποριῶν ῥᾴδιον ἀπαντᾶν καὶ διαλύειν τὰ ποιοῦντα τὴν ἀπορίαν ἐν αὐτοῖς. δῆλον δ' ἐκ τῶν εἰρημένων. ὥστε φανερὸν ἐκ τούτων ὅτι οὐκ ἐνδέχεται τὰς ἀντικειμένας φάσεις περὶ ταὐτοῦ καθ' ἕνα χρόνον ἀληθεύειν, οὐδὲ τὰ ἐναντία, διὰ τὸ λέγεσθαι κατὰ στέρησιν πᾶσαν ἐναντιότητα. δῆλον δὲ τοῦτ' ἐπ' ἀρχὴν τοὺς λόγους ἀναλύουσι τοὺς τῶν ἐναντίων. ὁμοίως δ' οὐδὲ τῶν ἀνὰ μέσον οὐθὲν οἷόν τε κατηγορεῖσθαι καθ' ἑνὸς καὶ τοῦ αὐτοῦ. λευκοῦ γὰρ ὄντος τοῦ ὑποκειμένου λέγοντες αὐτὸ εἶναι οὔτε λευκὸν οὔτε μέλαν ψευσόμεθα· συμβαίνει γὰρ εἶναι λευκὸν αὐτὸ καὶ μὴ εἶναι· θάτερον γὰρ τῶν συμπεπλεγμένων ἀληθεύσεται κατ' αὐτοῦ, τοῦτο δ' ἐστὶν ἀντίφασις τοῦ λευκοῦ. οὔτε δὴ καθ' Ἡράκλειτον

31. διέχοι] τι ἔχοι *ETas*. | ἀληθεύοντος $A^b$*ias*. | 33. τούτω *T*. | γ' om $A^b$ Alex. | μὴ om *T*. | 35. ἀεὶ om $A^b$. | 36. διαμένωμεν *E*. | καὶ om $A^b$*as*.

1063*b* 1. τὴν ἕξιν διακεῖσθαι $A^b$. | ὅθ' ὑγιαίνων *a*, τὸ ὑγιαῖνον *s*. | 2. ὁμοίως *as*. | 3. τὰ om *c*. | 4. καὶ μὴ ταὐτά om $A^b$. | 5. 6. γινομένης μετ. εἰρ. *as*. | 6. γενομένης $A^b$. | μὴ om *c*. | 7. τι ἂν *ETas*. | 8. εἰρημένας om $F^b$. | 9. τούτων *as*. | μηκέτι λόγον *ETas*. | 10. γὰρ καὶ πᾶς *T*. | 17. 18. πᾶσαν ἐναντιότητα] τὰ ἐναντία $A^b$*as*. | 18. λύουσι *ET*. | 21. μέλαν οὔτε λευκὸν $A^b$*c*. | 23. ἀληθεύεται *Eas*. | κατὰ τοῦ αὐτοῦ *T*.

Digitized by Google

ἐνδέχεται λέγοντας ἀληθεύειν, οὔτε κατ' Ἀναξαγόραν. εἰ δὲ μή, συμβήσεται τἀναντία τοῦ αὐτοῦ κατηγορεῖν· ὅταν γὰρ ἐν παντὶ φῇ παντὸς εἶναι μοῖραν, οὐθὲν μᾶλλον εἶναί φησι γλυκὺ ἢ πικρὸν ἢ τῶν λοιπῶν ὁποιανοῦν ἐναντιώσεων, εἴπερ ἐν ἅπαντι πᾶν ὑπάρχει μὴ δυνάμει μόνον ἀλλ' ἐνεργείᾳ καὶ ἀποκεκριμένον. ὁμοίως δὲ ὐδὲ πάσας ψευδεῖς ὐδ' ἀληθεῖς τὰς φάσεις δυνατὸν εἶναι, δι' ἄλλα τε πολλὰ τῶν συναχθέντων ἂν δυσχερῶν διὰ ταύτην τὴν θέσιν, καὶ διότι
225 ψευδῶν μὲν οὐσῶν πασῶν ὐδ' αὐτὸ τῦτό τις φάσκων ἀληθεύσει, ἀληθῶν δὲ ψευδεῖς εἶναι πάσας λέγων οὐ ψεύσεται.

7 Πᾶσα δ' ἐπιςήμη ζητεῖ τινὰς ἀρχὰς καὶ αἰτίας περὶ ἕκαςον τῶν ὑφ' αὐτὴν ἐπιςητῶν, οἷον ἰατρικὴ καὶ γυμναςικὴ καὶ τῶν λοιπῶν ἑκάστη τῶν ποιητικῶν καὶ μαθηματικῶν. 1064*a*
ἑκάςη γὰρ τύτων περιγραψαμένη τι γένος αὐτῇ περὶ τοῦτο πραγματεύεται ὡς ὑπάρχον καὶ ὄν, ὐχ ᾗ δὲ ὄν, ἀλλ' ἑτέρα τις αὕτη παρὰ ταύτας τὰς ἐπιςήμας ἐςὶν ἐπιςήμη. τῶν δὲ λεχθεισῶν ἐπιστημῶν ἑκάστη λαβοῦσά πως τὸ τί ἐστιν ἐν ἑκάστῳ γένει πειρᾶται δεικνύναι τὰ λοιπὰ μαλακώτερον ἢ ἀκριβέστερον. λαμβάνουσι δὲ τὸ τί ἐστιν αἱ μὲν διὰ τῆς αἰσθήσεως αἱ δ' ὑποτιθέμεναι· διὸ καὶ δῆλον ἐκ τῆς τοιαύτης ἐπαγωγῆς ὅτι τῆς οὐσίας καὶ τοῦ τί ἐςιν ὐκ ἔςιν ἀπόδειξις. ἐπεὶ δ' ἔστι τις ἡ περὶ φύσεως ἐπιςήμη, δῆλον ὅτι καὶ πρακτικῆς ἑτέρα καὶ ποιητικῆς ἔςαι. ποιητικῆς μὲν γὰρ ἐν τῷ ποιοῦντι καὶ οὐ τῷ ποιουμένῳ τῆς κινήσεως ἡ ἀρχή, καὶ τῦτ' ἐςὶν εἴτε τέχνη τις εἴτ' ἄλλη τις δύναμις. ὁμοίως δὲ καὶ τῆς πρακτικῆς ὐκ ἐν τῷ πρακτῷ, μᾶλλον δ' ἐν τοῖς πράττουσιν ἡ κίνησις. ἡ δὲ τοῦ φυσικοῦ περὶ τὰ ἔχοντ' ἐν ἑαυτοῖς κινήσεως ἀρχήν ἐςιν. ὅτι μὲν τοίνυν ὔτε πρακτικὴν ὔτε ποιητικὴν ἀλλὰ θεωρητικὴν ἀναγκαῖον εἶναι τὴν φυσικὴν ἐπιστήμην, δῆλον ἐκ τούτων· εἰς ἕν γάρ τι τούτων τῶν γενῶν ἀνάγκη πίπτειν αὐτήν. ἐπεὶ δὲ τὸ τί ἐςιν ἀναγκαῖον ἑκάςῃ πως τῶν ἐπιςημῶν εἰδέναι καὶ τύτῳ χρῆσθαι ἀρχῇ,

25. ἐνδέχεται λέγοντα *Tas*, λέγοντας ἐνδέχεται Alex. | 29. πάντα $A^b$*as*. | 31. φύσεις *T*. | 32. συναχθέντων] λεχθέντων *as*. | καὶ om *T*. | 33. τις τοῦτο $A^b$. | 34. 35. ψεύσεται] ψεύεσθαι *a*, ψεύδεται *s*. | 36. αἴτια $F^b$. | 37. ὑπ' αὐτὴν Alex.

1064*a* 1. τῶν λοιπῶν om *i*. | καὶ μαθ.] ἢ μαθ. *Ts*, om *a*. | 2. αὐτὴ $A^bF^b$, αὐτῇ *a*. | 7. τῆς om $A^b$. | 12. οὐ] ἐν *T*. | 14. καὶ ἐπὶ τῆς *Tas*. | ἐν αὐτοῖς τοῖς *T*. | 16. αὐτοῖς *E*. | 19. αὐτήν om $A^b$.

Digitized by Google

*δεῖ μὴ λανθάνειν πῶς ὁριστέον τῷ φυσικῷ καὶ πῶς ὁ τῆς οὐσίας λόγος ληπτέος, πότερον ὡς τὸ σιμὸν ἢ μᾶλλον ὡς τὸ κοῖλον. τούτων γὰρ ὁ μὲν τοῦ σιμοῦ λόγος μετὰ τῆς ὕλης* 226 *λέγεται τῆς τοῦ πράγματος, ὁ δὲ τοῦ κοίλου χωρὶς τῆς ὕλης· ἡ γὰρ σιμότης ἐν ῥινὶ γίγνεται, διὸ καὶ ὁ λόγος αὐτῆς μετὰ ταύτης θεωρεῖται· τὸ σιμὸν γάρ ἐστι ῥὶς κοίλη. φανερὸν οὖν ὅτι καὶ σαρκὸς καὶ ὀφθαλμοῦ καὶ τῶν λοιπῶν μορίων μετὰ τῆς ὕλης ἀεὶ τὸν λόγον ἀποδοτέον. ἐπεὶ δ' ἔστι τις ἐπιστήμη τοῦ ὄντος ᾗ ὂν καὶ χωριστόν, σκεπτέον πότερόν ποτε τῇ φυσικῇ τὴν αὐτὴν θετέον ταύτην εἶναι ἢ μᾶλλον ἑτέραν. ἡ μὲν οὖν φυσικὴ περὶ τὰ κινήσεως ἔχοντ' ἀρχὴν ἐν αὐτοῖς ἐστίν, ἡ δὲ μαθηματικὴ θεωρητικὴ μὲν καὶ περὶ μένοντά τις αὕτη, ἀλλ' οὐ χωριστά. περὶ τὸ χωριστὸν ἄρα ὂν καὶ τὸ ἀκίνητον ἑτέρα τούτων ἀμφοτέρων τῶν ἐπιστημῶν ἐστί τις, εἴπερ ὑπάρχει τις οὐσία τοιαύτη, λέγω δὲ χωριστὴ καὶ ἀκίνητος, ὅπερ πειρασόμεθα δεικνύναι. καὶ εἴπερ ἔστι τις τοιαύτη φύσις ἐν τοῖς οὖσιν, ἐνταῦθ' ἂν εἴη που καὶ τὸ θεῖον, καὶ αὕτη*
1064b *ἂν εἴη πρώτη καὶ κυριωτάτη ἀρχή. δῆλον τοίνυν ὅτι τρία γένη τῶν θεωρητικῶν ἐπιστημῶν ἐστί, φυσική, μαθηματική, θεολογική. βέλτιστον μὲν οὖν τὸ τῶν θεωρητικῶν ἐπιστημῶν γένος, τούτων δ' αὐτῶν ἡ τελευταία λεχθεῖσα· περὶ τὸ τιμιώτατον γάρ ἐστι τῶν ὄντων, βελτίων δὲ καὶ χείρων ἑκάστη λέγεται κατὰ τὸ οἰκεῖον ἐπιστητόν. ἀπορήσειε δ' ἄν τις πότερόν ποτε τὴν τοῦ ὄντος ᾗ ὂν ἐπιστήμην καθόλου δεῖ θεῖναι ἢ οὔ. τῶν μὲν γὰρ μαθηματικῶν ἑκάστη περὶ ἕν τι γένος ἀφωρισμένον ἐστίν, ἡ δὲ καθόλου κοινὴ περὶ πάντων. εἰ μὲν οὖν αἱ φυσικαὶ οὐσίαι πρῶται τῶν ὄντων εἰσί, κἂν ἡ φυσικὴ πρώτη τῶν ἐπιστημῶν εἴη· εἰ δ' ἔστιν ἑτέρα φύσις καὶ οὐσία χωριστὴ καὶ ἀκίνητος, ἑτέραν ἀνάγκη καὶ τὴν ἐπιστήμην* 227 *αὐτῆς εἶναι καὶ προτέραν τῆς φυσικῆς καὶ καθόλου τῷ προτέραν.*

8 *Ἐπεὶ δὲ τὸ ἁπλῶς ὂν κατὰ πλείους λέγεται τρόπους, ὧν εἷς ἐστὶν ὁ κατὰ συμβεβηκὸς λεγόμενος, σκεπτέον πρῶ-*

26. *θεωρεῖται*] *εἴρηται* **ET**, ***dicitur i***. | 30. *εἶναι ταύτην* **ETas**. | 32. *μὲν ὄντα* **T**. | 33. *τὸ* post *καὶ* om **$A^b$as**. | 34. *τις* om **$A^b$**. | 36. *ἔστι* om **T**.
1064 b 1. *ἂν* om **$A^b$**. | *εἴη*] fort. *εἴη ᾗ* c. Alex. | 3. *μὲν* om **$A^b$**. | *ἐπιστημῶν* om **E**. | 4. 5. *κυριώτατον* **$A^b$**, *τιμιώτερον* **as**. | 7. *θεῖναι δεῖ* **Ts**, *δεῖ* om **a**. | 8. *μὲν* om **$A^b$**. | 9. *δὲ* om **c**. | 10. *καὶ γρ* **E**. | 13. *τῷ* om **$A^b$as**. | ***et universali prior i***. | 15. *ὂν* om **T**. | *πλείους εἶναι λέγεται* **$A^b$i**. | 16. *ἐστὶν ὁ* om **as**. | *συμβεβηκὸς εἶναι λεγόμενος* **$A^b$as**.

Digitized by Google

τον περὶ τοῦ ὄντως ὄντος. ὅτι μὲν οὖν οὐδεμία τῶν παραδεδομένων ἐπιστημῶν πραγματεύεται περὶ τὸ συμβεβηκός, δῆλον· οὔτε γὰρ οἰκοδομικὴ σκοπεῖ τὸ συμβησόμενον τοῖς τῇ οἰκίᾳ χρησομένοις, οἷον εἰ λυπηρῶς ἢ τοὐναντίον οἰκήσουσιν, οὔθ' ὑφαντικὴ οὔτε σκυτοτομικὴ οὔτε ὀψοποιική. τὸ δὲ καθ' αὑτὴν ἴδιον ἑκάστη τούτων σκοπεῖ τῶν ἐπιστημῶν μόνον· τοῦτο δ' ἐστὶ τὸ οἰκεῖον τέλος. οὐδὲ μουσικὸν καὶ γραμματικόν, οὐδὲ τὸν ὄντα μουσικὸν ὅτι γενόμενος γραμματικὸς τὰ ἀμφότερα ἅμα ἔσται, πρότερον οὐκ ὤν, ὃ δὲ μὴ ἀεὶ ὂν ἔστιν, ἐγένετο τοῦτο, ὥσθ' ἅμα μουσικὸς ἐγένετο καὶ γραμματικός, τοῦτο [δὲ] οὐδεμία ζητεῖ τῶν ὁμολογουμένως οὐσῶν ἐπιστημῶν πλὴν ἡ σοφιστική· περὶ τὸ συμβεβηκὸς γὰρ αὕτη μόνη πραγματεύεται, διὸ Πλάτων οὐ κακῶς εἴρηκε φήσας τὸν σοφιστὴν περὶ τὸ μὴ ὂν διατρίβειν. ὅτι δ' οὐδ' ἐνδεχόμενόν ἐστιν εἶναι τοῦ συμβεβηκότος ἐπιστήμην, φανερὸν ἔσται πειραθεῖσιν ἰδεῖν τί ποτ' ἐστὶ τὸ συμβεβηκός. πᾶν δή φαμεν εἶναι τὸ μὲν ἀεὶ καὶ ἐξ ἀνάγκης (ἀνάγκης δ' οὐ τῆς κατὰ τὸ βίαιον λεγομένης, ἀλλ' ᾗ χρώμεθα ἐν τοῖς κατὰ τὰς ἀποδείξεις), τὸ δ' ὡς ἐπὶ τὸ πολύ, τὸ δ' οὔθ' ὡς ἐπὶ τὸ πολὺ οὔτ' ἀεὶ καὶ ἐξ ἀνάγκης ἀλλ' ὅπως ἔτυχεν· οἷον ἐπὶ κυνὶ γένοιτ' ἂν ψῦχος, ἀλλὰ τοῦτ' οὔθ' ὡς ἀεὶ καὶ ἐξ ἀνάγκης οὔθ' ὡς ἐπὶ τὸ πολὺ γίγνεται, συμβαίη δέ ποτ' ἄν. ἔστι δὴ τὸ συμβεβηκὸς ὃ γίγνεται μέν, οὐκ ἀεὶ δ' οὐδ' ἐξ ἀνάγκης οὐδ' ὡς ἐπὶ τὸ 228 πολύ. τί μὲν οὖν ἐστὶ τὸ συμβεβηκός, εἴρηται, διότι δ' οὐκ ἔστιν ἐπιστήμη τοῦ τοιούτου, δῆλον· ἐπιστήμη μὲν γὰρ πᾶσα τοῦ ἀεὶ ὄντος ἢ ὡς ἐπὶ τὸ πολύ, τὸ δὲ συμβεβηκὸς ἐν οὐδετέρῳ τούτων ἐστίν. ὅτι δὲ τοῦ κατὰ συμβεβηκὸς ὄντος οὐκ εἰσὶν αἰτίαι καὶ ἀρχαὶ τοιαῦται οἷαίπερ τοῦ καθ' αὑτὸ ὄντος, δῆλον· ἔσται γὰρ ἅπαντ' ἐξ ἀνάγκης. εἰ γὰρ τόδε μέν ἐστι τοῦδε ὄντος, τόδε δὲ τοῦδε, τοῦτο δὲ μὴ ὅπως ἔτυχεν ἀλλ' ἐξ

17. οὕτως] ὄντως *ETF*$^b$*M*. | 20. χρησαμένοις *a*. | εἰ] ἢ *E*. | 21. ὀψοποιητικὴ *TA*$^b$*asc*. | 22. ἑκάστῃ *c*. | 23. οὐδὲ ᾗ μουσικὸν καὶ γραμματικόν *Tias*, om Alex. vel omittenda videntur esse, vel scribendum οὐδὲ εἰ μ. κ. γ. | 24. 25. ἅμα ἔσται τὰ ἀμφότερα *ETas*. | 25. ὂν *T*. | μὴ] ὂν *T*. | ἐγίγνετο *TA*$^b$*c*, post ἐγίγνετο colon *c*. | 26. ἐγίγνετο *TA*$^b$. | post γραμματικὸς punctum *iascb*, punctum et δὲ om Alex p. 637, 20. | 29. τὴν σοφιστικὴν *T*. | 30. οὐδ'] οὐκ *E*. | 32. δή om *as*. | 33. τὸ om *as*. | τὸ βίαιον] βίαν *A*$^b$ Alex. | 35. οὔθ'] οὐδὲ *A*$^b$. | 37. καὶ add *E* Alex. | ὡς om *ET*.

1065*a* 1. συμβαίνει *T*. | 2. δ' om *TA*$^b$*asc*. | 5. ἐν om *A*$^b$. | 9. τόδε δὲ τοῦδε om *i*.

Digitized by Google

*ἀνάγκης, ἐξ ἀνάγκης ἔσται καὶ οὗ τοῦτ' ἦν αἴτιον ἕως τοῦ τελευταίου λεγομένου αἰτιατοῦ· τοῦτο δ' ἦν κατὰ συμβεβηκός. ὥστ' ἐξ ἀνάγκης ἅπαντ' ἔσται, καὶ τὸ ὁποτέρως ἔτυχε καὶ τὸ ἐνδέχεσθαι καὶ γίγνεσθαι καὶ μὴ παντελῶς ἐκ τῶν γιγνομένων ἀναιρεῖται. κἂν μὴ ὂν δὲ ἀλλὰ γιγνόμενον τὸ αἴτιον ὑποτεθῇ, ταῦτα συμβήσεται· πᾶν γὰρ ἐξ ἀνάγκης γενήσεται. ἡ γὰρ αὔριον ἔκλειψις γενήσεται ἂν τόδε γένηται, τοῦτο δ' ἂν ἕτερόν τι, καὶ τοῦτ' ἂν ἄλλο· καὶ τοῦτον δὴ τὸν τρόπον ἀπὸ πεπερασμένου χρόνου τοῦ ἀπὸ τοῦ νῦν μέχρι αὔριον ἀφαιρουμένου χρόνου ἥξει ποτὲ εἰς τὸ ὑπάρχον. ὥστ' ἐπεὶ τοῦτ' ἐστίν, ἅπαντ' ἐξ ἀνάγκης τὰ μετὰ τοῦτο γενήσεται, ὥστε πάντα ἐξ ἀνάγκης γίγνεσθαι. τὸ δ' ὡς ἀληθὲς ὂν καὶ μὴ κατὰ συμβεβηκὸς τὸ μέν ἐστιν ἐν συμπλοκῇ τῆς διανοίας καὶ πάθος ἐν ταύτῃ· διὸ περὶ μὲν τὸ οὕτως ὂν οὐ ζητοῦνται αἱ ἀρχαί, περὶ δὲ τὸ ἔξω ὂν καὶ χωριστόν· τὸ δ' οὐκ ἀναγκαῖον ἀλλ' ἀόριστον, λέγω δὲ τὸ κατὰ συμβεβηκός· τοῦ τοιούτου δ' ἄτακτα καὶ ἄπειρα τὰ αἴτια. τὸ δὲ ἕνεκά του ἐν τοῖς φύσει γιγνομένοις ἢ ἀπὸ διανοίας ἐστίν. τύχη δ'* 229
*ἐστὶν ὅταν τι τούτων γένηται κατὰ συμβεβηκός. ὥσπερ γὰρ καὶ ὄν ἐστι τὸ μὲν καθ' αὑτὸ τὸ δὲ κατὰ συμβεβηκός, οὕτω καὶ αἴτιον. ἡ τύχη δ' αἴτιον κατὰ συμβεβηκὸς ἐν τοῖς κατὰ προαίρεσιν τῶν ἕνεκά του γιγνομένοις. διὸ περὶ ταὐτὸ τύχη καὶ διάνοια· προαίρεσις γὰρ οὐ χωρὶς διανοίας. τὰ δ' αἴτια ἀόριστα ἀφ' ὧν ἂν γένοιτο τὰ ἀπὸ τύχης· διὸ ἄδηλος ἀνθρωπίνῳ λογισμῷ καὶ αἴτιον κατὰ συμβεβηκός, ἁπλῶς δ' οὐθενός. ἀγαθὴ δὲ τύχη καὶ κακὴ ὅταν ἀγαθὸν ἢ φαῦλον*
1065*b* *ἀποβῇ· εὐτυχία δὲ καὶ δυστυχία περὶ μέγεθος τούτων. ἐπεὶ δ' οὐθὲν κατὰ συμβεβηκὸς πρότερον τῶν καθ' αὐτό,*

10. *ὡς* $TA^b$. | 10. 11. *λεγομένου τελευταίου* ***as***. | 11. *αἰτιατοῦ*] *εἴδους* fort. Alex. | 12. *ἅπαντές τε καὶ* ***T***. | *ὁπότερ'* $A^b$. | 13. *τὸ* om ***T***. | *γενέσθαι* ***E***. | 14. *δὲ* om ***E***. | *ἀλλὰ καὶ γιγν.* ***as***. | 15. *ταὐτὰ* $A^b i$, fort. recte. | *γὰρ τὸ ἐξ* ***as***. | 16. *ἡ*] *εἰ* ***ETas***. | *τοδὶ* ***T***. | 18. *τοῦ ἀπὸ* — 19. *χρόνου* om $A^b c$. | *τοῦ* post *ἀπὸ* om ***s***. | 21. *πάντα* om $A^b$. | *ἀληθὲς* $A^b i$, *ἀληθῶς* ***ascb***. | 22. *μὴ* om ***E***, vel scribendum *τὸ* pro *μή*, vel post *μὴ* addendum *καὶ τό*. | *τῆς* om $A^b$. | 25. post *κατὰ* add *ὡς ἐπ' ἔλαττον* ***as***. | 26. *τὸ δὲ* — 30. *καὶ αἴτιον*. Phys. II, 5. p. 196 *b* 21—25. | 28. *γένηται τούτων* $A^b c$. | 30. *ἡ τύχη* — 35. *οὐθενός*. Phys. p. 197 *a* 5—14. | 30. *δ' αἰτία* ***E***. | 31. *ταυτὰ* ***E***. | 33. *ἂν* om ***T***. | *τὸ* $A^b as$. | 34. *καὶ τὸ αἴτιον* ***T***. | 35. *ἀγαθὴ* — *b* 1. *τούτων*. Phys. p. 197 *a* 25—27. | *δὲ* om $A^b as$.

1065*b* 1. *εὐτυχία*] *ἀτυχία* $TA^b as$. | 2. *ἐπεὶ* — 4. *φύσις*. Phys. II, 6. p. 198 *a* 7—12.

Digitized by Google

οὐδ' ἄρ' αἴτια. εἰ ἄρα τύχη ἢ τὸ αὐτόματον αἴτιον τοῦ οὐρανοῦ, πρότερον νοῦς αἴτιον καὶ φύσις.

9 Ἔστι δὲ τὸ μὲν ἐνεργείᾳ μόνον, τὸ δὲ δυνάμει, τὸ δὲ δυνάμει καὶ ἐνεργείᾳ, τὸ μὲν ὄν, τὸ δὲ ποσόν, τὸ δὲ τῶν λοιπῶν. οὐκ ἔστι δὲ κίνησις παρὰ τὰ πράγματα· μεταβάλλει γὰρ ἀεὶ κατὰ τὰς τοῦ ὄντος κατηγορίας. κοινὸν δ' ἐπὶ τούτων οὐθέν ἐστιν, ὃ οὐδ' ἐν μιᾷ κατηγορίᾳ. ἕκαστον δὲ διχῶς ὑπάρχει πᾶσιν, οἷον τὸ τόδε· τὸ μὲν γὰρ μορφὴ αὐτοῦ, τὸ δὲ στέρησις· καὶ κατὰ τὸ ποιὸν τὸ μὲν λευκὸν τὸ δὲ μέλαν, καὶ κατὰ τὸ ποσὸν τὸ μὲν τέλειον τὸ δ' ἀτελές, καὶ κατὰ φορὰν τὸ μὲν ἄνω τὸ δὲ κάτω, ἢ κοῦφον καὶ βαρύ. ὥστε κινήσεως καὶ μεταβολῆς τοσαῦτ' εἴδη ὅσα τοῦ ὄντος. διῃρημένου δὲ καθ' ἕκαστον γένος τοῦ μὲν δυνάμει τοῦ δ' ἐντελεχείᾳ, τὴν τοῦ δυνάμει, ᾗ τοιοῦτόν ἐστιν, ἐνέργειαν λέγω κίνησιν. ὅτι δ' ἀληθῆ λέγομεν, ἐνθένδε δῆλον. ὅταν γὰρ τὸ οἰκοδομητόν,
230 ᾗ τοιοῦτον αὐτὸ λέγομεν εἶναι, ἐνεργείᾳ ᾖ, οἰκοδομεῖται, καὶ ἔστι τοῦτο οἰκοδόμησις. ὁμοίως μάθησις, ἰάτρευσις καὶ κύλισις, βάδισις, ἅλσις, γήρανσις, ἅδρυνσις. συμβαίνει δὲ κινεῖσθαι ὅταν ἡ ἐντελέχεια ᾖ αὕτη καὶ οὔτε πρότερον οὔθ' ὕστερον. ἡ δὴ τοῦ δυνάμει ὄντος ἐντελέχεια, ὅταν ἐντελεχείᾳ ὂν ἐνεργῇ ἢ αὐτὸ ἢ ἄλλο ᾗ κινητόν, κίνησίς ἐστιν. λέγω δὲ τὸ ᾗ ὧδε. ἔστι γὰρ ὁ χαλκὸς δυνάμει ἀνδριάς· ἀλλ' ὅμως οὐχ ἡ τοῦ χαλκοῦ ἐντελέχεια, ᾗ χαλκός, κίνησίς ἐστιν. οὐ γὰρ ταὐτὸν χαλκῷ εἶναι καὶ δυνάμει τινί, ἐπεὶ εἰ ταὐτὸν ἦν ἁπλῶς κατὰ τὸν λόγον, ἦν ἂν ἡ τοῦ χαλκοῦ ἐντελέχεια κίνησίς τις.

3. ἢ καὶ τὸ $A^b$*as*. | 4. αἴτιος **$ETA^b$**. | 5. ἔστι δὲ — 7. λοιπῶν Phys. III, 1. p. 200*b* 26—28. | 5. τὸ δὲ δυνάμει om $A^b$ et *Φ*, sed cf. Simpl. ad Ph. l. l. | 7. οὐκ — 20. ἅδρυνσις Phys. p. 200*b* 32—201*a* 19. | 7. δὲ] δέ τις *E*, δέ τι *T*. | 9. ὃ add **ETΦ**, om ***iascb***. | 10. τὸ om ***as***. | τόνδε *T*. | μορφὴ] ἕξις *T*. | 13. ἢ τὸ μὲν κοῦφον ***TΦas***. | καὶ] τὸ δὲ ***ETΦas***, ***aut i***. | 15. τοῦ μὲν] τὸ μὲν ***as***, om $A^b$. | τὸ δὲ ***as***. | 16. τὴν τοῦ] τοῦτο *T*. | ὅτι — 17. δῆλον om *T*. | 18. ᾗ τοιοῦτον αὐτὸ λέγομεν εἶναι, ἐνεργείᾳ ᾖ, οἰκ. scripsi e *Φ*, ᾗ τοιοῦτον, αὐτὸ λέγομεν εἶναι ἐνεργείᾳ ᾖ οἰκ. ***ascb***, ᾗ utroque loco habuit ***i***. | 19. ἔστι τι τοῦτο *E*. | καὶ κύλισις om ***ET***. | 20. βάδισις om $A^b$*Φ*. | γήρανσις] πέπανσις, πείρανσις *T*. | 20. συμβαίνει — 22. ὕστερον Phys. p. 201*b* 6. 7. | 21. ἡ ἐντελέχεια ᾖ αὕτη *Φ*, ᾖ ἐντελέχεια (ἐντελεχεία ***a***) ἡ αὐτή ***ascb***, ***cum actus ipse fuerit i***, cf. *b* 35. | 22. ἡ δὴ — p. 1066*a* 26. εἶναι Phys. p. 201*a* 27—202*a* 3. | 22. ἡ δὴ] ἤδη **$TA^b$**, ἡ δὲ ***ia*** et *Φ*. | ἐντελέχεια add ***ias***, cf. *b* 33, om ***cb*** et *Φ*. | 23. ἢ αὐτὸ — κινητόν] οὐχ ᾗ αὐτὸ ἀλλ' ᾗ κινητόν ***ETiΦI*** et γρ Simpl. | ἡ κίνησίς ***ET***. | 24. ᾗ] ᾗ ***s***. | 26. post τινί add κινητῷ *Φ*. | 27. κατὰ] καὶ κατὰ ***iΦ***.



Digitized by Google

*οὐκ ἔςι δὲ ταὐτό. δῆλον δ' ἐπὶ τῶν ἐναντίων· τὸ μὲν γὰρ δύνασθαι ὑγιαίνειν καὶ δύνασθαι κάμνειν οὐ ταὐτόν (καὶ γὰρ ἂν τὸ ὑγιαίνειν καὶ τὸ κάμνειν ταὐτὸν ἦν), τὸ δ' ὑποκείμενον καὶ ὑγιαῖνον καὶ νοσοῦν, εἴθ' ὑγρότης εἴθ' αἷμα, ταὐτὸ καὶ ἕν. ἐπεὶ δ' οὐ ταὐτόν, ὥσπερ οὐδὲ χρῶμα ταὐτὸν καὶ ὁρατόν, ἡ τοῦ δυνατοῦ ᾗ δυνατὸν ἐντελέχεια κίνησίς ἐςιν. ὅτι μὲν οὖν ἐςὶν αὕτη, καὶ ὅτι συμβαίνει τότε κινεῖσθαι ὅταν ἡ ἐντελέχεια ᾖ αὕτη, καὶ οὔτε πρότερον οὔθ' ὕςερον, δῆλον.*

1066a *ἐνδέχεται γὰρ ἕκαςον ὁτὲ μὲν ἐνεργεῖν ὁτὲ δὲ μή, οἷον τὸ οἰκοδομητὸν ᾗ οἰκοδομητόν, καὶ ἡ τοῦ οἰκοδομητοῦ ἐνέργεια ᾗ οἰκοδομητόν, οἰκοδόμησίς ἐςιν. ἢ γὰρ τοῦτο ἐςὶν ἡ οἰκοδόμησις ἡ ἐνέργεια ἢ οἰκία. ἀλλ' ὅταν οἰκία ᾖ, οὐκέτι οἰκοδομητὸν ἔσται· οἰκοδομεῖται δὲ τὸ οἰκοδομητόν. ἀνάγκη ἄρα οἰκοδόμησιν τὴν ἐνέργειαν εἶναι, ἡ δ' οἰκοδόμησις κίνησίς τις. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν ἄλλων κινήσεων. ὅτι δὲ καλῶς εἴρηται, δῆλον ἐξ ὧν οἱ ἄλλοι λέγουσι περὶ αὐτῆς, καὶ* 231 *ἐκ τοῦ μὴ ῥᾴδιον εἶναι διορίσαι ἄλλως αὐτήν. οὔτε γὰρ ἐν ἄλλῳ τις γένει δύναιτ' ἂν θεῖναι αὐτήν. δῆλον δ' ἐξ ὧν λέγουσιν οἱ μὲν ἑτερότητα καὶ ἀνισότητα καὶ τὸ μὴ ὄν, ὧν οὐθὲν ἀνάγκη κινεῖσθαι. ἀλλ' οὐδ' ἡ μεταβολὴ οὔτ' εἰς ταῦτα οὔτ' ἐκ τούτων μᾶλλον ἢ ἐκ τῶν ἀντικειμένων. αἴτιον δὲ τοῦ εἰς ταῦτα τιθέναι ὅτι ἀόριστόν τι δοκεῖ εἶναι ἡ κίνησις, τῆς δ' ἑτέρας συςοιχίας αἱ ἀρχαὶ διὰ τὸ ςερητικαὶ εἶναι ἀόριςοι· οὔτε γὰρ τόδε οὔτε τοιόνδε οὐδεμία αὐτῶν οὔτε τῶν λοιπῶν κατηγοριῶν. τοῦ δὲ δοκεῖν ἀόριστον εἶναι τὴν κίνησιν, αἴτιον ὅτι οὔτ' εἰς δύναμιν τῶν ὄντων οὔτ' εἰς ἐνέργειαν ἔστι θεῖναι αὐτήν· οὔτε γὰρ τὸ δυνατὸν ποσὸν εἶναι κινεῖται ἐξ ἀνάγκης, οὔτε τὸ ἐνεργείᾳ ποσόν, ἥ τε κίνησις ἐνέργεια μὲν εἶναι δοκεῖ τις, ἀτελὴς δέ· αἴτιον δ' ὅτι ἀτελὲς τὸ δυνατὸν*

29. οὐ om **T**. | ταὐτὸν ἦν καὶ **T**$A^b$**as**. | 30. ἂν om **T**. | τὸ post καὶ om **E**. | 31. καὶ τὸ ὑγ. κ. τὸ νοσ. **Φ**. | καὶ ν.] ***aut i***. | 32. οὐ τὸ αὐτό **E**, οὕτω αὐτό **T**. | 33. ᾗ] καὶ ἡ $A^b$. | 34. οὖν $A^b$**iΦ**, γὰρ **ascb**. | ὅτε $A^b$. | κινεῖσθαι τότε **T**. | 34. 35. ὅταν ᾖ ἐντελέχεια αὕτη **ET**.

1066***a*** 2. ᾗ οἰκοδομητὸν om **Φ**. | 3. ἢ] εἰ **E**. | τούτου conieci e **Φ**, τοῦτό **iascb**. | ἐστιν] οἰκία ἐστὶν **ET**. | ἡ] ἢ ἡ **T**. | 4. ἡ] ἢ **asc**, om **ET**. | ἡ ἐνέργ.] ***in aedificabili actus i***. | ἢ οἰκία om **ET**$A^b$. | ὅταν ᾖ οἰκ. **as**. | 5. ἔσται] ἔστιν **ΦE**, fort. recte, om $A^b$. | 9. ἄλλως αὐτήν et 10. δ' om **T**. | 11. μὲν] μὲν γὰρ $A^b$**as**. | 13. τοιούτων **as**. | ἐκ post ἢ om **ET**. | 15. συστοιχείας **T**. | 16. οὐδὲ μία **a**. | οὔτε] ὅτι οὐδὲ **Φ**. | 17. τὴν κίνησιν εἶναι $A^b$**c**. | 19. τιθέναι **ETasc**. | post αὐτήν add ἁπλῶς **ΦEF**. 21. τις om **T**.

Digitized by Google

οὗ ἐστὶν ἐνέργεια. καὶ διὰ τοῦτο χαλεπὸν αὐτὴν λαβεῖν τί ἐστιν· ἢ γὰρ εἰς στέρησιν ἀνάγκη θεῖναι ἢ εἰς δύναμιν ἢ εἰς ἐνέργειαν ἁπλῆν, τούτων δ' οὐθὲν φαίνεται ἐνδεχόμενον. ὥστε λείπεται τὸ λεχθὲν εἶναι καὶ ἐνέργειαν καὶ μὴ ἐνέργειαν τὴν εἰρημένην, ἰδεῖν μὲν χαλεπὴν ἐνδεχομένην δ' εἶναι. καὶ ὅτι ἔστιν ἡ κίνησις ἐν τῷ κινητῷ, δῆλον· ἐντελέχεια γάρ ἐστι τούτου ὑπὸ τοῦ κινητικοῦ. καὶ ἡ τοῦ κινητικοῦ ἐνέργεια οὐκ ἄλλη ἐστίν· δεῖ μὲν γὰρ εἶναι ἐντελέχειαν ἀμφοῖν· κινητικὸν μὲν γάρ ἐστι τῷ δύνασθαι, κινοῦν δὲ τῷ ἐνεργεῖν. ἀλλ' ἔστιν ἐνεργητικὸν τοῦ κινητοῦ; ὥσθ' ὁμοίως μία ἡ ἀμφοῖν ἐνέργεια, ὥσπερ τὸ αὐτὸ διάστημα ἓν πρὸς δύο καὶ δύο πρὸς ἕν, καὶ τὸ ἄναντες καὶ τὸ κάταντες, ἀλλὰ τὸ εἶναι οὐχ ἕν. ὁμοίως δὲ καὶ ἐπὶ τοῦ κινοῦντος καὶ κινουμένου.

10 Τὸ δ' ἄπειρον ἢ τὸ ἀδύνατον διελθεῖν τῷ μὴ πεφυκέ-
232ναι διιέναι, καθάπερ ἡ φωνὴ ἀόρατος, ἢ τὸ διέξοδον ἔχον ἀτελεύτητον, ἢ ὃ μόλις, ἢ ὃ πεφυκὸς ἔχειν μὴ ἔχει διέξοδον ἢ πέρας· ἔτι προσθέσει ἢ ἀφαιρέσει ἢ ἄμφω. χωριστὸν μὲν δὴ αὐτό τι ὄν, αἰσθητὸν δ' οὐχ οἷόν τ' εἶναι. εἰ γὰρ μήτε μέγεθός ἐστι μήτε πλῆθος, οὐσία δ' αὐτὸ τὸ ἄπειρον καὶ μὴ συμβεβηκός, ἀδιαίρετον ἔσται· τὸ γὰρ διαιρετὸν ἢ μέγεθος ἢ πλῆθος. εἰ δὲ ἀδιαίρετον, οὐκ ἄπειρον, εἰ μὴ καθάπερ ἡ φωνὴ ἀόρατος. ἀλλ' οὐχ οὕτω λέγουσιν οὐδ' ἡμεῖς ζητοῦμεν, ἀλλ' ὡς ἀδιέξοδον. ἔτι πῶς ἐνδέχεται καθ' αὑτὸ εἶναι ἄπειρον, εἰ μὴ καὶ ἀριθμὸς καὶ μέγεθος, ὧν πάθος τὸ ἄπειρον; ἔτι εἰ κατὰ συμβεβηκός, οὐκ ἂν εἴη στοιχεῖον τῶν ὄντων ᾗ ἄπειρον, ὥσπερ οὐδὲ τὸ ἀόρατον τῆς διαλέκτου, καίτοι ἡ φωνὴ ἀόρατος. καὶ ὅτι οὐκ ἔστιν ἐνεργείᾳ εἶναι τὸ ἄπειρον,

25. τὸ λεχθὲν — 26. εἰρημένην] ὁ εἰρημένος τρόπος, ἐνέργειαν μέν τινα εἶναι, τοιαύτην δ' ἐνέργειαν οἵαν εἴπαμεν *Φ*. | 25. καὶ μὴ ἐνέργειαν om *A*^b^. | μὴ fort. omittendum. | 26. καὶ ὅτι — 34. κινουμένου Phys. III, 3. p. 202*a* 13—21. | 28. ὑπὸ] καὶ ὑπὸ *Φ*. | 30. τῷ — τῷ] τὸ — τὸ *as*. | 31. ἡ add *EΦ*, om *ascb*. | 32. τὸ διάστημα τὸ αὐτὸ *E*. | 35. τὸ δ' — *b* 7. ἀδιέξοδον. Phys. III, 4. 5. p. 204*a* 3—14. | 35. δ' om *A*^b^. | 37. ἔχῃ *as*.

1066*b* 1. ἢ κατὰ πρόσθεσιν ἢ κατὰ διαίρεσιν ἢ ἀμφοτέρως *Φ*. | 2. αἰσθητὸν δ' om *Ei*, fort. e *Φ* recipiendum τῶν αἰσθητῶν. cf. Obs. p. 81. | 3. ἐστι om *A*^b^. | αὐτὸ *ETΦ*, αὑτοῦ *iasb*. | 6. οὐδ'] οὔθ' *ET*. | 7. ἔτι — 8. 9. ἄπειρον Phys. p. 204*a* 17—19. | 8. καὶ ἀριθμὸν *Φ*, εἴη ἀριθμὸς *as*. | 9. ἔτι — 11. ἀόρατος Phys. p. 204*a* 14—17. | 10. ᾗ] ἢ *A*^b^. | ᾗ ἄπειρον] *prout infinitum passio est i*. | 11. καὶ ὅτι — 21. ἄρτιον Phys. p. 204*a* 20—32.



Digitized by Google

δῆλον. ἔϛαι γὰρ ὁτιȣ̃ν αὐτȣ̃ ἄπειρον μέρος τὸ λαμβανόμενον· τὸ γὰρ ἀπείρῳ εἶναι καὶ ἄπειρον ταὐτό, εἴπερ ȣ̓σία τὸ ἄπειρον καὶ μὴ καθ' ὑποκειμένου· ὥστε ἢ ἀδιαίρετον, ἢ εἰς ἄπειρα διαιρετόν, εἰ μεριϛόν. πολλὰ δ' εἶναι τὸ αὐτὸ ἀδύνατον ἄπειρα· ὥσπερ γὰρ ἀέρος ἀὴρ μέρος, οὕτως ἄπειρον ἀπείρȣ, εἰ ἔϛιν ȣ̓σία καὶ ἀρχή. ἀμέριϛον ἄρα καὶ ἀδιαίρετον. ἀλλ' ἀδύνατον τὸ ἐντελεχείᾳ ὂν ἄπειρον· ποσὸν γὰρ εἶναι ἀνάγκη. κατὰ συμβεβηκὸς ἄρα ὑπάρχει. ἀλλ' εἰ ȣ̔́τως, εἴρηται ὅτι οὐκ ἐνδέχεται εἶναι ἀρχὴν ἀλλ' ἐκεῖνο ᾧ συμβέβηκε, τὸν ἀέρα ἢ τὸ ἄρτιον. αὕτη μὲν ȣ̓̃ν ἡ ζήτησις καθόλȣ· ὅτι δ' ἐν τοῖς αἰσθητοῖς ȣ̓κ ἔϛιν, ἐνθένδε δῆλον. εἰ γὰρ σώματος λόγος τὸ ἐπιπέδοις ὡρισμένον, οὐκ εἴη ἂν 233
ἄπειρον σῶμα οὔτ' αἰσθητὸν οὔτε νοητόν, οὐδ' ἀριθμὸς ὡς κεχωρισμένος καὶ ἄπειρος· ἀριθμητὸν γὰρ ὁ ἀριθμὸς ἢ τὸ ἔχον ἀριθμόν. φυσικῶς δὲ ἐκ τῶνδε δῆλον. οὔτε γὰρ σύνθετον οἷόν τ' εἶναι οὔθ' ἁπλοῦν. σύνθετον μὲν γὰρ οὐκ ἔϛαι σῶμα, ἐπείπερ πεπέρανται τῷ πλήθει τὰ ϛοιχεῖα. δεῖ γὰρ ἰσάζειν τἀναντία καὶ μὴ εἶναι ἓν αὐτῶν ἄπειρον· εἰ γὰρ ὁποσῳοῦν λείπεται ἡ θατέρου σώματος δύναμις, φθαρήσεται ὑπὸ τοῦ ἀπείρου τὸ πεπερασμένον. ἕκαϛον δ' ἄπειρον εἶναι ἀδύνατον· σῶμα γάρ ἐϛι τὸ πάντῃ ἔχον διάϛασιν, ἄπειρον δὲ τὸ ἀπεράντως διεϛηκός, ὥϛε τὸ ἄπειρον σῶμα πάντῃ ἔϛαι ἄπειρον. ȣ̓δὲ ἓν δὲ καὶ ἁπλȣ̃ν ἐνδέχεται τὸ ἄπειρον εἶναι σῶμα, ȣ̓́θ' ὡς λέγȣσί τινες παρὰ τὰ ϛοιχεῖα ἐξ ȣ̔̃ γεννῶσι ταῦτα (οὐκ ἔστι γὰρ τὸ τοιοῦτο σῶμα παρὰ τὰ ϛοιχεῖα· ἅπαντα γὰρ ἐξ ὧν ἐϛὶ καὶ διαλύεται εἰς ταῦτα, ȣ̔ φαίνεται

12. ὁτιοῦν ἑαυτοῦ *Tas*, αὐτοῦ ὁτιοῦν $A^b$. | μέρος τὸ λαμ.] τὸ λαμ. εἰ μεριστόν *Φ*. | 13. τῷ γὰρ *as*. | 14. μὴ om *T*. | 15. ἄπειρα] ἀεὶ διαιρετὰ $A^b$. | εἰ] ἢ *Tas*. | εἰ μεριστόν om *Φ*. | 16. μέρος ἀὴρ ἀέρος **ETas**. | 19. εἰ om $A^b$*ias*. | 20. ἐκείνῳ *T*. | 21. ἀέρα] ἀριθμὸν *ias*. | 21. αὕτη — 22. δῆλον Phys. p. 204*a* 34 — *b* 5, sed turbavit epitomator sententiarum nexum. | 22. δ' οὐδ' ἐν $A^b$. | 22. εἰ γὰρ — 26. ἀριθμόν Phys. p. 204*b* 5 — 8. | 24. οὔτ' **ETasc**. | 25. ὁ om *Φ*. | 26. φυσικῶς — 36. ταῦτα Phys. p. 204*b* 10 — 24. | 26. φυσικὸν *T*. | 27. τ' om *T*. | γὰρ] οὖν *Φ*. | ἔσται] ἔνι $A^b$, ἔστι *as*. | 28. ἐπείπερ] εἰ **ETΦ**, fort. recipiendum, ἐπεὶ εἰ *as*, *si quidem i*. | 30. ὁποσῳοῦν scripsi e *Φ*, ὁτῳοῦν *E*, *quantumvis i*, ὁπωσοῦν *ascb*. | 33. ὥστε **ETiΦ**, ὥστ' εἰ *ascb*. | ἐστὶν *as*. | 34. οὐδὲ ἓν δὲ ἁπλοῦν **Eas**, οὐδὲ ἓν καὶ ἁπλοῦν $A^b$c, ἁπλοῦν δ' *T*. | τὸ om **ET** et **ΦE**. | 35. παρὰ] τὸ παρὰ *Φ*. | 36. οὐκ ἔστι — p. 1067*a* 7. ψυχρόν Phys. p. 204*b* 32 — 205*a* 7. | 36. τὸ om **ETΦ**, fort. recte. | 37. ἅπαν *T*. | ἐξ οὗ ἐστὶ καὶ ὧν διαλ. *as*. | ὧν] οὗ **ETΦ**. | ταυτό *T*, τοῦτο **EΦ**.

Digitized by Google

δὲ τοῦτο παρὰ τὰ ἁπλᾶ σώματα), οὐδὲ πῦρ οὐδ' ἄλλο τι 1067*a*
τῶν στοιχείων οὐθέν. χωρὶς γὰρ τοῦ ἄπειρον εἶναί τι αὐτῶν ἀδύνατον τὸ ἅπαν, κἂν ᾖ πεπερασμένον, ἢ εἶναι ἢ γίγνεσθαι ἕν τι αὐτῶν, ὥσπερ Ἡράκλειτός φησιν ἅπαντα γίγνεσθαί ποτε πῦρ. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τοῦ ἑνός, ὃ ποιοῦσι παρὰ τὰ στοιχεῖα οἱ φυσικοί. πᾶν γὰρ μεταβάλλει ἐξ ἐναντίου, οἷον ἐκ θερμοῦ εἰς ψυχρόν. ἔτι τὸ αἰσθητὸν σῶμα ποῦ, καὶ ὁ αὐτὸς τόπος ὅλου καὶ μορίου, οἷον τῆς γῆς. ὥστ' εἰ μὲν ὁμοειδές, ἀκίνητον ἔσται ἢ ἀεὶ οἰσθήσεται. τοῦτο δὲ ἀδύνατον· τί γὰρ μᾶλλον κάτω ἢ ἄνω ἢ ὁπουοῦν; οἷον εἰ βῶλος εἴη, ποῦ αὕτη κινήσεται ἢ μενεῖ; ὁ γὰρ
234 τόπος αὐτῆς τοῦ συγγενοῦς σώματος ἄπειρος. καθέξει οὖν τὸν ὅλον τόπον; καὶ πῶς; τίς οὖν ἡ μονὴ καὶ ἡ κίνησις; ἢ πανταχοῦ μενεῖ; οὐ κινήσεται ἄρα. ἢ πανταχοῦ κινήσεται; οὐκ ἄρα στήσεται. εἰ δ' ἀνόμοιον τὸ πᾶν, ἀνόμοιοι καὶ οἱ τόποι, καὶ πρῶτον μὲν οὐχ ἓν τὸ σῶμα τοῦ παντὸς ἀλλ' ἢ τῷ ἅπτεσθαι, εἶτα ἢ πεπερασμένα ταῦτ' ἔσται ἢ ἄπειρα εἴδει. πεπερασμένα μὲν οὖν οὐχ οἷόν τε· ἔσται γὰρ τὰ μὲν ἄπειρα τὰ δ' οὔ, εἰ τὸ πᾶν ἄπειρον, οἷον πῦρ ἢ ὕδωρ· φθορὰ δὲ τὸ τοιοῦτον τοῖς ἐναντίοις. εἰ δ' ἄπειρα καὶ ἁπλᾶ, καὶ οἱ τόποι ἄπειροι καὶ ἔσται ἄπειρα τὰ στοιχεῖα· εἰ δὲ τοῦτ' ἀδύνατον καὶ οἱ τόποι πεπερασμένοι, καὶ τὸ πᾶν ἀνάγκη πεπεράνθαι. ὅλως δ' ἀδύνατον ἄπειρον εἶναι σῶμα καὶ τόπον τοῖς σώμασιν, εἰ πᾶν σῶμα αἰσθητὸν ἢ βάρος ἔχει ἢ κουφότητα. ἢ γὰρ ἐπὶ τὸ μέσον ἢ ἄνω οἰσθήσεται, ἀδύνατον δὲ τὸ ἄπειρον ἢ πᾶν ἢ τὸ ἥμισυ ὁποτερονοῦν πεπονθέναι· πῶς γὰρ διελεῖς; ἢ πῶς τοῦ ἀπείρου ἔσται τὸ μὲν κάτω τὸ δ' ἄνω, ἢ ἔσχατον καὶ μέσον; ἔτι πᾶν σῶμα

1067*a* 1. παρὰ $A^b$*iasΦ*, περὶ *cb*. | τι om $A^b$. | 4. ἕν om *as*. | 5. ὃ] οἷον *Φ*. | 7. ἐξ ἐναντίου εἰς ἐναντίον *Φ*. | 7. ἔτι τὸ — 20. ἐναντίοις Phys. p. 205*a* 10—25. | 9. post γῆς adde καὶ βώλου μιᾶς e *Φ*, cf. Obs. p. 82. | 9. 10. αἰσθήσεται· τοῦ δὲ *T*. | 10. κάτω] καὶ τὸ *T*. | 11. et 14. κινηθήσεται *asΦ*. | 12. αὐτῆς τοῦ συγγενοῦς] fort. τοῦ συγγενοῦς αὐτῇ e *Φ*. | 13. post τόπον interrogandi signum posui e *Φ*, punctum *cb*. | ἡ utrumque om $A^b$. | 14. ἢ prius] ἡ *a*. | κινήσεται posterius om *ETA*$^b$*ac*. | 17. τῷ] τὸ *as*. | 18. ἔν τισι λείπει τὸ εἴδει γρ *E*. | 19. εἰ] ἢ *c*. | 20. εἰ δ' — 23. πεπεράνθαι Phys. p. 205*a* 29—32. | 21. τὰ om $A^b$. | 23. ὅλως — 33. πέρας τι Phys. p. 205*b* 24—206*a* 7. | 24. ἢ om $A^b$*as*. | 26. ἢ π. — ὁποτερονοῦν] ἢ ἅπαν ὁποτερονοῦν ἢ τὸ ἥμισυ ἑκάτερον *Φ*. | post ἥμισυ add ἢ *iascb*, om *E*. | 27. διέλῃς $A^b$*as*. | 28. 29. αἰσθητὸν σῶμα *ETas*.

Digitized by Google

*αἰσθητὸν ἐν τόπῳ, τόπου δὲ εἴδη ἕξ, ἀδύνατον δ' ἐν τῷ ἀπείρῳ σώματι ταῦτ' εἶναι. ὅλως δ' εἰ ἀδύνατον τόπον ἄπειρον εἶναι, καὶ σῶμα ἀδύνατον· τὸ γὰρ ἐν τόπῳ ποῦ, τοῦτο δὲ σημαίνει ἢ ἄνω ἢ κάτω ἢ τῶν λοιπῶν τι, τούτων δ' ἕκαστον πέρας τι. τὸ δ' ἄπειρον οὐ ταὐτὸν ἐν μεγέθει καὶ κινήσει καὶ χρόνῳ ὡς μία τις φύσις, ἀλλὰ τὸ ὕστερον λέγεται κατὰ τὸ πρότερον, οἷον κίνησις κατὰ τὸ μέγεθος ἐφ' οὗ κινεῖται ἢ ἀλλοιοῦται ἢ αὔξεται, χρόνος δὲ διὰ τὴν κίνησιν.*

11 *Μεταβάλλει δὲ τὸ μεταβάλλον τὸ μὲν κατὰ συμ-*
1067*b* *βεβηκός, ὡς τὸ μουσικὸν βαδίζειν, τὸ δὲ τῷ τούτου τι με-* 235
*ταβάλλειν ἁπλῶς λέγεται μεταβάλλειν, οἷον ὅσα κατὰ μέρη· ὑγιάζεται γὰρ τὸ σῶμα, ὅτι ὁ ὀφθαλμός. ἔστι δέ τι ὃ καθ' αὑτὸ πρῶτον κινεῖται, καὶ τοῦτ' ἐστὶ τὸ καθ' αὑτὸ κινητόν. ἔστι δέ [τι] καὶ ἐπὶ τοῦ κινοῦντος ὡσαύτως· κινεῖ γὰρ τὸ μὲν κατὰ συμβεβηκὸς τὸ δὲ κατὰ μέρος τὸ δὲ καθ' αὑτό· ἔστι δέ τι τὸ κινοῦν πρῶτον· ἔστι δέ τι τὸ κινούμενον, ἔτι ἐν ᾧ χρόνῳ καὶ ἐξ οὗ καὶ εἰς ὅ. τὰ δ' εἴδη καὶ τὰ πάθη καὶ ὁ τόπος, εἰς ἃ κινοῦνται τὰ κινούμενα, ἀκίνητά ἐστιν, οἷον ἐπιστήμη καὶ θερμότης· ἔστι δ' οὐχ ἡ θερμότης κίνησις ἀλλ' ἡ θέρμανσις. ἡ δὲ μὴ κατὰ συμβεβηκὸς μεταβολὴ οὐκ ἐν ἅπασιν ὑπάρχει, ἀλλ' ἐν τοῖς ἐναντίοις καὶ μεταξὺ καὶ ἐν ἀντιφάσει. τούτου δὲ πίστις ἐκ τῆς ἐπαγωγῆς. μεταβάλλει δὲ τὸ μεταβάλλον ἢ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ οὐκ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, ἢ ἐξ ὑποκειμένου εἰς οὐχ ὑποκείμενον, ἢ οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον. λέγω δὲ ὑποκείμενον τὸ καταφάσει δηλούμενον.*

32. *δὲ*] *δὲ δὴ* **ET**, *δὴ* ***a***. | 33. *τὸ δ'* — 37. *κίνησιν* Phys. III, 7. p. 207*b* 21—25. | 34. *χρόνω καὶ κινήσει* ***T***. | *ἀλλὰ*] *ἅμα* ***T***.

1067*b* 1. *μεταβάλλει* — 9. *ὅ* Phys. V, 1. p. 224*a* 21—35. | 2. *ὡς*] ***velut cum dicimus i***, *οἷον ὅταν λέγωμεν* ***Φ***. | *βαδίζει* ***A^b***. | 5. *ὃ καθ'*] *καὶ ὃ* ***ET***. | 6. *τι* om ***iΦ***. | 7. *τὸ μὲν* add ***iasΦ***, om ***cb***. | *τὸ δὲ κατὰ* ***A^biasΦ***, *τόδε μὲν κ.* ***T***, *τὸ μὲν κ.* ***cb***. | 8. *δέ* alterum om ***E***. | 8. 9. *ἔτι ἐν ᾧ* ***ETiasΦ***, *ἔν τινι* ***cb***. | 9. *χρόνῳ*] fort. *ὁ χρόνος* cum ***i*** et ***Φ***, cf. Obs. p. 82. | *καὶ* ante *εἰς* om ***a***. | 9. *τὰ δ'* — 12. *θέρμανσις* Phys. p. 224*b* 11—15. | 9. *δ'* om ***T***. | *τὰ* om ***ET***. | 12. *ἡ δὲ* — 14. *ἐπαγωγῆς* Phys. p. 224*b* 28—30. | 14. 15. *μεταβάλλει* — p. 1068*b* 15 *γενέσεως* Phys. p. 225*a* 2—226*a* 16. | 16. *ἢ οὐκ* — 18. *δὲ ὑποκείμενον* om ***A^b***. | 16. *ἢ οὐκ* — *ὑποκείμενον* om ***as***. | *ἢ ἐξ* — 17. *εἰς ὑποκ.*] *ἢ ἐκ μὴ ὑποκειμένου εἰς ὑποκείμενον, ἢ ἐξ ὑποκειμένου εἰς μὴ ὑποκ.* ***as***. | 17. *οὐχ* om ***T***. | *ἢ* — 17. 18. *ὑποκείμενον* add ***Ei***.

Digitized by Google

ὥστ' ἀνάγκη τρεῖς εἶναι μεταβολάς· ἡ γὰρ ἐξ οὐχ ὑποκειμένου εἰς μὴ ὑποκείμενον οὐκ ἔστι μεταβολή· οὔτε γὰρ ἐναντία οὔτε ἀντίφασίς ἐστιν, ὅτι οὐκ ἀντίθεσις. ἡ μὲν οὖν οὐκ ἐξ ὑποκειμένου εἰς ὑποκείμενον κατ' ἀντίφασιν γένεσίς ἐστιν, ἡ μὲν ἁπλῶς ἁπλῆ, ἡ δὲ τινὸς τίς· ἡ δ' ἐξ ὑποκειμένου εἰς μὴ ὑποκείμενον φθορά, ἡ μὲν ἁπλῶς ἁπλῆ, ἡ δὲ τινὸς τίς. εἰ δὴ τὸ μὴ ὂν λέγεται πλεοναχῶς, καὶ μήτε τὸ κατὰ σύνθεσιν ἢ διαίρεσιν ἐνδέχεται κινεῖσθαι, μήτε τὸ κατὰ δύναμιν τὸ τῷ ἁπλῶς ὄντι ἀντικείμενον· τὸ γὰρ μὴ
236 λευκὸν ἢ μὴ ἀγαθὸν ὅμως ἐνδέχεται κινεῖσθαι κατὰ συμβεβηκός (εἴη γὰρ ἂν ἄνθρωπος τὸ μὴ λευκόν), τὸ δ' ἁπλῶς μὴ τόδε οὐδαμῶς· ἀδύνατον γὰρ τὸ μὴ ὂν κινεῖσθαι· εἰ δὲ τοῦτο, καὶ τὴν γένεσιν κίνησιν εἶναι· γίγνεται γὰρ τὸ μὴ ὄν. εἰ γὰρ καὶ ὅτι μάλιστα κατὰ συμβεβηκὸς γίγνεται, ἀλλ' ὅμως ἀληθὲς εἰπεῖν ὅτι ὑπάρχει τὸ μὴ ὂν κατὰ τοῦ γιγνομένου ἁπλῶς. ὁμοίως δὲ καὶ τὸ ἠρεμεῖν. ταῦτά τε δὴ συμβαίνει δυσχερῆ, καὶ εἰ πᾶν τὸ κινούμενον ἐν τόπῳ, τὸ δὲ μὴ ὂν οὐκ ἔστιν ἐν τόπῳ· εἴη γὰρ ἄν που. οὐδὲ δὴ ἡ φθορὰ κίνησις· ἐναντίον γὰρ κινήσει κίνησις ἢ ἠρεμία, φθορὰ δὲ γενέσει. ἐπεὶ δὲ πᾶσα κίνησις μεταβολή τις, 1068*a*
μεταβολαὶ δὲ τρεῖς αἱ εἰρημέναι, τούτων δ' αἱ κατὰ γένεσιν καὶ φθορὰν οὐ κινήσεις, αὗται δ' εἰσὶν αἱ κατ' ἀντίφασιν, ἀνάγκη τὴν ἐξ ὑποκειμένου εἰς ὑποκείμενον κίνησιν εἶναι μόνην. τὰ δ' ὑποκείμενα ἢ ἐναντία ἢ μεταξύ· καὶ γὰρ ἡ στέρησις κείσθω ἐναντίον, καὶ δηλοῦται καταφάσει, οἷον τὸ γυμνὸν καὶ νωδὸν καὶ τὸ μέλαν.

12 Εἰ οὖν αἱ κατηγορίαι διῄρηνται οὐσίᾳ, ποιότητι, τόπῳ, τῷ ποιεῖν ἢ πάσχειν, τῷ πρός τι, τῷ ποσῷ, ἀνάγκη τρεῖς εἶναι κινήσεις, ποιοῦ, ποσοῦ, τόπου. κατ' οὐσίαν δ' οὒ διὰ τὸ μηθὲν εἶναι οὐσίᾳ ἐναντίον, οὐδὲ τοῦ πρός τι· ἔστι γὰρ θατέρου μηθὲν μεταβάλλοντος ἀληθεύεσθαι θάτερον μηθὲν μετα-

21. ὅτι οὐκ ἀντίθεσις ponenda ante 20. οὔτε γὰρ cum *Φ*. | οὐκ ἐξ] ἐξ οὐχ *s*. | 23. τὶς τινός *TA*[b]*asΦ*. | 24. ἁπλῆ om *A*[b]. | τὶς τινός *A*[b]*as*. | 25. δὴ om *as*. | 27. ὄντι om *A*[b]. | 28. ὅλως *T*. | κατὰ] μὴ κατὰ *T*. | 29. εἰ *T*. | ἂν] ἦν *T*, om *A*[b]. | 30. γὰρ om *T*. | 35. τε] δὴ *A*[b]. | post δυσχερῆ add τῷ κινεῖσθαι τὸ μὴ ὂν *Φ*. | 36. ἡ om *E*. | 37. ἢ om *T*.

1068*a* 2. αἱ om *A*[b]. | αἱ μὲν κατὰ *A*[b]*as*. | 5. ἢ prius om *A*[b]. | γὰρ om *c*. | 7. νωδὸν] λευκὸν *A*[b]*Φ*, *caecum i*. | τὸ om *Φ*. | 9. τῷ primum tertiumque om *A*[b]*as*. | ἢ om *A*[b]*i*. | 11. τοῦ om *ET*. | 11. 12. θατέρου μεταβάλλοντος μηδὲν ἀληθεύεσθαι θάτερον μὴ δὲ μ. *A*[b]. | 12. μηθὲν prius om *iΦ*.

Digitized by Google

*βάλλον, ὥστε κατὰ συμβεβηκὸς ἡ κίνησις αὐτῶν. οὐδὲ ποιοῦντος καὶ πάσχοντος, ἢ κινοῦντος καὶ κινουμένου, ὅτι οὐκ ἔστι κινήσεως κίνησις οὐδὲ γενέσεως γένεσις, οὐδ' ὅλως μεταβολῆς μεταβολή. διχῶς γὰρ ἐνδέχεται κινήσεως εἶναι κίνησιν, ἢ ὡς ὑποκειμένου, οἷον ὁ ἄνθρωπος κινεῖται ὅτι ἐκ λευκοῦ εἰς μέλαν μεταβάλλει, ὥστε οὕτω καὶ ἡ κίνησις ἢ* 237
*θερμαίνεται ἢ ψύχεται ἢ τόπον ἀλλάττει ἢ αὔξεται. τοῦτο δὲ ἀδύνατον· οὐ γὰρ τῶν ὑποκειμένων τι ἡ μεταβολή. ἢ τῷ ἕτερόν τι ὑποκείμενον ἐκ μεταβολῆς μεταβάλλειν εἰς ἄλλο εἶδος, οἷον ἄνθρωπον ἐκ νόσου εἰς ὑγίειαν. ἀλλ' οὐδὲ τοῦτο δυνατὸν πλὴν κατὰ συμβεβηκός. πᾶσα γὰρ κίνησις ἐξ ἄλλου εἰς ἄλλο ἐστὶ μεταβολή, καὶ γένεσις καὶ φθορὰ ὡσαύτως· πλὴν αἱ μὲν εἰς ἀντικείμενα ὡδὶ ἢ ὡδὶ οὐ κινήσεις. ἅμα οὖν μεταβάλλει ἐξ ὑγιείας εἰς νόσον, καὶ ἐξ αὐτῆς ταύτης τῆς μεταβολῆς εἰς ἄλλην. δῆλον δὴ ὅτι ἂν νοσήσῃ, μεταβεβληκὸς ἔσται εἰς ὁποιανοῦν (ἐνδέχεται γὰρ ἠρεμεῖν) καὶ ἔτι εἰς μὴ τὴν τυχοῦσαν ἀεί· κἀκείνη ἔκ τινος εἴς τι ἄλλο ἔσται, ὥσθ' ἡ ἀντικειμένη ἔσται ὑγίανσις· ἀλλὰ τῷ συμβεβηκέναι, οἷον ἐξ ἀναμνήσεως εἰς λήθην μεταβάλλει, ὅτι ᾧ ὑπάρχει ἐκεῖνο μεταβάλλει ὁτὲ μὲν εἰς ἐπιστήμην ὁτὲ δὲ εἰς ὑγίειαν. ἔτι εἰς ἄπειρον βαδιεῖται, εἰ ἔσται μεταβολῆς μεταβολὴ καὶ γενέσεως γένεσις. ἀνάγκη δὴ καὶ τὴν προτέραν, εἰ ἡ ὑστέρα· οἷον εἰ ἡ ἁπλῆ γένεσις*
1068*b* *ἐγίγνετό ποτε, καὶ τὸ γιγνόμενον ἁπλῶς ἐγίγνετο, ὥστε οὔπω ἦν γιγνόμενον ἁπλῶς, ἀλλά τι γιγνόμενον γιγνόμενον. εἰ δὴ καὶ τοῦτ' ἐγίγνετό ποτε, ὥστ' οὐκ ἦν πω τότε γιγνόμενον. ἐπεὶ δὲ τῶν ἀπείρων οὐκ ἔστι τι πρῶτον, οὐκ*

14. *καὶ πάσχοντος*] *ἢ πάσχοντος* $A^b$*i*. | 15. 16. *μεταβολὴ μεταβολῆς* ***ETas***. | 16. 17. *κίνησιν εἶναι* $A^b$. | 17. *κεῖται* ***T***. | 19. *τόπον*] *τὸ πᾶν* ***T***. | 21. *τῷ*] *τὸ* ***T***. | 23. *πᾶσα γὰρ*] *ἅπασι γὰρ ἡ* $A^b$, *αὕτη γὰρ ἡ* ***Φ***. | 24. post *ἄλλου* add *εἴδους* ***ΦFI***. | 25. *αἱ*] *ἡ* $A^b$. | *ἐξ ἀντικειμένων* ***Tias***. | *ἢ ὡδὶ* om ***ΦFHI***. | 25. 26. *οὐ κινήσεις*] *ἡ κίνησις* $A^b$, *ἡ δὲ κίνησις οὐχ ὁμοίως* ***ΦFI*** (*οὐχ ὁμοίως* om ***ΦEH***). | 27. *δ'* ***ETasΦF***. | 30. *ἄλλο τι* ***T***. | *ἔσται* om ***ETcΦFHI***. | 32. *ὑπάρχειν* ***a***. | 34. *ἔστι* ***as***. | 35. *δὲ* ***T***. | 35. *b* 1. *γένεσις ἐγίγνετό*] *γένετο* $A^b$.

1068*b* 1. *ἐγένετό ποτε* ***as***. | *ἁπλῶς* om ***ET***. | 2. *ἦν* ***EΦEHI***, *ἦν τὸ* ***ascbΦF***. | post *ἀλλά* add *τὸ* ***as***. | *γινόμενόν τι* $A^b$***asc***. | 2. 3. *γιγνόμενον* coni., *ἢ γενόμενον* ***iascb***, *ἀλλά τι γιγνόμενον καὶ γιγνόμενον ἤδη, καὶ πάλιν τοῦτ' ἐγ.* ***Φ***. | 3. *εἰ δὴ*] *ἤδη* $A^b$***Φ***, *ἤδη· εἰ δὴ* ***asc***. | post *τοῦτ'* comma ***cb***. | *ὥστ'*] *διὰ τί* ***ias***. | *τότε*] *ποτε* $A^b$. | 4. *τι* om ***ET***. | *οὐκ ἔσται τὸ πρῶτον* om $A^b$.

Digitized by Google

*ἔσται τὸ πρῶτον, ὥστ' οὐδὲ τὸ ἐχόμενον. οὔτε γίγνεσθαι οὖν οὔτε κινεῖσθαι οἷόν τε οὔτε μεταβάλλειν οὐθέν. ἔτι τοῦ αὐτοῦ* 238*κίνησις ἡ ἐναντία καὶ ἠρέμησις, καὶ γένεσις καὶ φθορά. ὥστε τὸ γιγνόμενον ὅταν γένηται γιγνόμενον, τότε φθείρεται· οὔτε γὰρ εὐθὺς γιγνόμενον οὔθ' ὕστερον· εἶναι γὰρ δεῖ τὸ φθειρόμενον. ἔτι δεῖ ὕλην ὑπεῖναι τῷ γιγνομένῳ καὶ μεταβάλλοντι. τίς οὖν ἔσται, ὥσπερ τὸ ἀλλοιωτὸν σῶμα ἢ ψυχή, οὕτω τί τὸ γιγνόμενον κίνησις ἢ γένεσις; καὶ ἔτι τί εἰς ὃ κινοῦνται; δεῖ γὰρ εἶναι τὴν τοῦδε ἐκ τοῦδε εἰς τόδε κίνησιν μὴ κίνησιν. πῶς οὖν; οὐ γὰρ ἔσται μάθησις τῆς μαθήσεως, ὥστ' οὐδὲ γένεσις γενέσεως. ἐπεὶ δ' οὔτ' οὐσίας οὔτε τοῦ πρός τι οὔτε τοῦ ποιεῖν καὶ πάσχειν, λείπεται κατὰ τὸ ποιὸν καὶ ποσὸν καὶ τόπον κίνησιν εἶναι· τούτων γὰρ ἑκάστῳ ἐναντίωσίς ἐστιν. λέγω δὲ τὸ ποιὸν οὐ τὸ ἐν τῇ οὐσίᾳ (καὶ γὰρ καὶ ἡ διαφορὰ ποιόν) ἀλλὰ τὸ παθητικόν, καθ' ὃ λέγεται πάσχειν ἢ ἀπαθὲς εἶναι. τὸ δὲ ἀκίνητον τό τε ὅλως ἀδύνατον κινηθῆναι καὶ τὸ μόλις ἐν χρόνῳ πολλῷ ἢ βραδέως ἀρχόμενον, καὶ τὸ πεφυκὸς μὲν κινεῖσθαι καὶ δυνάμενον, μὴ κινούμενον δὲ ὅτε πέφυκε καὶ οὗ καὶ ὥς· ὃ καλῶ ἠρεμεῖν τῶν ἀκινήτων μόνον· ἐναντίον γὰρ ἠρεμία κινήσει, ὥστε στέρησις ἂν εἴη τοῦ δεκτικοῦ.*

*Ἅμα κατὰ τόπον ὅσα ἐν ἑνὶ τόπῳ πρώτῳ, καὶ χωρὶς ὅσα ἐν ἄλλῳ. ἅπτεσθαι δὲ ὧν τὰ ἄκρα ἅμα. μεταξὺ δ' εἰς ὃ πέφυκε πρότερον ἀφικνεῖσθαι τὸ μεταβάλλον ἢ εἰς ὃ ἔσχατον μεταβάλλει κατὰ φύσιν [τὸ] συνεχῶς μετα-*

5. 6. *οὖν αὗται οὔτε* **E**. | 7. *καὶ ἡ γένεσις* $A^b$. | 9. *γενόμενον* $A^b$. | 11. *μεταβάλλειν τι. τίς* **ETas**. | ***velut alterabile quiddam, aut corpus i.*** | 12. *τί*] *τὶ καὶ* $A^b$**as**, *δὴ* **ΦI**, om **ΦEH**. | *κίνησις*] *ἢ κίνησις* $A^b$**as**. | *ἔτι*] *τοι* **T**, om **E**. | *ἔτι τί*] *πάλιν τι* **Φ**. | 13. *κινεῖται* **as**. | *εἶναί τι τὴν* **E TiasΦ**, fort. recte. | 14. *μὴ κ.*] *καὶ μὴ κίνησιν ἢ γένεσιν* **ΦE**. | *τῆς μαθήσεως*] *ἡ τῆς μαθήσεως γένεσις* $A^b$**cΦ**. | 15. *οὐδὲ γένεσις*] *τῆς* post lacunam $A^b$. | 15. *ἐπεὶ* — 20. *εἶναι* Phys. p. 226 *a* 23 — 29. | 15. *οὐσίαν* **T**. | 17. *καὶ τὸ ποσὸν* $A^b$**asΦ**. | *τόπον*] *τὸ ποῦ* **ias**. | *κίνησις* **a**. | post *εἶναι* add *μόνον* **iΦ**. | 19. *καὶ γὰρ καὶ ἡ διαφορὰ*] *καὶ τῇ διαφορᾷ* **T**$A^b$**as**. | *καθ' ὃ* **Φ**, *καθὸ* **ascb**. | 20. *τὸ δὲ* — 25. *δεκτικοῦ* Phys. p. 226 *b* 10 — 16. | 20. *ἀκίνητον*] *ἀδύνατον* **T**. | 21. *μόγις* $A^b$. | *πολλῷ*] *ποτε* **T**. | *ἢ* om **E Ta**. | 22. 23. *καὶ δυνάμενον, μὴ κινούμενον δὲ* scripsi e **Φ**, *μὴ δυνάμενον δὲ* **iascb**, cf. Obs. p. 83. | 23. *οὗ*] *οὐ πέφυκε* $A^b$**c**. | *καὶ ὥς· ὃ καλῶ*] *ὡς οὐκ ἄλλο* **T**. | 26. *ἅμα* — 29. 30. *μεταβάλλον* Phys. V, 3. p. 226 *b* 21 — 25. | 26. *ἅμα δὲ* **s**. | *πρῶτον* $A^b$. | 27. *δὲ* om $A^b$. | 29. *τὸ* om **E TiΦ**, cf. Obs. p. 83.

Digitized by Google

*βάλλον. ἐναντίον κατὰ τόπον τὸ κατ᾽ εὐθεῖαν ἀπέχον πλεῖστον. ἑξῆς δὲ οὗ μετὰ τὴν ἀρχὴν ὄντος, θέσει ἢ εἴδει ἢ ἄλλως πως ἀφορισθέντος, μηθὲν μεταξύ ἐστι τῶν ἐν ταὐτῷ γένει καὶ οὗ ἐφεξῆς ἐστίν, οἷον γραμμαὶ γραμμῆς ἢ μονά-* 239 *δες μονάδος ἢ οἰκίας οἰκία. ἄλλο δ᾽ οὐθὲν κωλύει μεταξὺ εἶναι· τὸ γὰρ ἑξῆς τινὸς ἐφεξῆς καὶ ὕστερόν τι· οὐ γὰρ τὸ* 1069*a* *ἓν ἑξῆς τῶν δύο, οὐδ᾽ ἡ νουμηνία τῆς δευτέρας. ἐχόμενον δὲ ὃ ἂν ἑξῆς ὂν ἅπτηται. ἐπεὶ δὲ πᾶσα μεταβολὴ ἐν τοῖς ἀντικειμένοις, ταῦτα δὲ τά τ᾽ ἐναντία καὶ ἀντίφασις, ἀντιφάσεως δ᾽ οὐθὲν ἀνὰ μέσον, δῆλον ὡς ἐν τοῖς ἐναντίοις τὸ μεταξύ. τὸ δὲ συνεχὲς ὅπερ ἐχόμενόν τι ἢ ἁπτόμενον. λέγω δὲ συνεχὲς ὅταν ταὐτὸ γένηται καὶ ἓν τὸ ἑκατέρου πέρας οἷς ἅπτονται καὶ συνέχονται, ὥστε δῆλον ὅτι τὸ συνεχὲς ἐν τούτοις ἐξ ὧν ἕν τι πέφυκε γίγνεσθαι κατὰ τὴν σύναψιν. καὶ ὅτι πρῶτον τὸ ἐφεξῆς, δῆλον· τὸ γὰρ ἑξῆς οὐχ ἅπτεται, τοῦτο δ᾽ ἐφεξῆς· καὶ εἰ συνεχές, ἅπτεται, εἰ δ᾽ ἅπτεται, οὔπω συνεχές. ἐν οἷς δὲ μή ἐστιν ἀφή, οὐκ ἔστι σύμφυσις ἐν τούτοις. ὥστ᾽ οὐκ ἔστι στιγμὴ μονάδι ταὐτόν· ταῖς μὲν γὰρ ὑπάρχει τὸ ἅπτεσθαι, ταῖς δ᾽ οὔ, ἀλλὰ τὸ ἐφεξῆς· καὶ τῶν μὲν μεταξύ τι, τῶν δ᾽ οὔ.*

# *Λ.*

*Περὶ τῆς οὐσίας ἡ θεωρία· τῶν γὰρ οὐσιῶν αἱ ἀρχαὶ καὶ τὰ αἴτια ζητοῦνται. καὶ γὰρ εἰ ὡς ὅλον τι τὸ πᾶν, ἡ οὐσία πρῶτον μέρος· καὶ εἰ τῷ ἐφεξῆς, κἂν οὕτω πρῶτον ἡ οὐσία, εἶτα τὸ ποιόν, εἶτα τὸ ποσόν. ἅμα δ᾽ οὐδ᾽ ὄντα ὡς εἰπεῖν ἁπλῶς ταῦτα, οἷον ποιότητες καὶ κινήσεις, ἢ*

30. *ἐναντίον* — p. 1069*a* 14. *οὐ* Phys. p. 226*b* 32 — 227*a* 31. | 31. et 35. sqq. *ἑξῆς*] *ἐφεξῆς* ubique *Φ*. | 31. *οὐ* *T*. | 33. *οὗ*] *ὃ* *$A^b$as*. | *γραμμαὶ γραμμῆς ἢ μ. μ.*] *γραμμὴ γραμμῆς ἢ γραμμαί, ἢ μονάδος μονὰς ἢ μονάδες Φ, velut linea lineae aut unitas unitatis i*. | 35. *τινὸς*] *τινὶ* *$A^b$*.

1069*a* 2. *ἂν*] *ἐὰν* *as*. | *ὂν*] *ὃν* *a*, *ὧν* *s*. | *ἀνάπτηται* *$A^b$*. | 3. *δὲ τἀναντία* *T*, *δὲ ἐναντία* *$A^b$as*. | 4. *ὡς*] *δ᾽ ὡς* *T*. | 5. *δὲ* om *as*. | *ἢ ἁπτόμενον* om *ETΦ*. | 6. *λέγω*] *λέγεται* *$A^b$ias*. | 8. *ἕν τι*] *ἔτι* *T*. | 9. *τὴν* om *T*. | 10. *ἐφεξῆς*] *ἑξῆς* *T*. | *εἰς* *T$A^b$s*. | 14. *ἀλλὰ πρὸς τὸ* *ETc*. | *τῶν*] *τῶ γε* *T*. | 18. *περὶ δὲ τῆς* *Mas*. | 20. *τῷ*] *τὸ* *$A^b$$F^b$c*. | *καὶ* *ET*, *καὶ ἂν* *as*. | 21. *εἶτα τὸ ποσόν*] *ἢ ποσόν* *ETas*. | 22. *ἁπλῶς ὡς εἰπεῖν* Alex, *ὡς ἁπλῶς εἰπεῖν* *$A^b$asc*. | *ταῦτα* *ET* Alex *is*, *τἆλλα* *acb*. | *οἷον* Alex, *ἀλλὰ* *iasb*. | *καὶ* om Alex. | *ἢ* Alex *a*, *ᾗ* *iscb*.

Digitized by Google

καὶ τὸ οὐ λευκὸν καὶ τὸ οὐκ εὐθύ· λέγομεν γοῦν εἶναι καὶ 240 ταῦτα, οἷον ἔστιν οὐ λευκόν. ἔτι οὐθὲν τῶν ἄλλων χωριστόν. μαρτυροῦσι δὲ καὶ οἱ ἀρχαῖοι ἔργῳ· τῆς γὰρ οὐσίας ἐζήτουν ἀρχὰς καὶ στοιχεῖα καὶ αἴτια. οἱ μὲν οὖν νῦν τὰ καθόλου οὐσίας μᾶλλον τιθέασιν· τὰ γὰρ γένη καθόλου, ἅ φασιν ἀρχὰς καὶ οὐσίας εἶναι μᾶλλον διὰ τὸ λογικῶς ζητεῖν· οἱ δὲ πάλαι τὰ καθ' ἕκαστον, οἷον πῦρ καὶ γῆν, ἀλλ' οὐ τὸ κοινὸν σῶμα. οὐσίαι δὲ τρεῖς, μία μὲν αἰσθητή, ἧς ἡ μὲν ἀΐδιος ἡ δὲ φθαρτή, ἣν πάντες ὁμολογοῦσιν, οἷον τὰ φυτὰ καὶ τὰ ζῷα, ἡ δ' ἀΐδιος, ἧς ἀνάγκη τὰ στοιχεῖα λαβεῖν, εἴτε ἓν εἴτε πολλά· ἄλλη δὲ ἀκίνητος, καὶ ταύτην τινὲς εἶναί φασι χωριστήν, οἱ μὲν εἰς δύο διαιροῦντες, οἱ δὲ εἰς μίαν φύσιν τιθέντες τὰ εἴδη καὶ τὰ μαθηματικά, οἱ δὲ τὰ μαθηματικὰ μόνον τούτων. ἐκεῖναι μὲν δὴ φυσικῆς (μετὰ κινήσεως γάρ), αὕτη δ' ἑτέρας, εἰ μηδεμία 1069b αὐτοῖς ἀρχὴ κοινή.

Ἡ δ' αἰσθητὴ οὐσία μεταβλητή. εἰ δ' ἡ μεταβολὴ ἐκ τῶν ἀντικειμένων ἢ τῶν μεταξύ, ἀντικειμένων δὲ μὴ πάντων (οὐ λευκὸν γὰρ ἡ φωνή) ἀλλ' ἐκ τοῦ ἐναντίου, ἀνάγκη ὑπεῖναί τι τὸ μεταβάλλον εἰς τὴν ἐναντίωσιν· οὐ 2 γὰρ τὰ ἐναντία μεταβάλλει. ἔτι τὸ μὲν ὑπομένει, τὸ δ' ἐναντίον οὐχ ὑπομένει· ἔστιν ἄρα τι τρίτον παρὰ τὰ ἐναντία, ἡ ὕλη. εἰ δὴ αἱ μεταβολαὶ τέτταρες, ἢ κατὰ τὸ τί ἢ κατὰ τὸ ποιὸν ἢ ποσὸν ἢ ποῦ, καὶ γένεσις μὲν ἡ ἁπλῆ καὶ φθορὰ ἡ κατὰ τόδε, αὔξησις δὲ καὶ φθίσις ἡ κατὰ τὸ ποσόν, ἀλλοίωσις δὲ ἡ κατὰ τὸ πάθος, φορὰ δὲ ἡ κατὰ τόπον, εἰς ἐναντιώσεις ἂν εἶεν τὰς καθ' ἕκαστον αἱ μεταβολαί. ἀνάγκη δὴ μεταβάλλειν τὴν ὕλην δυναμένην ἄμφω. ἐπεὶ δὲ διττὸν τὸ ὄν, μεταβάλλει πᾶν ἐκ τοῦ δυ-
241 νάμει ὄντος εἰς τὸ ἐνεργείᾳ ὄν, οἷον ἐκ λευκοῦ δυνάμει εἰς τὸ ἐνεργείᾳ λευκόν· ὁμοίως δὲ καὶ ἐπ' αὐξήσεως καὶ φθί-

23. τὸ οὐ] οὐ τὸ *T.* | τὸ ante οὐκ om Alex. | γοῦν] οὖν *Tas.* | 23. 24. καὶ ταῦτα εἶναι $A^b c$. | 24. οὐδὲ *T.* | 29. ἕκαστα $A^b as$. | 30. οὐσίας *a.* | ἧς ἡ — 31. ὁμολογοῦσιν] fort. c. Alex et Them ἣν πάντες ὁμολογοῦσιν, ἧς ἡ μὲν φθαρτή, cf. Obs. p. 104. | 33. δὲ om *i.* | καὶ add $A^b$. | 34. φασί τινες εἶναι *ETas.* | 36. οἱ δὲ τὰ μαθηματικὰ om *E.*

1069b 2. αὐτῆς *as.* | 3. δ' ἡ] δὴ *Ei*, δὲ *T.* | 4. μὴ] οὐ *T.* | 5. *album non ex voce i.* | 6. ὑπεῖναί] εἶναι καί *as.* | 9. τὸ om *E.* | 10. οἷον *T.* | 11. ἡ post φθορὰ om *ET*, ἢ *a.* | 12. φθορὰ *T.* | 13. ταῖς *T.* | ταῖς καθ' ἕκαστον] *in unoquoque i.* | 15. μεταβάλλειν *c.*

Digitized by Google

σεως· ὥςε οὐ μόνον κατὰ συμβεβηκὸς ἐνδέχεται γίγνεσθαι ἐκ μὴ ὄντος, ἀλλὰ καὶ ἐξ ὄντος γίγνεται πάντα, δυνάμει μέντοι ὄντος, ἐκ μὴ ὄντος δὲ ἐνεργείᾳ. καὶ τοῦτ' ἐστὶ τὸ Ἀναξαγόρου ἕν (βέλτιον γὰρ ἢ ὁμοῦ πάντα) καὶ Ἐμπεδοκλέους τὸ μῖγμα καὶ Ἀναξιμάνδρου· καὶ ὡς Δημόκριτός φησιν, ἦν ὁμοῦ πάντα, δυνάμει, ἐνεργείᾳ δ' οὔ· ὥςε τῆς ὕλης ἂν εἶεν ἡμμένοι. πάντα δ' ὕλην ἔχει ὅσα μεταβάλλει, ἀλλ' ἑτέραν· καὶ τῶν ἀϊδίων ὅσα μὴ γεννητὰ κινητὰ δὲ φορᾷ, ἀλλ' οὐ γεννητήν, ἀλλὰ πόθεν ποῖ. ἀπορήσειε δ' ἄν τις ἐκ ποίου μὴ ὄντος ἡ γένεσις· τριχῶς γὰρ τὸ μὴ ὄν. εἰ δή τί ἐςι δυνάμει, ἀλλ' ὅμως οὐ τοῦ τυχόντος, ἀλλ' ἕτερον ἐξ ἑτέρου. οὐδ' ἱκανὸν ὅτι ὁμοῦ πάντα χρήματα· διαφέρει γὰρ τῇ ὕλῃ, ἐπεὶ διὰ τί ἄπειρα ἐγένετο ἀλλ' οὐχ ἕν; ὁ γὰρ νοῦς εἷς, ὥςτ' εἰ καὶ ἡ ὕλη μία, ἐκεῖνο ἐγένετο ἐνεργείᾳ οὗ ἡ ὕλη ἦν δυνάμει. τρία δὴ τὰ αἴτια καὶ τρεῖς αἱ ἀρχαί, δύο μὲν ἡ ἐναντίωσις, ἧς τὸ μὲν λόγος καὶ εἶδος τὸ δὲ ςέρησις, τὸ δὲ τρίτον ἡ ὕλη.

3 Μετὰ ταῦτα ὅτι οὐ γίγνεται οὔτε ἡ ὕλη οὔτε τὸ εἶδος, λέγω δὲ τὰ ἔσχατα. πᾶν γὰρ μεταβάλλει τὶ καὶ ὑπό τινος καὶ εἴς τι. ὑφ' οὗ μέν, τοῦ πρώτου κινοῦντος· ὃ δέ, ἡ ὕλη· εἰς ὃ δέ, τὸ εἶδος. εἰς ἄπειρον οὖν εἶσιν, εἰ μὴ μόνον ὁ χαλκὸς γίγνεται στρογγύλος ἀλλὰ καὶ τὸ στρογγύλον ἢ ὁ χαλκός· ἀνάγκη δὴ ςῆναι. μετὰ ταῦτα ὅτι ἑκάςη ἐκ συνωνύμου γίγνεται οὐσία· τὰ γὰρ φύσει οὐσίαι καὶ τἆλλα. ἢ γὰρ τέχνῃ ἢ φύσει γίγνεται ἢ τύχῃ ἢ τῷ αὐτομάτῳ. ἡ μὲν οὖν τέχνη ἀρχὴ ἐν ἄλλῳ, ἡ δὲ φύσις ἀρχὴ ἐν αὐτῷ· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ· αἱ δὲ 242 λοιπαὶ αἰτίαι ςερήσεις τούτων. οὐσίαι δὲ τρεῖς, ἡ μὲν ὕλη τόδε τι οὖσα τῷ φαίνεσθαι (ὅσα γάρ ἐςιν ἁφῇ καὶ μὴ

20. μέντοι ἢ ὄντος T. | 21. ἢ] ἦν $A^b$as, fort. ἢ ἦν c. Alex. | 22. Anaximandri mentionem non facit Alex. | 23. ὁμοῦ Alex ias et γρ E, ἡμῖν E T$A^b$c, Alex. in interpretatione habet ἐν ἡμῖν. | ante δυνάμει non distinguunt iascb. | 25. ἑτέραν] fort. ἕτερα ἑτέραν. cf. Obs. p. 125. | 25. 26. γεννητὰ τὰ κινητὰ T. | 26. γενητόν T. | 28. τί ἐστι] ἐστι τὸ $F^b$. | 31. καὶ om $A^b$i, εἰ καὶ ἡ om a, καὶ ἡ om s. | 32. καὶ ἐνεργ. as. | οὗ] fort. ὃ. | ἡ] καὶ ἡ Tas. | 34. λόγος] λόγος καὶ ἐξ οὗ a. | 35. ἡ et τὸ om $F^b$M.

1070a 1. post τι $A^b$ καὶ ἐξ οὗ. | ὃ] οὗ Tas. | 2. εἴσιν a. | 3. καὶ om ia. | 4. ἢ om c. | 5. post γίγνεται add ἡ $A^b$b, ceteri et Alex om. | οὐσία] οὐσίας T. | 5. 6. *quaedam enim natura substantiae sunt, quaedam autem alia* i. | 8. ἑαυτῷ $A^b$. | 10. ἐστιν om T Alex p. 650, 23.

Digitized by Google

συμφύσει, ὕλη καὶ ὑποκείμενον), ἡ δὲ φύσις καὶ τόδε τι, εἰς ἥν, καὶ ἕξις τις· ἔτι τρίτη ἡ ἐκ τούτων ἡ καθ' ἕκαστα, οἷον Σωκράτης ἢ Καλλίας. ἐπὶ μὲν οὖν τινῶν τὸ τόδε τι οὐκ ἔστι παρὰ τὴν συνθέτην οὐσίαν, οἷον οἰκίας τὸ εἶδος, εἰ μὴ ἡ τέχνη· οὐδ' ἔστι γένεσις καὶ φθορὰ τούτων, ἀλλ' ἄλλον τρόπον εἰσὶ καὶ οὐκ εἰσὶν οἰκία τε ἡ ἄνευ ὕλης καὶ ὑγίεια καὶ πᾶν τὸ κατὰ τέχνην· ἀλλ' εἴπερ, ἐπὶ τῶν φύσει. διὸ δὴ οὐ κακῶς ὁ Πλάτων ἔφη ὅτι εἴδη ἐστὶν ὁπόσα φύσει, εἴπερ ἐστὶν εἴδη ἄλλα τούτων, οἷον πῦρ, σάρξ, κεφαλή. ἅπαντα γὰρ ὕλη ἐστί, καὶ τῆς μάλιστ' οὐσίας ἡ τελευταία. τὰ μὲν οὖν κινοῦντα αἴτια ὡς προγεγενημένα ὄντα, τὰ δ' ὡς ὁ λόγος ἅμα. ὅτε γὰρ ὑγιαίνει ὁ ἄνθρωπος, τότε καὶ ἡ ὑγίειά ἐστιν, καὶ τὸ σχῆμα τῆς χαλκῆς σφαίρας ἅμα καὶ ἡ χαλκῆ σφαῖρα. εἰ δὲ καὶ ὕστερόν τι ὑπομένει, σκεπτέον· ἐπ' ἐνίων γὰρ οὐθὲν κωλύει, οἷον εἰ ἡ ψυχὴ τοιοῦτον, μὴ πᾶσα ἀλλ' ὁ νοῦς· πᾶσαν γὰρ ἀδύνατον ἴσως. φανερὸν δὴ ὅτι οὐθὲν δεῖ διά γε ταῦτ' εἶναι τὰς ἰδέας· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, ὁ καθ' ἕκαστον τὸν τινά. ὁμοίως δὲ καὶ ἐπὶ τῶν τεχνῶν· ἡ γὰρ ἰατρικὴ τέχνη ὁ λόγος τῆς ὑγιείας ἐστίν.

4 Τὰ δ' αἴτια καὶ αἱ ἀρχαὶ ἄλλα ἄλλων ἔστιν ὥς, ἔστι δ' ὡς, ἂν καθόλου λέγῃ τις καὶ κατ' ἀναλογίαν, ταὐτὰ πάντων. ἀπορήσειε γὰρ ἄν τις πότερον ἕτεραι ἢ αἱ αὐταὶ ἀρχαὶ καὶ στοιχεῖα τῶν οὐσιῶν καὶ τῶν πρός τι, καὶ καθ'
243 ἑκάστην δὴ τῶν κατηγοριῶν ὁμοίως. ἀλλ' ἄτοπον εἰ ταὐτὰ πάντων· ἐκ τῶν αὐτῶν γὰρ ἔσται τὰ πρός τι καὶ ἡ οὐσία.
τί οὖν τοῦτ' ἔσται; παρὰ γὰρ τὴν οὐσίαν καὶ τἆλλα τὰ κα- 1070*b*
τηγορούμενα οὐθέν ἐστι κοινόν. πρότερον δὲ τὸ στοιχεῖον ἢ ὧν

11. καὶ post φύσις add *A^b as* et fort. Alex, om *icb*. | εἰς ἥν fort. post ἕξις τις ponenda cum *i*. | 12. τις· ἔτι] ἡ *T*. | ἡ καθ'] ἢ καὶ καθ' *A^b*. | 13. τὸ om *as*. | τι om *E*. | 14. σύνθετον *as*. | 15. ἡ τέχνη· οὐδ'] τὸ εἶδος οὐκ *T*. | 16. καὶ οὐκ εἰσὶν om *T*. | τε om *ET*. | 18. δὴ om *A^b*. | ὁ om *ET*. | 19. ἀλλὰ *ETM*. | οἷον — 21. τελευταία Alex transponenda arbitratur *a* 11. post ὑποκείμενον, dubito num recte. | 20. γὰρ καὶ ὕλη *T*. | 21. αἴτια om *F^b*. | 23. ἡ om *ET*. | 26. ἡ om *A^b*. | 28. 29. καθέκαστος *A^b a*. | 30. ὁ et ἐστίν om *A^b*. | 31. τὰ δ'] ἔστι δὲ τὰ *A^b c*. | αἱ om *F^b*. | ἄλλα om *a*. | ἄλλαι ἄλλων *A^b F^b*. | ἔστιν ὥς om *A^b c*. | 32. ὡς οὔ *ias*. | λέγοι *A^b*. | 33. πάντα *A^b*. | ἂν om *T*. | 35. δὴ κατηγορίαν *A^b*. | 36. τὰ] τὸ *A^b*. | αἱ οὐσίαι *ET*.

1070*b* 2. ἐστι] ἔσται *as*.

Digitized by Google

*ἐςὶ [τὸ] ςοιχεῖον· ἀλλὰ μὴν ȣδ' ἡ ȣσία ςοιχεῖον τῶν πρός τι, ȣδὲ τȣτων ȣθὲν τῆς ȣσίας. ἔτι πῶς ἐνδέχεται πάντων εἶναι ταὐτὰ ςοιχεῖα; ȣθὲν γὰρ οἷόν τ' εἶναι τῶν ςοιχείων τῷ ἐκ τῶν ςοιχείων συγκειμένῳ τὸ αὐτό, οἷον τῷ ΒΑ τὸ Β ἢ Α. ȣδὲ δὴ τῶν νοητῶν ςοιχεῖόν ἐςιν, οἷον τὸ ἓν ἢ τὸ ὄν· ὑπάρχει γὰρ ταῦθ' ἑκάςῳ καὶ τῶν συνθέτων. ȣθὲν ἄρ' ἔςαι αὐτῶν ȣτ' ȣσία ȣτε πρός τι· ἀλλ' ἀναγκαῖον. ȣκ ἔςιν ἄρα πάντων ταὐτὰ ςοιχεῖα. ἢ ὥσπερ λέγομεν, ἔςι μὲν ὥς, ἔςι δ' ὡς ȣ, οἷον ἴσως τῶν αἰσθητῶν σωμάτων ὡς μὲν εἶδος τὸ θερμὸν καὶ ἄλλον τρόπον τὸ ψυχρὸν ἡ ςέρησις, ὕλη δὲ τὸ δυνάμει ταῦτα πρῶτον καθ' αὑτό, ȣσίαι δὲ ταῦτά τε καὶ τὰ ἐκ τȣτων ὧν ἀρχαὶ ταῦτα, ἢ εἴ τι ἐκ θερμȣ̃ καὶ ψυχρȣ̃ γίγνεται ἕν, οἷον σὰρξ ἢ ὀςȣ̃ν· ἕτερον γὰρ ἀνάγκη ἐκείνων εἶναι τὸ γενόμενον. τȣτων μὲν ȣ̃ν ταῦτα ςοιχεῖα καὶ ἀρχαί, ἄλλων δ' ἄλλα, πάντων δὲ ȣτω μὲν εἰπεῖν ȣκ ἔςιν, τῷ ἀνάλογον δέ, ὥσπερ εἴ τις εἴποι ὅτι ἀρχαί εἰσι τρεῖς, τὸ εἶδος καὶ ἡ ςέρησις καὶ ἡ ὕλη. ἀλλ' ἕκαςον τȣτων ἕτερον περὶ ἕκαςον γένος ἐςίν, οἷον ἐν χρώματι λευκόν, μέλαν, ἐπιφάνεια, φῶς, σκότος, ἀήρ· ἐκ δὲ τȣτων ἡμέρα καὶ νύξ. ἐπεὶ δὲ οὐ μόνον τὰ ἐνυπάρχοντα αἴτια, ἀλλὰ καὶ τῶν ἐκτὸς οἷον τὸ κινȣ̃ν, δῆλον ὅτι ἕτερον ἀρχὴ καὶ ςοιχεῖον, αἴτια δ' ἄμφω· καὶ εἰς ταῦτα διαιρεῖται ἡ ἀρχή· τὸ δ'* 244 *ὡς κινοῦν ἢ ἱςὰν ἀρχή τις καὶ οὐσία. ὥςε ςοιχεῖα μὲν κατ' ἀναλογίαν τρία, αἰτίαι δὲ καὶ ἀρχαὶ τέτταρες· ἄλλο δ' ἐν ἄλλῳ, καὶ τὸ πρῶτον αἴτιον ὡς κινȣ̃ν ἄλλο ἄλλῳ. ὑγίεια, νόσος, σῶμα· τὸ κινοῦν ἰατρική. εἶδος, ἀταξία τοιαδί, πλίνθοι· τὸ κινȣ̃ν οἰκοδομική. [καὶ εἰς ταῦτα διαιρεῖται ἡ ἀρχή.] ἐπεὶ δὲ τὸ κινοῦν ἐν μὲν τοῖς φυσικοῖς ἀνθρώποις ἄνθρωπος, ἐν δὲ τοῖς ἀπὸ διανοίας τὸ εἶδος ἢ τὸ*

3. *ἔστι τὸ* om $A^b$*as*. | *τὸ* om Alex. | 5. *τὰ στοιχεῖα ταὐτά as*. | 6. *τῶν* om $A^bF^b$. | *τὸ βα Ta*. | *τῷ β T*. | 7. *στοιχείων E*. | *ἔστιν* om *ET*. | *ὂν ἢ τὸ ἓν* $A^b$, *ὂν καὶ τὸ ἓν* $F^b$. | 8. *ἑκάστῳ*] *ἐν ἑκ*. Alex. | *καὶ* om *is*. | 12. *ὕλη*] *ἡ ὕλη ETas*. | 13. *ἑαυτό* $A^b$, *αὑτόν Tasc*. | *οὐσία T*. | 14. *ὧν αἱ ἀρχαὶ as*. | *ψυχροῦ καὶ θερμοῦ* $A^b$. | 15. *ἕτερον* — 16. *γενόμενον* Alex. post *πρός τι b* 9. ponenda arbitratur. | 15. *γὰρ*] *profecto i*, om *s*. | 16. *ταῦτα ETas*, *ταὐτὰ icb*. | 17. *τὸ* $A^b$*as*. | 18. *εἴποιεν* $A^b$. | *τρεῖς* om *T*. | 19. *τούτων ἕκαστον s*. | 20. *χρώμασι* $A^b$*i*. | 21. *καὶ* om *ETas*. | 25. *ἱστῶν* $A^b$ Alex *as*. | *καὶ οὐσία*] *οὖσα ETc*, fort. *καὶ αἰτία*. | 26. *τέσσαρες Tas*. | 27. *πρῶτον*] fort. *ποιητικόν*. | *ἄλλο ἄλλῳ*] *in alio alia i*. | 29. *καὶ* — 30. *ἀρχή* om $A^b$ Alex. | 29. *καὶ δὴ εἰς iasc*. | 31. *ἀνθρώποις* om $A^b$*ias*, *γρ ἄνθρωπος ἄνθρωπος, ἔτι ἄνθρωπος ἄνθρωπον E* mg, fort. *ἀνθρώπῳ ἄνθρωπος*, cf. Zeller Gesch. II. p. 411. | *ἢ* om *T*.

Digitized by Google

*ἐναντίον, τρόπον τινὰ τρία αἴτια ἂν εἴη, ὡδὶ δὲ τέτταρα. ὑγίεια γάρ πως ἡ ἰατρική, καὶ οἰκίας εἶδος ἡ οἰκοδομική, καὶ ἄνθρωπος ἄνθρωπον γεννᾷ· ἔτι παρὰ ταῦτα ὡς τὸ πρῶτον πάντων κινȣ̃ν πάντα.*

5 *Ἐπεὶ δ' ἐϛὶ τὰ μὲν χωριϛὰ τὰ δ' ȣ̓ χωριϛά, ȣ̓σίαι ἐκεῖνα. καὶ διὰ τȣ̃το πάντων αἴτια ταῦτα, ὅτι τῶν ȣ̓σιῶν* 1071*a* *ἄνευ ȣ̓κ ἔϛι τὰ πάθη καὶ αἱ κινήσεις. ἔπειτα ἔϛαι ταῦτα ψυχὴ ἴσως καὶ σῶμα, ἢ νȣ̃ς καὶ ὄρεξις καὶ σῶμα. ἔτι δ' ἄλλον τρόπον τῷ ἀνάλογον ἀρχαὶ αἱ αὐταί, οἷον ἐνέργεια καὶ δύναμις· ἀλλὰ καὶ ταῦτα ἄλλα τε ἄλλοις καὶ ἄλλως. ἐν ἐνίοις μὲν γὰρ τὸ αὐτὸ ὁτὲ μὲν ἐνεργείᾳ ἐϛὶν ὁτὲ δὲ δυνάμει, οἷον οἶνος ἢ σὰρξ ἢ ἄνθρωπος. πίπτει δὲ καὶ ταῦτα εἰς τὰ εἰρημένα αἴτια. ἐνεργείᾳ μὲν γὰρ τὸ εἶδος, ἐὰν ᾖ χωριϛόν, καὶ τὸ ἐξ ἀμφοῖν, ϛέρησις δὲ οἷον σκότος ἢ κάμνον, δυνάμει δὲ ἡ ὕλη· τοῦτο γάρ ἐστι τὸ δυνάμενον γίγνεσθαι ἄμφω. ἄλλως δ' ἐνεργείᾳ καὶ δυνάμει διαφέρει, ὧν μή ἐϛιν ἡ αὐτὴ ὕλη, ὧν οὐκ ἔϛι τὸ αὐτὸ εἶδος ἀλλ' ἕτερον, ὥσπερ ἀνθρώπȣ αἴτιον τά τε ϛοιχεῖα, πῦρ καὶ γῆ ὡς ὕλη, καὶ τὸ ἴδιον εἶδος καὶ εἴ τι* 245 *ἄλλο ἔξω, οἷον ὁ πατήρ, καὶ παρὰ ταῦτα ὁ ἥλιος καὶ ὁ λοξὸς κύκλος, ȣ̓́τε ὕλη ὄντα οὔτ' εἶδος οὔτε ϛέρησις οὔτε ὁμοειδές, ἀλλὰ κινȣ̃ντα. ἔτι δὲ ὁρᾶν δεῖ ὅτι τὰ μὲν καθόλου ἔϛιν εἰπεῖν, τὰ δ' ȣ̓́. πάντων δὴ πρῶται ἀρχαὶ τὸ ἐνεργείᾳ πρῶτον τοδί, καὶ ἄλλο ὃ δυνάμει. ἐκεῖνα μὲν οὖν τὰ καθόλου οὐκ ἔϛιν. ἀρχὴ γὰρ τὸ καθ' ἕκαστον τῶν καθ' ἕκαϛον· ἄνθρωπος μὲν γὰρ ἀνθρώπου καθόλου· ἀλλ' ȣ̓κ ἔϛιν οὐθείς, ἀλλὰ Πηλεὺς Ἀχιλλέως, σοῦ δὲ ὁ πατήρ, καὶ τοδὶ τὸ* **Β** *τουδὶ τȣ̃* **ΒΑ**, *ὅλως δὲ τὸ* **Β** *τοῦ ἁπλῶς* **ΒΑ**. *ἔπειτα εἴδη τὰ τῶν ȣ̓σιῶν· ἄλλα δὲ ἄλλων αἴτια καὶ ϛοιχεῖα, ὥσπερ ἐλέχθη, τῶν μὴ ἐν ταὐτῷ γέ-*

34. ὡς τὸ] fort. τὸ ὡς. | 35. πάντα] τὰ πάντα **T**. | 36. οὐσία γρ **E**.
1071*a* 1. ἐκεῖναι **Ea**, δοκεῖ εἶναι **T**. | καὶ om **A^b**. | 2. ἔσται] ἔστι Alex. | 3. ἢ — σῶμα] ἢ νοῦς καὶ σῶμα καὶ ὄρεξις, ἢ σῶμα καὶ ὄρεξις fort. habuit Alex. | καὶ ante ὄρεξις om **i**. | 4. αἱ ἀρχαὶ αὐταί **F^b**. | 5. ἄλλα τε] ἄλλοτε Alex Them. | 6. ἐν om Alex. | 9. ἂν Alex. | ᾖ τὸ χωριστόν **A^b asc**. | καὶ] ἢ γρ **E**. | 11. ἄλλως δ'] ἄλλως δ' ἢ coniecit Trendelenburg. Categ. p. 193. | 12. ὧν μή] εἰ μή **T**. | 14. καὶ ante τὸ om **Tas**. | ἀΐδιον **Eas**. | τι] ἔτι **A^b**. | 15. ταὐτὸ **T**. | 17. δὲ om **A^b**. | 19. τοδί **ET** Alex, τὸ εἴδει **scb**, τῷ εἴδει **a**, om **i**. | ὃ] τὸ ὃ **as**. | 20. τὰ et 21. τῶν καθ' ἕκαστον om **A^b**. | 22. ἀλλ' om **i**. | 23. τὸ post δὲ om **E**. | 24. δὲ] δὴ **a**.

Digitized by Google

*νει, χρωμάτων, ψόφων, ȣσιῶν, ποσότητος, πλὴν τῷ ἀνά-
λογον· καὶ τῶν ἐν ταὐτῷ εἴδει ἕτερα, οὐκ εἴδει, ἀλλ' ὅτι
τῶν καθ' ἕκαςον ἄλλο ἥ τε σὴ ὕλη καὶ τὸ κινῆσαν καὶ
τὸ εἶδος καὶ ἡ ἐμή, τῷ καθόλου δὲ λόγῳ ταὐτά. τὸ δὴ
ζητεῖν τίνες ἀρχαὶ ἢ ςοιχεῖα τῶν ȣσιῶν καὶ πρός τι καὶ
ποιῶν, πότερον αἱ αὐταὶ ἢ ἕτεραι, δῆλον ὅτι πολλαχῶς
τε λεγομένων ἐςὶν ἑκάςȣ, διαιρεθέντων δὲ ȣ ταὐτὰ ἀλλ'
ἕτερα, πλὴν ὡδὶ καὶ πάντων. ὡδὶ μὲν ταὐτὰ [ἢ] τῷ ἀνά-
λογον, ὅτι ὕλη, εἶδος, ςέρησις, τὸ κινȣ̃ν, καὶ ὡδὶ τὰ τῶν
ȣσιῶν αἴτια ὡς αἴτια πάντων, ὅτι ἀναιρεῖται ἀναιρȣμένων.
ἔτι τὸ πρῶτον ἐντελεχείᾳ. ὡδὶ δὲ ἕτερα πρῶτα ὅσα τὰ
ἐναντία, ἃ μήτε ὡς γένη λέγεται μήτε πολλαχῶς λέγε-*
1071 *b ται· καὶ ἔτι αἱ ὗλαι. τίνες μὲν ȣ̃ν αἱ ἀρχαὶ τῶν αἰσθητῶν
καὶ πόσαι, καὶ πῶς αἱ αὐταὶ καὶ πῶς ἕτεραι, εἴρηται.*

6 *Ἐπεὶ δ' ἦσαν τρεῖς ȣσίαι, δύο μὲν αἱ φυσικαί, μία
δ' ἡ ἀκίνητος, περὶ ταύτης λεκτέον, ὅτι ἀνάγκη εἶναί τινα
ἀΐδιον ȣσίαν ἀκίνητον. αἵ τε γὰρ ȣσίαι πρῶται τῶν ὄντων,* 246
*καὶ εἰ πᾶσαι φθαρταί, πάντα φθαρτά. ἀλλ' ἀδύνατον
κίνησιν ἢ γενέσθαι ἢ φθαρῆναι· ἀεὶ γὰρ ἦν. ȣδὲ χρόνον·
ȣ γὰρ οἷόν τε τὸ πρότερον καὶ ὕςερον εἶναι μὴ ὄντος χρό-
νου. καὶ ἡ κίνησις ἄρα οὕτω συνεχὴς ὥσπερ καὶ ὁ χρό-
νος· ἢ γὰρ τὸ αὐτὸ ἢ κινήσεώς τι πάθος. κίνησις δ' οὐκ
ἔςι συνεχὴς ἀλλ' ἢ ἡ κατὰ τόπον, καὶ ταύτης ἡ κύκλῳ.
ἀλλὰ μὴν εἰ ἔςαι κινητικὸν ἢ ποιητικόν, μὴ ἐνεργοῦν δέ
τι, οὐκ ἔςι κίνησις· ἐνδέχεται γὰρ τὸ δύναμιν ἔχον μὴ
ἐνεργεῖν. οὐθὲν ἄρα ὄφελος ȣδ' ἐὰν οὐσίας ποιήσωμεν ἀϊ-
δίȣς, ὥσπερ οἱ τὰ εἴδη, εἰ μή τις δυναμένη ἐνέςαι ἀρχὴ
μεταβάλλειν. οὐ τοίνυν οὐδ' αὕτη ἱκανή, οὐδ' ἄλλη ȣσία
παρὰ τὰ εἴδη· εἰ γὰρ μὴ ἐνεργήσει, ȣκ ἔςαι κίνησις. ἔτι*

26. *οὐσιῶν ψόφων* **T**. | post *ποσότητος* colon *c*, punctum *b*. | 26. 27. post *ἀνάλογον* non distinguunt *cb*. | 28. *τῶν*] *τῷ* **E**, *τὸ* **T**, *ἡ τῶν* ***as***. | 28. 29. *καὶ τὸ εἶδος* post *ὕλη* ***ETias*** Alex, fort. recte; eadem verba post *κινῆσαν* iterant ***ias***. | 29. *δὴ* ***ETF***$^{b}$***i***, *δὲ* ***ascb***. | 30. *ἢ*] *καὶ* Alex ***as***. | *καὶ* ante *πρός τι* om ***i***. | 33. *μὲν*] *δὲ* ***A***$^{b}$***as***. | *ἢ* om Alex. | 34. *ἡ ὕλη* ***as***. | *ὡδὶ*] fort. *ὅτι* e Them. | 37. *ὡς μήτε* **T**.

**1071 *b*** 1. *αἱ* post *οὖν* et 2. *πῶς* om ***A***$^{b}$. | 3. *τρεῖς αἱ οὐσίαι* Alex. | 4. 5. *ἀΐδιόν τινα* ***Eas***. | 7. *ἢ* post *κίνησιν* et 8. *τὸ* om **T**. | 11. *ἄλλη ἢ ἡ* Alex. | *ἢ* om ***A***$^{b}$. | *ἡ* om ***a***. | *ταύτης* om ***i***. | 12. *ἔστι* ***A***$^{b}$ Alex ***ias***. | 13. *ἔστι*] fort. *ἔσται* c. Alex. | 14. *οὐθὲν*] *οὐδ' ἐὰν* ***ET***. | 16. *αὐτὴ* ***as***. | 17. *ἐνεργήσῃ οὐκ ἔστι* ***A***$^{b}$. | 17. 18. *ἔτι δ' οὐδ'* **T**.

Digitized by Google

οὐδ' εἰ ἐνεργήσει, ἡ δ' οὐσία αὐτῆς δύναμις· οὐ γὰρ ἔσται κίνησις ἀΐδιος· ἐνδέχεται γὰρ τὸ δυνάμει ὂν μὴ εἶναι. δεῖ ἄρα εἶναι ἀρχὴν τοιαύτην ἧς ἡ οὐσία ἐνέργεια. ἔτι τοίνυν ταύτας δεῖ τὰς οὐσίας εἶναι ἄνευ ὕλης. ἀϊδίους γὰρ δεῖ, εἴ πέρ γε καὶ ἄλλο τι ἀΐδιον. ἐνεργείᾳ ἄρα. καίτοι ἀπορία· δοκεῖ γὰρ τὸ μὲν ἐνεργοῦν πᾶν δύνασθαι, τὸ δὲ δυνάμενον οὐ πᾶν ἐνεργεῖν, ὥστε πρότερον εἶναι τὴν δύναμιν. ἀλλὰ μὴν εἰ τοῦτο, οὐθὲν ἔσται τῶν ὄντων· ἐνδέχεται γὰρ δύνασθαι μὲν εἶναι μήπω δ' εἶναι. καίτοι εἰ ὡς λέγουσιν οἱ θεολόγοι οἱ ἐκ νυκτὸς γεννῶντες, ἢ ὡς οἱ φυσικοὶ ἦν ὁμοῦ πάντα χρήματά φασι, τὸ αὐτὸ ἀδύνατον. πῶς γὰρ κινηθήσεται, εἰ μηθὲν ἔσται ἐνεργείᾳ αἴτιον; οὐ γὰρ ἥ γε ὕλη κινήσει αὐτὴ ἑαυτήν, ἀλλὰ τεκτονική, οὐδὲ τὰ ἐπιμήνια οὐδ' ἡ γῆ, ἀλλὰ τὰ σπέρματα καὶ ἡ γονή. διὸ ἔνιοι ποιοῦσιν ἀεὶ ἐνέργειαν, οἷον Λεύκιππος καὶ Πλάτων· 247 ἀεὶ γὰρ εἶναί φασι κίνησιν. ἀλλὰ διὰ τί καὶ τίνα οὐ λέγουσιν, οὐδὲ ὡδί, οὐδὲ τὴν αἰτίαν. οὐθὲν γὰρ ὡς ἔτυχε κινεῖται, ἀλλὰ δεῖ τι ἀεὶ ὑπάρχειν, ὥσπερ νῦν φύσει μὲν ὡδί, βίᾳ δὲ ἢ ὑπὸ νοῦ ἢ ἄλλου ὡδί. εἶτα ποία πρώτη; διαφέρει γὰρ ἀμήχανον ὅσον. ἀλλὰ μὴν οὐδὲ Πλάτωνί γε οἷόν τε λέγειν ἣν οἴεται ἐνίοτε ἀρχὴν εἶναι, τὸ αὐτὸ 1072*a* ἑαυτὸ κινοῦν· ὕστερον γὰρ καὶ ἅμα τῷ οὐρανῷ ἡ ψυχή, ὥς φησίν. τὸ μὲν δὴ δύναμιν οἴεσθαι ἐνεργείας πρότερον ἔστι μὲν ὡς καλῶς, ἔστι δ' ὡς οὔ· εἴρηται δὲ πῶς. ὅτι δ' ἐνέργεια πρότερον, μαρτυρεῖ Ἀναξαγόρας (ὁ γὰρ νοῦς ἐνέργεια) καὶ Ἐμπεδοκλῆς φιλίαν καὶ νεῖκος, καὶ οἱ ἀεὶ λέγοντες κίνησιν εἶναι, ὥσπερ Λεύκιππος. ὥστ' οὐκ ἦν ἄπειρον χρόνον χάος ἢ νύξ, ἀλλὰ ταὐτὰ ἀεὶ ἢ περιόδῳ ἢ ἄλλως, εἴπερ πρότερον ἐνέργεια δυνάμεως. εἰ δὴ τὸ αὐτὸ ἀεὶ περιόδῳ, δεῖ τι ἀεὶ μένειν ὡσαύτως ἐνεργοῦν. εἰ δὲ μέλλει γένεσις καὶ φθορὰ εἶναι, ἄλλο δεῖ εἶναι ἀεὶ ἐνερ-

21. τὰς om $A^b$. | 22. γε om $TA^b$. | ἐνέργεια $A^b$. | 26. εἰ] δ' *T*. | 27. ὡς et ἦν om *E*. | 28. ἀδύνατον] αἴτιον $F^bM$. | 29. μὴ ἔσται ἐνεργείᾳ τι αἴτιον *E*. | 30. αὐτήν $A^b$. | ἀλλὰ] ἀλλ' ἡ Alex. | 34. οὐδὲ ὡδί] *nec cur sic i*. | 35. τι αἰεί τι ὑπάρχειν $A^b$. | 37. διαφέρειν $A^b$. | ὅσον om $A^b$. | πλάτων *T*, πλάτων εἴ $A^b$.

1072*a* 1. λόγῳ *T*. | ἣν om $A^b$. | ἀρχὴν εἶναι ἐνίοτε *as*. | 3. post πρότερον add εἶναι *as*. | 5. 6. ἐνέργεια *Tas*. | 6. τὴν φιλίαν *s*. | καὶ τὸ νεῖκος *ETas*. | 8. χρόνου $A^b$. | 11. 12. ἐνεργοῦν εἶναι ἀεὶ *as*, ἐνερ. εἶναι, omisso ἀεί, *ETi*.



Digitized by Google

γοῦν ἄλλως καὶ ἄλλως. ἀνάγκη ἄρα ὡδὶ μὲν καθ' αὑτὸ ἐνεργεῖν, ὡδὶ δὲ κατ' ἄλλο· ἤτοι ἄρα καθ' ἕτερον ἢ κατὰ τὸ πρῶτον. ἀνάγκη δὴ κατὰ τοῦτο· πάλιν γὰρ ἐκεῖνο αὐτῷ τε αἴτιον κἀκείνῳ. οὐκοῦν βέλτιον τὸ πρῶτον· καὶ γὰρ αἴτιον ἦν ἐκεῖνο τοῦ ἀεὶ ὡσαύτως, τοῦ δ' ἄλλως ἕτερον· τοῦ δ' ἀεὶ ἄλλως ἄμφω δηλονότι. οὐκοῦν οὕτως καὶ ἔχουσιν αἱ κινήσεις. τί οὖν ἄλλας δεῖ ζητεῖν ἀρχάς;

7 Ἐπεὶ δ' οὕτω τ' ἐνδέχεται, καὶ εἰ μὴ οὕτως, ἐκ νυκτὸς ἔσται καὶ ὁμοῦ πάντων καὶ ἐκ μὴ ὄντος, λύοιτ' ἂν ταῦτα, καὶ ἔστι τι ἀεὶ κινούμενον κίνησιν ἄπαυστον, αὕτη δ' ἡ κύκλῳ· καὶ τοῦτο οὐ λόγῳ μόνον ἀλλ' ἔργῳ δῆλον. ὥστ' ἀΐδιος ἂν εἴη ὁ πρῶτος οὐρανός. ἔστι τοίνυν τι καὶ ὃ 248
κινεῖ. ἐπεὶ δὲ τὸ κινούμενον καὶ κινοῦν καὶ μέσον, τοίνυν ἔστι τι ὃ οὐ κινούμενον κινεῖ, ἀΐδιον καὶ οὐσία καὶ ἐνέργεια οὖσα. κινεῖ δὲ ὧδε τὸ ὀρεκτόν, καὶ τὸ νοητὸν κινεῖ οὐ κινούμενον. τούτων τὰ πρῶτα τὰ αὐτά. ἐπιθυμητὸν μὲν γὰρ τὸ φαινόμενον καλόν, βουλητὸν δὲ πρῶτον τὸ ὂν καλόν. ὀρεγόμεθα δὲ διότι δοκεῖ μᾶλλον ἢ δοκεῖ διότι ὀρεγόμεθα. ἀρχὴ γὰρ ἡ νόησις. νοῦς δὲ ὑπὸ τοῦ νοητοῦ κινεῖται, νοητὴ δὲ ἡ ἑτέρα συστοιχία καθ' αὑτήν· καὶ ταύτης ἡ οὐσία πρώτη, καὶ ταύτης ἡ ἁπλῆ καὶ κατ' ἐνέργειαν. ἔστι δὲ τὸ ἓν καὶ τὸ ἁπλοῦν οὐ τὸ αὐτό· τὸ μὲν γὰρ ἓν μέτρον σημαίνει, τὸ δὲ ἁπλοῦν πῶς ἔχον αὐτό. ἀλλὰ μὴν καὶ τὸ καλὸν καὶ τὸ δι' αὑτὸ αἱρετὸν ἐν τῇ αὐτῇ συστοιχίᾳ· καὶ ἔστιν ἄριστον
1072*b* ἀεὶ ἢ ἀνάλογον τὸ πρῶτον. ὅτι δ' ἔστι τὸ οὗ ἕνεκα ἐν τοῖς ἀκινήτοις, ἡ διαίρεσις δηλοῖ. ἔστι γάρ τινι τὸ οὗ ἕνεκα, ὧν

13. ἑκάτερον *T*. | 14. ἐκεῖνο om *T*. | 15. αὐτῷ Alex *asc*. | 16. τοῦ δ'] τὰ δ' *T*, οὐδ' *A^b*. | 19. τ' om Alex. | 21. καὶ εἰ ἔστι *s*. | ἔστι om *i*. | 22. μόνον λόγω *A^b*. | 24. ἐπεὶ δὲ — 25. ἔστι τι] τὸ et τι om *F^b*, καὶ ante μέσον om *ias*, post κινοῦν distinguunt *scb*, post μέσον distinguit Alex *ia*, sed ita locus nondum sanatus; suspicor legendum vel ἐπεὶ δὲ τὸ κινούμενον καὶ κινοῦν μέσον, ἔστι τοίνυν τι cf. Obs. p. 125, vel ἐπεὶ δὲ τὸ μὲν κινούμενον καὶ μὴ κινοῦν, τὸ δὲ κινούμενον καὶ κινοῦν, καὶ τρίτον τοίνυν ἔστι τι. | 26. post ὧδε puncto distinguunt *ascb*, non distinguunt Alex Them. | τὸ post καὶ om *T*. | 26. 27. κινούμενον *A^bMas*, κινούμενα *cb*. | 27. τούτων δὲ τὰ *s*. | γὰρ μὲν *A^b*. | 29. ὅτι *ETas*. | μᾶλλον] καλὸν *EF^bM*, ἀγαθὸν *c*. | 30. γὰρ *ET* Alex *ias*, δὲ *cb*. | κινεῖται om *A^b*. | νοητὸν *Tas*. | *at intelligibile seriem per se propriam efficit i*. | 31. ἡ ante οὐσία et 32. καὶ ταύτης ἡ om *A^b*. | 32. ἁπλῶς *as*. | καὶ om *T*. | 33. τὸ ante ἁπλοῦν om *ETF^b*. | γὰρ om *A^b*. | 35. δι' αὑτὸ *asc*, om *T*. | συστοιχεία *A^ba*.

1072*b* 2. ἕνεκα] ἕνεκα τινός *A^b*.

Digitized by Google

τὸ μὲν ἔστι τὸ δ' οὐκ ἔστι. κινεῖ δὲ ὡς ἐρώμενον, κινούμενον δὲ τἆλλα κινεῖ. εἰ μὲν οὖν τι κινεῖται, ἐνδέχεται καὶ ἄλλως ἔχειν. ὥστ' εἰ φορὰ ἡ πρώτη [καὶ] ἐνέργειά ἐστιν, ᾗ κινεῖται, ταύτῃ [δὲ] ἐνδέχεται ἄλλως ἔχειν, κατὰ τόπον, καὶ εἰ μὴ κατ' οὐσίαν. ἐπεὶ δ' ἔστι τι κινοῦν αὐτὸ ἀκίνητον ὄν, ἐνεργείᾳ ὄν, τοῦτο οὐκ ἐνδέχεται ἄλλως ἔχειν οὐδαμῶς. φορὰ γὰρ ἡ πρώτη τῶν μεταβολῶν, ταύτης δὲ ἡ κύκλῳ· ταύτην δὲ τοῦτο κινεῖ. ἐξ ἀνάγκης ἄρα ἐστὶν ὄν· καὶ ᾗ ἀνάγκῃ, καλῶς, καὶ οὕτως ἀρχή. τὸ γὰρ ἀναγκαῖον τοσαυταχῶς· τὸ μὲν βίᾳ ὅτι παρὰ τὴν ὁρμήν, τὸ δὲ οὗ οὐκ ἄνευ τὸ εὖ, τὸ δὲ μὴ ἐνδεχόμενον ἄλλως ἀλλ' ἁπλῶς. ἐκ τοιαύτης
249 ἄρα ἀρχῆς ἤρτηται ὁ οὐρανὸς καὶ ἡ φύσις. διαγωγὴ δ' ἐστὶν οἵα ἡ ἀρίστη μικρὸν χρόνον ἡμῖν· οὕτω γὰρ ἀεὶ ἐκεῖνό ἐστιν (ἡμῖν μὲν γὰρ ἀδύνατον), ἐπεὶ καὶ ἡδονὴ ἡ ἐνέργεια τούτου· καὶ διὰ τοῦτο ἐγρήγορσις αἴσθησις νόησις ἥδιστον, ἐλπίδες δὲ καὶ μνῆμαι διὰ ταῦτα. ἡ δὲ νόησις ἡ καθ' αὑτὴν τοῦ καθ' αὑτὸ ἀρίστου, καὶ ἡ μάλιστα τοῦ μάλιστα. αὑτὸν δὲ νοεῖ ὁ νοῦς κατὰ μετάληψιν τοῦ νοητοῦ· νοητὸς γὰρ γίγνεται θιγγάνων καὶ νοῶν, ὥστε ταὐτὸν νοῦς καὶ νοητόν. τὸ γὰρ δεκτικὸν τοῦ νοητοῦ καὶ τῆς οὐσίας νοῦς. ἐνεργεῖ δὲ ἔχων· ὥστ' ἐκεῖνο μᾶλλον τούτου ὃ δοκεῖ ὁ νοῦς θεῖον ἔχειν, καὶ ἡ θεωρία τὸ ἥδιστον καὶ ἄριστον. εἰ οὖν οὕτως εὖ ἔχει, ὡς ἡμεῖς ποτέ, ὁ θεὸς ἀεί, θαυμαστόν· εἰ δὲ μᾶλλον, ἔτι θαυμασιώτερον. ἔχει δὲ ὡδί. καὶ ζωὴ δέ γε ὑπάρχει· ἡ γὰρ νοῦ ἐνέργεια ζωή, ἐκεῖνος δὲ ἡ ἐνέργεια· ἐνέργεια δὲ ἡ καθ' αὑτὴν ἐκείνου ζωὴ ἀρίστη καὶ ἀΐδιος. φαμὲν δὲ τὸν θεὸν εἶναι ζῷον ἀΐδιον ἄριστον, ὥστε ζωὴ καὶ αἰὼν συνεχὴς

3. δὲ] δὴ *A^b a*. | ὁρώμενον *T*. | κινουμένω *ET*. | 4. εἰ] ὅτι *F^b*. | καὶ om *E* Alex. | 5. εἰ φορὰ ἡ πρώτη scripsi cum Alex, ἡ φορὰ ἡ πρώτη *E*, εἰ ἡ φορὰ πρώτη *ascb*, εἰ post πρώτη *T*. | post πρώτη comma, post ἐστιν non distinguunt *cb*. | 5. 6. post κινεῖται comma *c*, colon *b*. | 5. καὶ omittendum cum Alex. | 6. ταύτῃ *E* Alex *i*, ταύτην *ascb*, cf. Obs. p. 105. | δὲ vel omittendum, cf. Alex p. 670, 16 not., vel mutandum in δὴ vel γε, cf. Obs. l. l. | 10. ἀνάγκη *as*. | 15. ἐστὶν om *F^b*. | οἷα] οἷα τε *Eas*, om *T*. | 16. ἐστιν om *A^b*. | μὲν om *T*. | ἡδονὴ ἡ ἐν. Alex Them *as*, γρ καὶ ἡδονὴ ἡ ἐν. *E*, ἡ ἡδονὴ ἐν. *cb*. | 18. κνῆμαι *E*. | 19. αὐτὸ] αὐτὸν *T*. | ἀορίστου *a*. | 20. ἑαυτὸν *A^b*, αὐτὸν *as*. | κατὰ] καὶ *A^b*. | νοητὸς — 22. νοητοῦ om *T*. | 21. καὶ post νοῦς om *A^b*. | 23. fort. ἐκείνου μᾶλλον τοῦτο c. Alex. | 24. ἀόριστον *ET*. | οὖν om *T*. | 26. ὧδε *ETasc*. | inexistit *i*. | 27. ἐκεῖνο *E* Alex. | 28. ἀΐδιος — 29. ζῷον om *T*. | 28. δὲ] fort. δή. | 29. ἀόριστον *T*.



Digitized by Google

καὶ ἀΐδιος ὑπάρχει τῷ θεῷ· τοῦτο γὰρ ὁ θεός. ὅσοι δὲ ὑπολαμβάνουσιν, ὥσπερ οἱ Πυθαγόρειοι καὶ Σπεύσιππος, τὸ κάλλιστον καὶ ἄριστον μὴ ἐν ἀρχῇ εἶναι, διὰ τὸ καὶ τῶν φυτῶν καὶ τῶν ζῴων τὰς ἀρχὰς αἴτια μὲν εἶναι, τὸ δὲ καλὸν καὶ τέλειον ἐν τοῖς ἐκ τέτων, ὀκ ὀρθῶς οἴονται. τὸ γὰρ σπέρμα ἐξ ἑτέρων ἐστὶ προτέρων τελείων, καὶ τὸ 1073*a* πρῶτον οὐ σπέρμα ἐστίν, ἀλλὰ τὸ τέλειον· οἷον πρότερον ἄνθρωπον ἂν φαίη τις εἶναι τε̃ σπέρματος, ὀ τὸν ἐκ τέτε γενόμενον, ἀλλ' ἕτερον ἐξ ὃ τὸ σπέρμα. ὅτι μὲν ὂν ἔςιν ὀσία τις ἀΐδιος καὶ ἀκίνητος καὶ κεχωρισμένη τῶν αἰσθητῶν, φανερὸν ἐκ τῶν εἰρημένων. δέδεικται δὲ καὶ ὅτι μέ- 250 γεθος ὀθὲν ἔχειν ἐνδέχεται ταύτην τὴν ὀσίαν, ἀλλ' ἀμερὴς καὶ ἀδιαίρετός ἐςιν. κινεῖ γὰρ τὸν ἄπειρον χρόνον, ὀθὲν δ' ἔχει δύναμιν ἄπειρον πεπερασμένον. ἐπεὶ δὲ πᾶν μέγεθος ἢ ἄπειρον ἢ πεπερασμένον, πεπερασμένον μὲν διὰ τε̃το ὀκ ἂν ἔχοι μέγεθος, ἄπειρον δ' ὅτι ὅλως ὀκ ἔςιν ὀθὲν ἄπειρον μέγεθος. ἀλλὰ μὴν καὶ ὅτι ἀπαθὲς καὶ ἀναλλοίωτον· πᾶσαι γὰρ αἱ ἄλλαι κινήσεις ὕστεραι τῆς κατὰ τόπον. ταῦτα μὲν ὂν δῆλα διότι τε̃τον ἔχει τὸν τρόπον.

8 Πότερον δὲ μίαν θετέον τὴν τοιαύτην ὀσίαν ἢ πλείες, καὶ πόσας, δεῖ μὴ λανθάνειν, ἀλλὰ μεμνῆσθαι καὶ τὰς τῶν ἄλλων ἀποφάσεις, ὅτι περὶ πλήθους οὐθὲν εἰρήκασιν, ὅ τι καὶ σαφὲς εἰπεῖν. ἡ μὲν γὰρ περὶ τὰς ἰδέας ὑπόληψις ὀδεμίαν ἔχει σκέψιν ἰδίαν· ἀριθμὸς γὰρ λέγεσι τὰς ἰδέας οἱ λέγοντες ἰδέας, περὶ δὲ τῶν ἀριθμῶν ὁτὲ μὲν ὡς περὶ ἀπείρων λέγεσιν, ὁτὲ δὲ ὡς μέχρι τῆς δεκάδος ὡρισμένων· δι' ἣν δ' αἰτίαν τοσοῦτον τὸ πλῆθος τῶν ἀριθμῶν, οὐθὲν λέγεται μετὰ σπεδῆς ἀποδεικτικῆς. ἡμῖν δ' ἐκ τῶν ὑποκειμένων καὶ διωρισμένων λεκτέον. ἡ μὲν γὰρ ἀρχὴ καὶ τὸ πρῶτον τῶν ὄντων ἀκίνητον καὶ καθ' αὑτὸ καὶ κατὰ συμβεβηκός, κινε̃ν δὲ τὴν πρώτην ἀΐδιον καὶ μίαν κίνησιν.

30. καὶ om *ET*. | 32. κάλλ. κ. ἄρ.] ἄρ. μὴ κάλλ. *a*, ἄρ. καὶ κάλλ. *s*. | 33. καὶ τῶν ζῴων om *T*. | 34. καὶ τὸ τέλειον *T*. | 35. προτέρων ἐστὶ *A*^b^*c*. | πρότερον *a*.

1073*a* 1. οἷόν τε πρότερον *A*^b^, οἷον ὥστε πρότερον *T*. | 2. τις] τις ἄνθρωπον *T*. | 3. γεννώμενον *as*. | 4. καὶ ἀκίνητος om *T*. | 6. ἐνδ. ἔχειν *as*. | 7. κινεῖται *T*. | 8. πεπερασμένον ὄν. ἐπεὶ *T*. | 10. μέγεθος εἰς ἄπειρον *T*. | 11. μὴν ὅτι καὶ ἀπαθὴς καὶ ἀναλλοίωτος *T*. | 19. λ. τὰς ἰδέας *as*. | 22. οὐδὲ *T*. | 23. διωρισμένων] δεδειγμένων Alex. | 25. πρώτην καὶ ἀΐδ. *as*.

Digitized by Google

ἐπεὶ δὲ τὸ κινούμενον ἀνάγκη ὑπό τινος κινεῖσθαι, καὶ τὸ πρῶτον κινοῦν ἀκίνητον εἶναι καθ' αὑτό, καὶ τὴν ἀΐδιον κίνησιν ὑπὸ ἀϊδίου κινεῖσθαι καὶ τὴν μίαν ὑφ' ἑνός, ὁρῶμεν δὲ παρὰ τὴν τοῦ παντὸς τὴν ἁπλῆν φοράν, ἣν κινεῖν φαμὲν τὴν πρώτην οὐσίαν καὶ ἀκίνητον, ἄλλας φορὰς οὔσας τὰς τῶν πλανήτων ἀϊδίους (ἀΐδιον γὰρ καὶ ἄστατον τὸ κύκλῳ
251 σῶμα· δέδεικται δ' ἐν τοῖς φυσικοῖς περὶ τούτων), ἀνάγκη καὶ τούτων ἑκάστην τῶν φορῶν ὑπ' ἀκινήτου τε κινεῖσθαι καθ' αὑτὸ καὶ ἀϊδίου οὐσίας. ἥ τε γὰρ τῶν ἄστρων φύσις ἀΐδιος οὐσία τις οὖσα, καὶ τὸ κινοῦν ἀΐδιον καὶ πρότερον τοῦ κινουμένου, καὶ τὸ πρότερον οὐσίας οὐσίαν ἀναγκαῖον εἶναι. φανερὸν τοίνυν ὅτι τοσαύτας τε οὐσίας ἀναγκαῖον εἶναι τήν τε φύσιν ἀϊδίους καὶ ἀκινήτους καθ' αὑτὰς καὶ ἄνευ μεγέθους, διὰ τὴν εἰρημένην αἰτίαν πρότερον. ὅτι μὲν οὖν εἰσὶν οὐσίαι, 1073b
καὶ τούτων τίς πρώτη καὶ δευτέρα κατὰ τὴν αὐτὴν τάξιν ταῖς φοραῖς τῶν ἄστρων, φανερόν. τὸ δὲ πλῆθος ἤδη τῶν φορῶν ἐκ τῆς οἰκειοτάτης φιλοσοφίᾳ τῶν μαθηματικῶν ἐπιστημῶν δεῖ σκοπεῖν, ἐκ τῆς ἀστρολογίας· αὕτη γὰρ περὶ οὐσίας αἰσθητῆς μὲν ἀϊδίου δὲ ποιεῖται τὴν θεωρίαν, αἱ δ' ἄλλαι περὶ οὐδεμιᾶς οὐσίας, οἷον ἥ τε περὶ τοὺς ἀριθμοὺς καὶ τὴν γεωμετρίαν. ὅτι μὲν οὖν πλείους τῶν φερομένων αἱ φοραί, φανερὸν τοῖς καὶ μετρίως ἡμμένοις· πλείους γὰρ ἕκαστον φέρεται μιᾶς τῶν πλανωμένων ἄστρων. πόσαι δ' αὗται τυγχάνουσιν οὖσαι, νῦν μὲν ἡμεῖς ἃ λέγουσι τῶν μαθηματικῶν τινὲς ἐννοίας χάριν λέγομεν, ὅπως ᾖ τι τῇ διανοίᾳ πλῆθος ὡρισμένον ὑπολαβεῖν· τὸ δὲ λοιπὸν τὰ μὲν ζητοῦντας αὐτοὺς δεῖ, τὰ δὲ πυνθανομένους παρὰ τῶν ζητούντων, ἄν τι φαίνηται παρὰ τὰ νῦν εἰρημένα τοῖς ταῦτα πραγματευομένοις, φιλεῖν μὲν ἀμφοτέρους, πείθεσθαι δὲ τοῖς ἀκριβεστέροις. Εὔδοξος μὲν οὖν ἡλίου καὶ σελήνης ἑκατέρου τὴν φορὰν ἐν τρισὶν ἐτίθετ' εἶναι σφαίραις, ὧν τὴν μὲν πρώτην τὴν τῶν ἀπλανῶν ἄστρων εἶναι, τὴν δὲ δευτέραν κατὰ τὸν
252 διὰ μέσων τῶν ζῳδίων, τὴν δὲ τρίτην κατὰ τὸν λελοξω-

34. αὑτὴν E Alex, sed αὑτὸ cum ceteris γρ Alex. | 34. 35. φύσις ἀΐδιος οὐσία] οὐσία ἀΐδιος T. | 36. τὸ om a. | 37. τε post τοσαύτας om s, fort. recte.

1073b 1. εἰσὶν om T. | 2. τίς om a. | 4. σφαιρῶν Alex, fort. recte. | φιλοσοφίᾳ Alex Them, φιλοσοφίας iascb. | 11. μὲν καὶ ἡμεῖς s. | 12. λέγωμεν s. | 13. 14. ζηλοῦντας a. | 15. φαίνεται T. | 17. ἑκατέρου om $F^b$. | 19. τὸν] τὴν T, τὸ $EA^b$ias. | 20. δὲ om $F^b$. | τὸν] τὸ as.

Digitized by Google

μένον ἐν τῷ πλάτει τῶν ζῳδίων· ἐν μείζονι δὲ πλάτει λελοξῶσθαι καθ' ὃν ἡ σελήνη φέρεται ἢ καθ' ὃν ὁ ἥλιος. τῶν δὲ πλανωμένων ἄστρων ἐν τέτταρσιν ἑκάστου σφαίραις, καὶ τούτων δὲ τὴν μὲν πρώτην καὶ δευτέραν τὴν αὐτὴν εἶναι ἐκείναις (τήν τε γὰρ τῶν ἀπλανῶν τὴν ἁπάσας φέρουσαν [εἶναι,] καὶ τὴν ὑπὸ ταύτην τεταγμένην καὶ κατὰ τὸν διὰ μέσων τῶν ζῳδίων τὴν φορὰν ἔχουσαν κοινὴν ἁπασῶν εἶναι), τῆς δὲ τρίτης ἁπάντων τοὺς πόλους ἐν τῷ διὰ μέσων τῶν ζῳδίων εἶναι, τῆς δὲ τετάρτης τὴν φορὰν κατὰ τὸν λελοξωμένον πρὸς τὸν μέσον ταύτης· εἶναι δὲ τῆς τρίτης σφαίρας τοὺς πόλους τῶν μὲν ἄλλων ἰδίους, τοὺς δὲ τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ τοὺς αὐτούς. Κάλλιππος δὲ τὴν μὲν θέσιν τῶν σφαιρῶν τὴν αὐτὴν ἐτίθετο Εὐδόξῳ, τοῦτ' ἔστι τῶν ἀποστημάτων τὴν τάξιν, τὸ δὲ πλῆθος τῷ μὲν τοῦ Διὸς καὶ τῷ τοῦ Κρόνου τὸ αὐτὸ ἐκείνῳ ἀπεδίδου, τῷ δ' ἡλίου καὶ τῷ σελήνης δύο ᾤετο ἔτι προσθετέας εἶναι σφαίρας, τὰ φαινόμενα εἰ μέλλει τις ἀποδώσειν, τοῖς δὲ λοιποῖς τῶν πλανήτων ἑκάστῳ μίαν. ἀναγκαῖον δέ, εἰ μέλλουσι συντεθεῖσαι
1074a πᾶσαι τὰ φαινόμενα ἀποδώσειν, καθ' ἕκαστον τῶν πλανωμένων ἑτέρας σφαίρας μιᾷ ἐλάττονας εἶναι τὰς ἀνελιττούσας καὶ εἰς τὸ αὐτὸ ἀποκαθιστάσας τῇ θέσει τὴν πρώτην σφαῖραν ἀεὶ τοῦ ὑποκάτω τεταγμένου ἄστρου· οὕτω γὰρ μόνως ἐνδέχεται τὴν τῶν πλανητῶν φορὰν ἅπαντα ποιεῖσθαι. ἐπεὶ οὖν ἐν αἷς μὲν αὐτὰ φέρεται σφαίραις αἱ μὲν ὀκτὼ αἱ δὲ πέντε καὶ εἴκοσίν εἰσιν, τούτων δὲ μόνας οὐ δεῖ ἀνελιχθῆναι ἐν αἷς τὸ κατωτάτω τεταγμένον φέρεται, αἱ μὲν 253
τὰς τῶν πρώτων δύο ἀνελίττουσαι ἓξ ἔσονται, αἱ δὲ τὰς τῶν ὕστερον τεττάρων ἑκκαίδεκα, ὁ δὲ ἁπασῶν ἀριθμὸς τῶν τε φερουσῶν καὶ τῶν ἀνελιττουσῶν ταύτας πεντήκοντά τε καὶ πέντε. εἰ δὲ τῇ σελήνῃ τε καὶ τῷ ἡλίῳ μὴ προστιθείη τις ἃς εἴπομεν κινήσεις, αἱ πᾶσαι σφαῖραι ἔσονται ἑπτά

23. τέτρασιν *Tas*. | 26. εἶναι om Them. | καὶ τὴν — 27. εἶναι om *T*. | 26. ταύτῃ *E*. | τὸ $A^b$s. | 29. 30. τὸν λελ.] τὰ τῶν λελοξωμένων *as*. | 31. τοὺς δὲ] τοῦ δὲ *T*. | 33. τοῦτ' — 34. τάξιν om *E*. | 35. ἐκεῖνο $A^b$. | ἐπιπέδου *T*. | 35. 36. ἡλίῳ καὶ τῇ σελήνῃ *ETF^bi*. | 36. ἔτι ᾤετο *T*. | ἔτι om Alex. | 37. μέλλοι *E*. | τοῖς — 1074a 1 ἀποδώσειν om *T*. | συντεθεῖναι *a*.

1074a 2. μιᾷ] μὴ *T*. | 3. ἀποκαθιστώσας $A^b$ Simpl *as*. | 6. φέρονται *T*. | 7. 8. ἀνελλιχθῆναι οὐ δεῖ $F^b$. | ἀναλεχθῆναι *T*. | 8. κάτω $F^b$. | 9. δύο πρώτων *as*. | 10. δὴ *ET*. | 12. τῆς σελήνης *as*. | τε om Simpl *as*. | προστεθείη *T*, προσθείη Alex Simpl.

Digitized by Google

τε καὶ τεσσαράκοντα. τὸ μὲν οὖν πλῆθος τῶν σφαιρῶν ἔστω
τοσοῦτον, ὥστε καὶ τὰς οὐσίας καὶ τὰς ἀρχὰς τὰς ἀκινήτους
καὶ τὰς αἰσθητὰς τοσαύτας εὔλογον ὑπολαβεῖν· τὸ γὰρ
ἀναγκαῖον ἀφείσθω τοῖς ἰσχυροτέροις λέγειν. εἰ δὲ μηδε-
μίαν οἷόν τ' εἶναι φορὰν μὴ συντείνουσαν πρὸς ἄστρου φοράν,
ἔτι δὲ πᾶσαν φύσιν καὶ πᾶσαν οὐσίαν ἀπαθῆ καὶ καθ'
αὑτὴν τοῦ ἀρίστου τετυχηκυῖαν τέλους εἶναι δεῖ νομίζειν, οὐδε-
μία ἂν εἴη παρὰ ταύτας ἑτέρα φύσις, ἀλλὰ τοῦτον ἀνάγκη
τὸν ἀριθμὸν εἶναι τῶν οὐσιῶν. εἴτε γάρ εἰσιν ἕτεραι, κινοῖεν
ἂν ὡς τέλος οὖσαι φορᾶς. ἀλλ' εἶναί γε ἄλλας φορὰς
ἀδύνατον παρὰ τὰς εἰρημένας. τοῦτο δ' εὔλογον ἐκ τῶν
φερομένων ὑπολαβεῖν. εἰ γὰρ πᾶν τὸ φέρον τοῦ φερομένου
χάριν πέφυκε καὶ φορὰ πᾶσα φερομένου τινός ἐστιν, οὐδεμία
φορὰ αὑτῆς ἂν ἕνεκα εἴη οὐδ' ἄλλης φορᾶς, ἀλλὰ τῶν
ἄστρων ἕνεκα. εἰ γὰρ ἔσται φορὰ φορᾶς ἕνεκα, καὶ ἐκείνην
ἑτέρου δεήσει χάριν εἶναι· ὥστ' ἐπειδὴ οὐχ οἷόν τε εἰς ἄπει-
ρον, τέλος ἔσται πάσης φορᾶς τῶν φερομένων τι θείων σω-
μάτων κατὰ τὸν οὐρανόν. ὅτι δὲ εἷς οὐρανός, φανερόν. εἰ
γὰρ πλείους οὐρανοὶ ὥσπερ ἄνθρωποι, ἔσται εἴδει μία ἡ περὶ
ἕκαστον ἀρχή, ἀριθμῷ δέ γε πολλαί. ἀλλ' ὅσα ἀριθμῷ
254 πολλά, ὕλην ἔχει· εἷς γὰρ λόγος καὶ ὁ αὐτὸς πολλῶν,
οἷον ἀνθρώπου, Σωκράτης δὲ εἷς. τὸ δὲ τί ἦν εἶναι οὐκ ἔχει
ὕλην τὸ πρῶτον· ἐντελέχεια γάρ. ἓν ἄρα καὶ λόγῳ καὶ
ἀριθμῷ τὸ πρῶτον κινοῦν ἀκίνητον ὄν· καὶ τὸ κινούμενον ἄρα
ἀεὶ καὶ συνεχῶς ἓν μόνον· εἷς ἄρα οὐρανὸς μόνος. παρα-
δέδοται δὲ παρὰ τῶν ἀρχαίων καὶ παμπαλαίων ἐν μύθου 1074b
σχήματι καταλελειμμένα τοῖς ὕστερον ὅτι θεοί τέ εἰσιν
οὗτοι καὶ περιέχει τὸ θεῖον τὴν ὅλην φύσιν. τὰ δὲ λοιπὰ
μυθικῶς ἤδη προσῆκται πρὸς τὴν πειθὼ τῶν πολλῶν καὶ
πρὸς τὴν εἰς τοὺς νόμους καὶ τὸ συμφέρον χρῆσιν· ἀνθρω-

14. σφαιρῶν] φορῶν legi iubet Krische Forschungen I. p. 288 e Simpl. cf. Schol. 503*a* 18. | 18. οἷόν om *T.* | οἴονται εἶναι *a.* | 19. ἀπαθῆ] ἀγαθὴν ἀπαθῆ *T.* | 20. τέλους] fort. τέλος. | 25. φαιρομένων *T.* | 27. ἂν om *E.* | εἴη ἕνεκα *as.* | 28. ἔσται] εἶναι ἔσται *c.* | 29. ἑτέρων *A*[b]*as.* | εἰς] ἰέναι εἰς *is.* | 32. οἱ οὐρανοὶ *as.* | οἱ ἄνθρωποι *as.* | 35. γρ σωκράτης δὲ οὐχ εἷς *E* mg. locus corruptus. cf. Them: *Una enim est ratio eademque omnium hominum. Discrimen vero inter Socratem et Platonem ex materia manat.* | 36. ἓν] ἓν μὲν *as.* | 38. ἓν μόνον om *A*[b].

1074*b* 1. παρὰ] ὑπὸ *as.* | παλαιῶν *as.* | 4. ἤδη] εἴδη *a*, om Alex. | προῆκται Alex, προσῆσθαι *a*, προσῆχθαι *s.*

Digitized by Google

*ποειδεῖς τε γὰρ τούτους καὶ τῶν ἄλλων ζῴων ὁμοίους τισὶ λέγουσι, καὶ τούτοις ἕτερα ἀκόλουθα καὶ παραπλήσια τοῖς εἰρημένοις. ὧν εἴ τις χωρίσας αὐτὸ λάβοι μόνον τὸ πρῶτον, ὅτι θεοὺς ᾤοντο τὰς πρώτας οὐσίας εἶναι, θείως ἂν εἰρῆσθαι νομίσειεν, καὶ κατὰ τὸ εἰκὸς πολλάκις εὑρημένης εἰς τὸ δυνατὸν ἑκάστης καὶ τέχνης καὶ φιλοσοφίας καὶ πάλιν φθειρομένων καὶ ταύτας τὰς δόξας ἐκείνων οἷον λείψανα περισεσῶσθαι μέχρι τοῦ νῦν. ἡ μὲν οὖν πάτριος δόξα καὶ ἡ παρὰ τῶν πρώτων ἐπὶ τοσοῦτον ἡμῖν φανερὰ μόνον.*

9 *Τὰ δὲ περὶ τὸν νοῦν ἔχει τινὰς ἀπορίας· δοκεῖ μὲν γὰρ εἶναι τῶν φαινομένων θειότατον, πῶς δ' ἔχων τοιοῦτος ἂν εἴη, ἔχει τινὰς δυσκολίας. εἴτε γὰρ μηθὲν νοεῖ, τί ἂν εἴη τὸ σεμνόν, ἀλλ' ἔχει ὥσπερ ἂν εἰ ὁ καθεύδων· εἴτε νοεῖ, τούτου δ' ἄλλο κύριον (οὐ γάρ ἐστι τοῦτο ὅ ἐστιν αὐτοῦ ἡ οὐσία νόησις, ἀλλὰ δύναμις), οὐκ ἂν ἡ ἀρίστη οὐσία εἴη· διὰ γὰρ τοῦ νοεῖν τὸ τίμιον αὐτῷ ὑπάρχει. ἔτι δὲ εἴτε νοῦς ἡ οὐσία αὐτοῦ εἴτε νόησίς ἐστι, τί νοεῖ; ἢ γὰρ αὐτὸς αὐτὸν ἢ* 255 *ἕτερόν τι. καὶ εἰ ἕτερόν τι, ἢ τὸ αὐτὸ ἀεὶ ἢ ἄλλο. πότερον οὖν διαφέρει τι ἢ οὐθὲν τὸ νοεῖν τὸ καλὸν ἢ τὸ τυχόν; ἢ καὶ ἄτοπον τὸ διανοεῖσθαι περὶ ἐνίων; δῆλον τοίνυν ὅτι τὸ θειότατον καὶ τιμιώτατον νοεῖ, καὶ οὐ μεταβάλλει· εἰς χεῖρον γὰρ ἡ μεταβολή, καὶ κίνησίς τις ἤδη τὸ τοιοῦτον. πρῶτον μὲν οὖν εἰ μὴ νόησίς ἐστιν ἀλλὰ δύναμις, εὔλογον ἐπίπονον εἶναι τὸ συνεχὲς αὐτῷ τῆς νοήσεως. ἔπειτα δῆλον ὅτι ἄλλο τι ἂν εἴη τὸ τιμιώτερον ἢ ὁ νοῦς, τὸ νοούμενον. καὶ γὰρ τὸ νοεῖν καὶ ἡ νόησις ὑπάρξει καὶ τὸ χείριστον νοοῦντι. ὥστ' εἰ φευκτὸν τοῦτο (καὶ γὰρ μὴ ὁρᾶν ἔνια κρεῖττον ἢ ὁρᾶν), οὐκ ἂν εἴη τὸ ἄριστον ἡ νόησις. αὑτὸν ἄρα νοεῖ, εἴπερ ἐστὶ τὸ κράτιστον, καὶ ἔστιν ἡ νόησις νοήσεως νόησις. φαίνεται δ' ἀεὶ ἄλλου ἡ ἐπιστήμη καὶ ἡ αἴσθησις καὶ ἡ δόξα καὶ ἡ διάνοια, αὑτῆς δ' ἐν παρέργῳ. ἔτι εἰ ἄλλο τὸ νοεῖν καὶ τὸ νοεῖσθαι, κατὰ πότερον αὐτῷ τὸ εὖ ὑπάρ-*

17. *μηδ' ἐννοεῖ* ***A***[b]. | *τί* — 18. *σεμνόν* post *καθεύδων* ***i***. | 18. *εἰ*] *εἴη* ***as***. | 19. *ἐστι*] ***erit i***. | 22. *αὐτὸν* ***a***. | 23. *καὶ* — *τι* om ***ET***. | 27. *γὰρ κίνησις καὶ μεταβολή* ***A***[b]. | *καὶ ἡ κίν.* ***as***. | 30. *τὸ* om ***s***. | *ὁ* om ***Ts***. | 31. *τὸ* post *γὰρ* om Alex. | *ἡ* om Alex. | 32. *εἰ*] *εἰ ἔστι* ***E***, om ***Tas***. | 32. 33. *κρείττονι*, omisso *ἢ*, ***T***. | 33. *τὸ θειότατον καὶ ἄριστον* Alex. | 34. 35. *ἡ νόησις κάτω νοήσεως νοήσει. φ.* ***T***. | 35. *ἄλλου* om ***as***. | *ἡ* post *καὶ* om ***E***. | 36. *ἑαυτῆς* Alex, *αὑτῆς* ***as***. | *ἔτι δ' εἰ* ***T***.

Digitized by Google

χει; οὐδὲ γὰρ ταὐτὸ τὸ εἶναι νοήσει καὶ νοȣμένῳ. ἢ ἐπ' ἐνίων ἡ ἐπιστήμη τὸ πρᾶγμα· ἐπὶ μὲν τῶν ποιητικῶν ἄνευ 1075a
ὕλης ἡ οὐσία καὶ τὸ τί ἦν εἶναι, ἐπὶ δὲ τῶν θεωρητικῶν ὁ λόγος τὸ πρᾶγμα καὶ ἡ νόησις. ȣ̓χ ἑτέρȣ ȣ̓̂ν ὄντος τȣ̃ νοȣμένου καὶ τοῦ νοῦ, ὅσα μὴ ὕλην ἔχει, τὸ αὐτὸ ἔϛαι, καὶ ἡ νόησις τῷ νοȣμένῳ μία. ἔτι δὴ λείπεται ἀπορία, εἰ σύνθετον τὸ νοȣ́μενον· μεταβάλλοι γὰρ ἂν ἐν τοῖς μέρεσι τȣ̃ ὅλȣ. ἢ ἀδιαίρετον πᾶν τὸ μὴ ἔχον ὕλην. ὥσπερ γὰρ ὁ ἀνθρώπινος νȣ̃ς, [ἢ] ὅ γε τῶν συνθέτων, ἔχει ἔν τινι χρόνῳ (ȣ̓ γὰρ ἔχει τὸ εὖ ἐν τῳδὶ ἢ ἐν τῳδί, ἀλλ' ἐν ὅλῳ τινὶ τὸ ἄριϛον, ὂν ἄλλο τι), ȣ̔́τως δὴ ἔχει αὐτὴ αὑτῆς ἡ νόησις τὸν ἅπαντα αἰῶνα.

10 Ἐπισκεπτέον δὲ καὶ ποτέρως ἔχει ἡ τȣ̃ ὅλȣ φύσις τὸ
256 ἀγαθὸν καὶ τὸ ἄριστον, πότερον κεχωρισμένον τι καὶ αὐτὸ καθ' αὑτό, ἢ τὴν τάξιν; ἢ ἀμφοτέρως ὥσπερ στράτευμα, καὶ γὰρ ἐν τῇ τάξει τὸ εὖ καὶ ὁ στρατηγός, καὶ μᾶλλον ȣ̔̃τος· ȣ̓ γὰρ ȣ̔̃τος διὰ τὴν τάξιν ἀλλ' ἐκείνη διὰ τȣ̃τόν ἐϛιν. πάντα δὲ συντέτακταί πως, ἀλλ' οὐχ ὁμοίως, καὶ πλωτὰ καὶ πτηνὰ καὶ φυτά· καὶ ȣ̓χ ȣ̔́τως ἔχει ὥϛε μὴ εἶναι θατέρῳ πρὸς θάτερον μηθέν, ἀλλ' ἔστι τι· πρὸς μὲν γὰρ ἓν ἅπαντα συντέτακται. ἀλλ' ὥσπερ ἐν οἰκίᾳ τοῖς ἐλευθέροις ἥκιϛα ἔξεϛιν ὅ τι ἔτυχε ποιεῖν, ἀλλὰ πάντα ἢ τὰ πλεῖϛα τέτακται, τοῖς δὲ ἀνδραπόδοις καὶ τοῖς θηρίοις μικρὸν τὸ εἰς τὸ κοινόν, τὸ δὲ πολὺ ὅ τι ἔτυχεν· τοιαύτη γὰρ ἑκάστου ἀρχὴ αὐτῶν ἡ φύσις ἐϛίν. λέγω δ' οἷον εἴς γε τὸ διακριθῆναι ἀνάγκη ἅπασιν ἐλθεῖν, καὶ ἄλλα ȣ̔́τως ἐϛὶν ὧν κοινωνεῖ ἅπαντα εἰς τὸ ὅλον. ὅσα δὲ ἀδύνατα συμβαίνει ἢ ἄτοπα τοῖς ἄλλως λέγȣσι, καὶ ποῖα οἱ χαριεϛέρως λέγοντες, καὶ ἐπὶ ποίων ἐλάχισται ἀπορίαι, δεῖ μὴ λανθάνειν. πάντες γὰρ ἐξ ἐναντίων ποιȣ̃σι πάντα. ȣ̓́τε δὲ τὸ πάντα ȣ̓́τε τὸ ἐξ ἐναντίων ὀρθῶς, ȣ̓́τ' ἐν ὅσοις τὰ ἐναντία ὑπάρχει, πῶς ἐκ τῶν ἐναντίων ἔϛαι, οὐ λέγουσιν· ἀπαθῆ γὰρ τὰ ἐναντία

38. ταὐτὸ τὸ] αὐτὸ τὸ *a*, τὸ αὐτὸ *sc*.

1075*a* 4. post ἔχει non dist *cb*. | 5. τῷ νοουμένῳ Alex, τοῦ νοουμένου *iascb*, cf. Obs. p. 106. | μία om *E*. | ἀπορία] ζητῆσαι Alex. | 6. μεταβάλοι *A^b*, μεταβάλλει *T*. | 7. post ὕλην comma *b*. | γὰρ addidi ex Alex, cf. Obs. p. 19. | 8. ἔχει] ἀεὶ *as*. | 10. δὴ coni., cf. Obs. p. 19, δ' *ascb*. | αὐτῆς *a*. | 11. λόγου *T*. | 12. τι κεχωρισμένον *T*. | 15. οὗτος· οὐ] αὐτός· οὐ *T*. | τοῦτ' ἦν ἐστιν *T*. | 17. καὶ οὐχ οὕτως] οὔτε *T*. | 18. ἔστι τι] *sunt ad quidpiam i*. | 20. ὅ τι ἔτυχε] ὁτιοῦν *E*. | τὰ πάντα *as*. | 23. εἴς τε *as*. | 26. ποῖα ἡ χάρις ἑτέρως λέγοντες *T*. | 28. δὴ *T*.

Digitized by Google

ὑπ' ἀλλήλων. ἡμῖν δὲ λύεται τοῦτο εὐλόγως τῷ τρίτον τι εἶναι. οἱ δὲ τὸ ἕτερον τῶν ἐναντίων ὕλην ποιοῦσιν, ὥσπερ οἱ τὸ ἄνισον τῷ ἴσῳ ἢ τῷ ἑνὶ τὰ πολλά. λύεται δὲ καὶ τοῦτο τὸν αὐτὸν τρόπον· ἡ γὰρ ὕλη ἡ μία οὐθενὶ ἐναντίον. ἔτι ἅπαντα τοῦ φαύλου μεθέξει ἔξω τοῦ ἑνός· τὸ γὰρ κακὸν αὐτὸ θάτερον τῶν ςοιχείων. οἱ δ' ἄλλοι οὐδ' ἀρχὰς τὸ ἀγαθὸν καὶ τὸ κακόν· καίτοι ἐν ἅπασι μάλιςα τὸ ἀγαθὸν ἀρχή. 257
οἱ δὲ τοῦτο μὲν ὀρθῶς ὅτι ἀρχήν, ἀλλὰ πῶς τὸ ἀγαθὸν ἀρχὴ
1075b οὐ λέγουσιν, πότερον ὡς τέλος ἢ ὡς κινῆσαν ἢ ὡς εἶδος. ἀτόπως δὲ καὶ Ἐμπεδοκλῆς· τὴν γὰρ φιλίαν ποιεῖ τὸ ἀγαθόν. αὕτη δ' ἀρχὴ καὶ ὡς κινοῦσα (συνάγει γάρ) καὶ ὡς ὕλη· μόριον γὰρ τοῦ μίγματος. εἰ δὴ καὶ τῷ αὐτῷ συμβέβηκε καὶ ὡς ὕλῃ ἀρχῇ εἶναι καὶ ὡς κινοῦντι, ἀλλὰ τό γ' εἶναι οὐ ταὐτό. κατὰ πότερον οὖν φιλία; ἄτοπον δὲ καὶ τὸ ἄφθαρτον εἶναι τὸ νεῖκος· τοῦτο δ' ἐστὶν αὐτὸ ἡ τοῦ κακοῦ φύσις. Ἀναξαγόρας δὲ ὡς κινοῦν τὸ ἀγαθὸν ἀρχήν, ὁ γὰρ νοῦς κινεῖ· ἀλλὰ κινεῖ ἕνεκά τινος, ὥστε ἕτερον. πλὴν ὡς ἡμεῖς λέγομεν· ἡ γὰρ ἰατρική ἐστί πως ἡ ὑγίεια. ἄτοπον δὲ καὶ τὸ ἐναντίον μὴ ποιῆσαι τῷ ἀγαθῷ καὶ τῷ νῷ. πάντες δ' οἱ τἀναντία λέγοντες οὐ χρῶνται τοῖς ἐναντίοις, ἐὰν μὴ ῥυθμίσῃ τις. καὶ διὰ τί τὰ μὲν φθαρτὰ τὰ δ' ἄφθαρτα, οὐθεὶς λέγει· πάντα γὰρ τὰ ὄντα ποιοῦσιν ἐκ τῶν αὐτῶν ἀρχῶν. ἔτι οἱ μὲν ἐκ τοῦ μὴ ὄντος ποιοῦσι τὰ ὄντα· οἱ δ' ἵνα μὴ τοῦτο ἀναγκασθῶσιν, ἓν πάντα ποιοῦσιν. ἔτι διὰ τί ἀεὶ ἔςαι γένεσις καὶ τί αἴτιον γενέσεως, οὐδεὶς λέγει. καὶ τοῖς δύο ἀρχὰς ποιοῦσιν ἄλλην ἀνάγκη ἀρχὴν κυριωτέραν εἶναι, καὶ τοῖς τὰ εἴδη, ὅτι ἄλλη ἀρχὴ κυριωτέρα· διὰ τί γὰρ μετέσχεν ἢ μετέχει; καὶ τοῖς μὲν ἄλλοις ἀνάγκη τῇ σοφίᾳ καὶ τῇ τιμιωτάτῃ ἐπιςήμῃ εἶναί τι ἐναντίον, ἡμῖν δ' οὔ· οὐ γάρ ἐςιν ἐναντίον τῷ πρώτῳ οὐθέν. πάντα γὰρ τὰ ἐναντία ὕλην ἔχει καὶ δυνάμει ταῦτά ἐςιν· ἡ δὲ ἐναντία ἄγνοια εἰς τὸ ἐναντίον· τῷ δὲ πρώτῳ ἐναντίον οὐθέν. εἴτε μὴ ἔσται παρὰ τὰ 258

34. ἡ μία] ἡμῖν Alex, sed γρ Alex ἡ μία. | 37. τὸ ἀγαθὸν μάλιστα as, τὸ μάλιστα ἀγαθὸν c. | 38. ἀλλὰ — ἀρχὴ om T.

1075b 5. καὶ ὡς ὕλῃ scripsi cum Alex et i, ὡς ὕλῃ καὶ ascb, cf. Obs. p. 106. | ἀρχὴ $EA^b$. | τὸ] τῷ T. | 6. κατὰ] καὶ T. | 10. ἡ post πως om Tas. | 12. ῥαθυμήσῃ T Alex i, ῥυθμήσῃ as. | 14. πάντες E. | 18. ἀρχὴν ἀνάγκη T. | 19. ὅτι] fort. ἔτι vel ἔσται. | μετίσχει ET. | 23. ταῦτά ia et fort. Alex, ταὐτά scb. | ἡ] εἰ T. | 24. εἴτε] ἔτι εἰ $F^b$.

Digitized by Google

*αἰσθητὰ ἄλλα, οὐκ ἔσται ἀρχὴ καὶ τάξις καὶ γένεσις καὶ τὰ ὀράνια, ἀλλ' ἀεὶ τῆς ἀρχῆς ἀρχή, ὥσπερ τοῖς θεολόγοις καὶ τοῖς φυσικοῖς πᾶσιν. εἰ δ' ἔςαι τὰ εἴδη ἢ οἱ ἀριθμοί, ὀδενὸς αἴτια· εἰ δὲ μή, οὔτι κινήσεώς γε. ἔτι πῶς ἔσται ἐξ ἀμεγεθῶν μέγεθος καὶ συνεχές; ὁ γὰρ ἀριθμὸς οὐ ποιήσει συνεχές, οὔτε ὡς κινοῦν οὔτε ὡς εἶδος. ἀλλὰ μὴν ὀθέν γ' ἔςαι τῶν ἐναντίων ὅπερ καὶ ποιητικὸν καὶ κινητικόν· ἐνδέχοιτο γὰρ ἂν μὴ εἶναι. ἀλλὰ μὴν ὕςερόν γε τὸ ποιεῖν δυνάμεως· ὀκ ἄρα ἀΐδια τὰ ὄντα. ἀλλ' ἔςιν· ἀναιρετέον ἄρα τούτων τι. τοῦτο δ' εἴρηται πῶς. ἔτι τίνι οἱ ἀριθμοὶ ἓν ἢ ἡ ψυχὴ καὶ τὸ σῶμα καὶ ὅλως τὸ εἶδος καὶ τὸ πρᾶγμα, ὀθὲν λέγει ὀθείς· ὀδ' ἐνδέχεται εἰπεῖν, ἐὰν μὴ ὡς ἡμεῖς εἴπῃ, ὡς τὸ κινοῦν ποιεῖ. οἱ δὲ λέγοντες τὸν ἀριθμὸν πρῶτον τὸν μαθηματικὸν καὶ ὅτως ἀεὶ ἄλλην ἐχομένην ὀσίαν καὶ ἀρχὰς ἑκάςης ἄλλας, ἐπεισοδιώδη τὴν τοῦ παντὸς οὐσίαν ποιῦσιν* 1076*a* *(οὐθὲν γὰρ ἡ ἑτέρα τῇ ἑτέρᾳ συμβάλλεται ὄσα ἢ μὴ ὄσα) καὶ ἀρχὰς πολλάς· τὰ δὲ ὄντα οὐ βούλεται πολιτεύεσθαι κακῶς. «ὀκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος.»*

## *M.*

*Περὶ μὲν οὖν τῆς τῶν αἰσθητῶν ὀσίας εἴρηται τίς ἐςιν, ἐν μὲν τῇ μεθόδῳ τῇ τῶν φυσικῶν περὶ τῆς ὕλης, ὕστερον δὲ περὶ τῆς κατ' ἐνέργειαν. ἐπεὶ δ' ἡ σκέψις ἐστὶ πότερον ἔςι τις παρὰ τὰς αἰσθητὰς ὀσίας ἀκίνητος καὶ ἀΐδιος ἢ οὐκ* 259 *ἔςι, καὶ εἰ ἔςι τίς ἐςι, πρῶτον τὰ παρὰ τῶν ἄλλων λεγόμενα θεωρητέον, ὅπως εἴτε τι μὴ καλῶς λέγουσι, μὴ τοῖς αὐτοῖς ἔνοχοι ὦμεν, καὶ εἴ τι δόγμα κοινὸν ἡμῖν κἀκείνοις, τοῦτ' ἰδίᾳ μὴ καθ' ἡμῶν δυσχεραίνωμεν· ἀγαπητὸν γὰρ εἴ τις τὰ μὲν κάλλιον λέγοι τὰ δὲ μὴ χεῖρον. δύο δ' εἰσὶ δόξαι περὶ τούτων· τά τε γὰρ μαθηματικά φασιν οὐσίας εἶναί τινες, οἷον ἀριθμὸς καὶ γραμμὰς καὶ τὰ συγγενῆ τό-*

25. ἔστιν *a*. | σύνεσις *a*. | 27. ἅπασιν *as*. | ἢ om *T*. | οἱ addidi ex Alex. | 28. οὔτε *A*[b]*asc*. | 32. ἂν om *E*. | 34. πῶς coni., cf. p. 1072*a* 4, οὕτως *T*, ὥς *ascb*, *aliquo pacto* (i. e. πως) *i*. | τίνι] τοίνυν εἰ *as*.

1076*a* 4. post κοίρανος add ἔστω *ET* mg *b*. | 8. οὖν om *T*. | τί ἐστιν *as*. | 10. σκέψις αὕτη ἐστὶ *ias*. | 12. πρῶτον δὲ τὰ *a*. | 14. τε *A*[b]. | 15. δυσχεραίνομεν *F*[b]. | 16. λέγει *F*[b]. | μὴ] οὐ *s*, om *a*. | 17. οὐσίαν *T*. | 18. τινας *as*.

Digitized by Google

τοις, καὶ πάλιν τὰς ἰδέας. ἐπεὶ δὲ οἱ μὲν δύο ταῦτα γένη ποιοῦσι, τάς τε ἰδέας καὶ τοὺς μαθηματικοὺς ἀριθμούς, οἱ δὲ μίαν φύσιν ἀμφοτέρων, ἕτεροι δέ τινες τὰς μαθηματικὰς μόνον οὐσίας εἶναί φασι, σκεπτέον πρῶτον μὲν περὶ τῶν μαθηματικῶν, μηδεμίαν προστιθέντας φύσιν ἄλλην αὐτοῖς, οἷον πότερον ἰδέαι τυγχάνουσιν οὖσαι ἢ οὔ, καὶ πότερον ἀρχαὶ καὶ οὐσίαι τῶν ὄντων ἢ οὔ, ἀλλ' ὡς περὶ μαθηματικῶν μόνον εἴτ' εἰσὶν εἴτε μή εἰσι, καὶ εἰ εἰσὶ πῶς εἰσίν, ἔπειτα μετὰ ταῦτα χωρὶς περὶ τῶν ἰδεῶν αὐτῶν ἁπλῶς καὶ ὅσον νόμου χάριν· τεθρύλληται γὰρ τὰ πολλὰ καὶ ὑπὸ τῶν ἐξωτερικῶν λόγων. ἔτι δὲ πρὸς ἐκείνην δεῖ τὴν σκέψιν ἀπαντᾶν τὸν πλείω λόγον, ὅταν ἐπισκοπῶμεν εἰ αἱ οὐσίαι καὶ αἱ ἀρχαὶ τῶν ὄντων ἀριθμοὶ καὶ ἰδέαι εἰσίν· μετὰ γὰρ τὰς ἰδέας αὕτη λείπεται τρίτη σκέψις. ἀνάγκη δ', εἴπερ ἔστι τὰ μαθηματικά, ἢ ἐν τοῖς αἰσθητοῖς εἶναι αὐτά, καθάπερ λέγουσί τινες, ἢ κεχωρισμένα τῶν αἰσθητῶν (λέγουσι δὲ καὶ οὕτω τινές)· ἢ εἰ μηδετέρως, ἢ οὐκ εἰσὶν ἢ ἄλλον τρόπον εἰσίν. ὥσθ' ἡ ἀμφισβήτησις ἡμῖν ἔσται οὐ περὶ τοῦ εἶναι ἀλλὰ περὶ τοῦ τρόπου.

2 Ὅτι μὲν τοίνυν ἔν γε τοῖς αἰσθητοῖς ἀδύνατον εἶναι καὶ ἅμα πλασματίας ὁ λόγος, εἴρηται μὲν καὶ ἐν τοῖς
1076b διαπορήμασιν ὅτι δύο ἅμα στερεὰ εἶναι ἀδύνατον, ἔτι δὲ 260
καὶ ὅτι τοῦ αὐτοῦ λόγου καὶ τὰς ἄλλας δυνάμεις καὶ φύσεις ἐν τοῖς αἰσθητοῖς εἶναι καὶ μηδεμίαν κεχωρισμένην. ταῦτα μὲν οὖν εἴρηται πρότερον. ἀλλὰ πρὸς τούτοις φανερὸν ὅτι ἀδύνατον διαιρεθῆναι ὁτιοῦν σῶμα. κατ' ἐπίπεδον γὰρ διαιρεθήσεται, καὶ τοῦτο κατὰ γραμμήν, καὶ αὕτη κατὰ στιγμήν, ὥστ' εἰ τὴν στιγμὴν διελεῖν ἀδύνατον, καὶ τὴν γραμμήν, εἰ δὲ ταύτην, καὶ τἆλλα. τί οὖν διαφέρει ἢ ταύτας εἶναι τοιαύτας φύσεις, ἢ αὐτὰς μὲν μή, εἶναι δ' ἐν αὐταῖς τοιαύτας φύσεις; τὸ αὐτὸ γὰρ συμβήσεται· διαιρουμένων γὰρ τῶν αἰσθητῶν διαιρεθήσονται, ἢ οὐδὲ αἱ αἰσθηταί. ἀλλὰ μὴν οὐδὲ κεχωρισμένας γ' εἶναι φύσεις τοιαύτας δυνατόν. εἰ γὰρ ἔσται στερεὰ παρὰ τὰ αἰσθητὰ κεχωρισμένα τούτων ἕτερα καὶ

19. γένη ταῦτα $A^b$as. | 26. καὶ εἰ εἰσὶ om a. | μετὰ om T. | 31. τῶν ὄντων] τούτων T. | 38. τοίνυν] οὖν $F^b$.

1076b 1. ἀπορήμασιν $F^b$. | ἅμα ante δύο $A^b$as, post στερεὰ $G^bI^b$. | 2. αὐτοῦ om $A^b$. | 9. αὐτὰς μὲν om as. | 12. κεχωρισμένως γ' εἶναι τοιαύτας φύσεις T. | 13. ἔσται] εἰσὶ Alex.

Digitized by Google

πρότερα τῶν αἰσθητῶν, δῆλον ὅτι καὶ παρὰ τὰ ἐπίπεδα ἕτερα ἀναγκαῖον εἶναι ἐπίπεδα κεχωρισμένα καὶ στιγμὰς καὶ γραμμάς· τοῦ γὰρ αὐτοῦ λόγου. εἰ δὲ ταῦτα, πάλιν παρὰ τὰ τοῦ στερεοῦ τοῦ μαθηματικοῦ ἐπίπεδα καὶ γραμμὰς καὶ στιγμὰς ἕτερα κεχωρισμένα. πρότερα γὰρ τῶν συγκειμένων ἐστὶ τὰ ἀσύνθετα· καὶ εἴπερ τῶν αἰσθητῶν πρότερα σώματα μὴ αἰσθητά, τῷ αὐτῷ λόγῳ καὶ τῶν ἐπιπέδων τῶν ἐν τοῖς ἀκινήτοις στερεοῖς τὰ αὐτὰ καθ' αὐτά. ὥστε ἕτερα ταῦτα ἐπίπεδα καὶ γραμμαὶ τῶν ἅμα τοῖς στερεοῖς τοῖς κεχωρισμένοις· τὰ μὲν γὰρ ἅμα τοῖς μαθηματικοῖς στερεοῖς, τὰ δὲ πρότερα τῶν μαθηματικῶν στερεῶν. πάλιν τοίνυν τούτων τῶν ἐπιπέδων ἔσονται γραμμαί, ὧν πρότερον δεήσει ἑτέρας γραμμὰς καὶ στιγμὰς εἶναι διὰ τὸν αὐτὸν λόγον· καὶ τῶν ἐν ταῖς προτέραις γραμμαῖς ἑτέρας προ-
261 τέρας στιγμάς, ὧν οὐκέτι πρότεραι ἕτεραι. ἄτοπός τε δὴ γίγνεται ἡ σώρευσις· συμβαίνει γὰρ στερεὰ μὲν μοναχὰ παρὰ τὰ αἰσθητά, ἐπίπεδα δὲ τριττὰ παρὰ τὰ αἰσθητά, τά τε παρὰ τὰ αἰσθητὰ καὶ τὰ ἐν τοῖς μαθηματικοῖς στερεοῖς καὶ τὰ παρὰ τὰ ἐν τούτοις, γραμμαὶ δὲ τετραξαί, στιγμαὶ δὲ πενταξαί. ὥστε περὶ ποῖα αἱ ἐπιστῆμαι ἔσονται αἱ μαθηματικαὶ τούτων; οὐ γὰρ δὴ περὶ τὰ ἐν τῷ στερεῷ τῷ ἀκινήτῳ ἐπίπεδα καὶ γραμμὰς καὶ στιγμάς· ἀεὶ γὰρ περὶ τὰ πρότερα ἡ ἐπιστήμη. ὁ δ' αὐτὸς λόγος καὶ περὶ τῶν ἀριθμῶν· παρ' ἑκάστας γὰρ τὰς στιγμὰς ἕτεραι ἔσονται μονάδες, καὶ παρ' ἕκαστα τὰ ὄντα αἰσθητά, εἶτα τὰ νοητά, ὥστ' ἔσται γένη ἄπειρα τῶν μαθηματικῶν ἀριθμῶν. ἔτι ἅπερ καὶ ἐν τοῖς ἀπορήμασιν ἐπήλθομεν, πῶς ἐνδέχεται λύειν; περὶ ἃ 1077a
γὰρ ἡ ἀστρολογία ἐστίν, ὁμοίως ἔσται παρὰ τὰ αἰσθητά, καὶ περὶ ἃ ἡ γεωμετρία· εἶναι δ' οὐρανὸν καὶ τὰ μόρια αὐτοῦ πῶς δυνατόν, ἢ ἄλλο ὁτιοῦν ἔχον κίνησιν; ὁμοίως δὲ καὶ τὰ ὀπτικὰ καὶ τὰ ἁρμονικά· ἔσται γὰρ φωνή τε καὶ ὄψις παρὰ τὰ αἰσθητὰ καὶ τὰ καθ' ἕκαστα. ὥστε δῆλον ὅτι καὶ

17. τὰ om *Tas*. | 20. μὴ] τὰ μὴ *E*. | 21. τῶν] τῷ *a*. | καθ' αὑτά] κατὰ τὰ αὐτά *as*. | 22. ἅμα] ἅμα ἐν *as*. | 26. τῶν coni. ex Alex et *i*, τούτων *ascb*, cf. Obs. p. 58. | 28. στιγμάς] γραμμάς $A^b$. | 30. ἐπίπεδα — αἰσθητά om *E*. | 31. καὶ om *i*. | τὰ post καὶ om $TA^b$. | 32. τὰ post καὶ addidi ex Alex et *i*, om *ascb*, cf. Obs. p. 58. | 37. παρ'] καὶ παρ' *Tas*. | τὰς] ἐν $F^b$, om *M*. | 39. ἄπειρα om $ETA^bG^bI^bc$. | καὶ om $F^bas$.

1077*a* 1. διαπορήμασιν $F^b$. | 2. ἔσται scripsi c. Alex, ἐστὶ *iascb*, cf. Obs. p. 64. | περὶ $G^bI^bas$. | 6. περὶ *as*.

Digitized by Google

*αἱ ἄλλαι αἰσθήσεις καὶ τὰ ἄλλα αἰσθητά· τί γὰρ μᾶλλον τάδε ἢ τάδε; εἰ δὲ ταῦτα, καὶ ζῷα ἔσονται, εἴπερ καὶ αἰσθήσεις. ἔτι γράφεται ἔνια καθόλου ὑπὸ τῶν μαθηματικῶν παρὰ ταύτας τὰς οὐσίας. ἔσται οὖν καὶ αὕτη τις ἄλλη οὐσία μεταξὺ κεχωρισμένη τῶν τ' ἰδεῶν καὶ τῶν μεταξύ, ἣ οὔτε ἀριθμός ἐστιν οὔτε στιγμὴ οὔτε μέγεθος οὔτε χρόνος. εἰ δὲ τοῦτο ἀδύνατον, δῆλον ὅτι κἀκεῖνα ἀδύνατον εἶναι κεχωρισμένα τῶν αἰσθητῶν. ὅλως δὲ τοὐναντίον συμβαίνει καὶ τοῦ* 262
*ἀληθοῦς καὶ τοῦ εἰωθότος ὑπολαμβάνεσθαι, εἴ τις θήσει οὕτως εἶναι τὰ μαθηματικὰ ὡς κεχωρισμένας τινὰς φύσεις. ἀνάγκη γὰρ διὰ τὸ μὲν οὕτως εἶναι αὐτὰς προτέρας εἶναι τῶν αἰσθητῶν μεγεθῶν, κατὰ τὸ ἀληθὲς δὲ ὑστέρας· τὸ γὰρ ἀτελὲς μέγεθος γενέσει μὲν πρότερόν ἐστι, τῇ οὐσίᾳ δ' ὕστερον, οἷον ἄψυχον ἐμψύχου. ἔτι τίνι καί ποτ' ἔσται ἓν τὰ μαθηματικὰ μεγέθη; τὰ μὲν γὰρ ἐνταῦθα ψυχῇ ἢ μέρει ψυχῆς ἢ ἄλλῳ τινὶ εὐλόγῳ· εἰ δὲ μή, πολλὰ καὶ διαλύεται. ἐκείνοις δὲ διαιρετοῖς καὶ ποσοῖς οὖσι τί αἴτιον τοῦ ἓν εἶναι καὶ συμμένειν; ἔτι αἱ γενέσεις δηλοῦσιν. πρῶτον μὲν γὰρ ἐπὶ μῆκος γίγνεται, εἶτα ἐπὶ πλάτος, τελευταῖον δ' εἰς βάθος, καὶ τέλος ἔσχεν. εἰ οὖν τὸ τῇ γενέσει ὕστερον τῇ οὐσίᾳ πρότερον, τὸ σῶμα πρότερον ἂν εἴη ἐπιπέδου καὶ μήκους· καὶ ταύτῃ καὶ τέλειον καὶ ὅλον μᾶλλον, ὅτι ἔμψυχον γίγνεται· γραμμὴ δὲ ἔμψυχος ἢ ἐπίπεδον πῶς ἂν εἴη; ὑπὲρ γὰρ τὰς αἰσθήσεις τὰς ἡμετέρας ἂν εἴη τὸ ἀξίωμα. ἔτι τὸ μὲν σῶμα οὐσία τις· ἤδη γὰρ ἔχει πως τὸ τέλειον· αἱ δὲ γραμμαὶ πῶς οὐσίαι; οὔτε γὰρ ὡς εἶδος καὶ μορφή τις, οἷον εἰ ἄρα ἡ ψυχὴ τοιοῦτον, οὔτε ὡς ἡ ὕλη, οἷον τὸ σῶμα· οὐθὲν γὰρ ἐκ γραμμῶν οὐδ' ἐπιπέδων οὐδὲ στιγμῶν φαίνεται συνίστασθαι δυνάμενον. εἰ δ' ἦν οὐσία τις ὑλική, τοῦτ' ἂν ἐφαίνετο δυνάμενα πάσχειν. τῷ μὲν*

10. *παρὰ πάντας τὰς αἰτίας* $G^b$. | *ἄλλη τις αὕτη* $TG^bI^b$. | 11. *τ'* om Alex. | *εἰδῶν* $G^b$. | *ἢ*] *ἡ* $A^b$, *ἥτις* *as*. | 12. *στιγμὴ* $G^bI^b$, *στιγμαὶ* *iascb*. | 13. *δῆλον* om $G^b$. | 13. 14. *κεχωρισμένα εἶναι* $G^bI^b$. | 14. *δὴ* *T*. | 14. 15. *καὶ τοῦ ἀληθοῦς* om *as*. | 15. ante *εἴ* punctum ponit et 17. *γὰρ* om *i*. | 17. *εἶναι οὕτως* *T*. | 18. *δὲ τὸ ἀληθὲς* $G^bI^b$. | 19. *μέγεθος τῇ γενέσει* $G^bI^b$. | *τῇ δ' οὐσίᾳ* $G^bI^b$. | 20. *ἔτι ἐν τίνι* *E*. | *καί ποτ'* coni., *καὶ πότ'* *iascb*. | *ἓν* om *T*. | 21. *τὰ μ. γ. ἐνταῦθα*] *quae quidem interdum — insunt i*. | 22. *καὶ* om *as*. | 23. *διαιρετικοῖς* $G^b$. | 24. *εἶναι ἓν* *as*. | *συμβαίνειν* *T*. | 26. *εἰς*] *εἰ* $G^b$. | 28. *ὅτι*] *καὶ ὅτι* $G^bI^b$. | 30. *ὑπὸ* $G^bI^b$. | *εἴη* om *T*. | 31. *τις* Alex *i*, *τίς* *ascb*. | *ἔχει* om $A^b$. | 33. *οὔτε ὡς*] *ὥστε* *T*. | 35. *οὐδὲ ἐκ στιγμῶν* $G^bI^b$. | *ἦν*] *ἐν* $G^b$. | 36. *δυνάμενον* $G^bI^b$, om Alex.

Digitized by Google

οὐν λόγῳ ἔστω πρότερα. ἀλλ' οὐ πάντα ὅσα τῷ λόγῳ πρότερα, καὶ τῇ οὐσίᾳ πρότερα. τῇ μὲν γὰρ οὐσίᾳ πρότερα ὅσα χωριζόμενα τῷ εἶναι ὑπερβάλλει, τῷ λόγῳ δὲ ὅσων οἱ λόγοι ἐκ τῶν λόγων· ταῦτα δὲ οὐχ ἅμα ὑπάρχει. εἰ γὰρ μὴ ἔστι τὰ πάθη παρὰ τὰς οὐσίας, οἷον κινούμενόν τι ἢ λευ- 1077b
263 κόν, τοῦ λευκοῦ ἀνθρώπου τὸ λευκὸν πρότερον κατὰ τὸν λόγον, ἀλλ' οὐ κατὰ τὴν οὐσίαν· οὐ γὰρ ἐνδέχεται εἶναι κεχωρισμένον, ἀλλ' ἀεὶ ἅμα τῷ συνόλῳ ἐστίν· σύνολον δὲ λέγω τὸν ἄνθρωπον τὸν λευκόν. ὥστε φανερὸν ὅτι οὔτε τὸ ἐξ ἀφαιρέσεως πρότερον οὔτε τὸ ἐκ προσθέσεως ὕστερον· ἐκ προσθέσεως γὰρ τῷ λευκῷ ὁ λευκὸς ἄνθρωπος λέγεται.

ὅτι μὲν οὖν οὔτε οὐσίαι μᾶλλον τῶν σωμάτων εἰσίν, οὔτε πρότερα τῷ εἶναι τῶν αἰσθητῶν, ἀλλὰ τῷ λόγῳ μόνον, οὔτε κεχωρισμένα που εἶναι δυνατόν, εἴρηται ἱκανῶς. ἐπεὶ δ' οὐδ' ἐν τοῖς αἰσθητοῖς ἐνεδέχετο αὐτὰ εἶναι, φανερὸν ὅτι ἢ ὅλως οὐκ ἔστιν ἢ τρόπον τινὰ ἔστι καὶ διὰ τοῦτο οὐχ ἁπλῶς ἐστίν·
3 πολλαχῶς γὰρ τὸ εἶναι λέγομεν. ὥσπερ γὰρ καὶ τὰ καθόλου ἐν τοῖς μαθήμασιν οὐ περὶ κεχωρισμένων ἐστὶ παρὰ τὰ μεγέθη καὶ τοὺς ἀριθμούς, ἀλλὰ περὶ τούτων μέν, οὐχ ᾗ δὲ τοιαῦτα οἷα ἔχειν μέγεθος ἢ εἶναι διαιρετά, δῆλον ὅτι ἐνδέχεται καὶ περὶ τῶν αἰσθητῶν μεγεθῶν εἶναι καὶ λόγους καὶ ἀποδείξεις, μὴ ᾗ δὲ αἰσθητά, ἀλλ' ᾗ τοιαδί. ὥσπερ γὰρ καὶ ᾗ κινούμενα μόνον πολλοὶ λόγοι εἰσί, χωρὶς τοῦ τί ἕκαστόν ἐστι τῶν τοιούτων καὶ τῶν συμβεβηκότων αὐτοῖς, καὶ οὐκ ἀνάγκη διὰ ταῦτα ἢ κεχωρισμένον τι εἶναι κινούμενον τῶν αἰσθητῶν ἢ ἐν τούτοις τινὰ φύσιν εἶναι ἀφωρισμένην, οὕτω καὶ ἐπὶ τῶν κινουμένων ἔσονται λόγοι καὶ ἐπιστῆμαι, οὐχ ᾗ κινούμενα δὲ ἀλλ' ᾗ σώματα μόνον, καὶ πάλιν ᾗ ἐπίπεδα μόνον καὶ ᾗ μήκη μόνον, καὶ ᾗ διαιρετὰ καὶ ᾗ ἀδιαίρετα ἔχοντα δὲ θέσιν, καὶ ᾗ ἀδιαίρετα μόνον. ὥστ' ἐπεὶ ἁπλῶς λέγειν ἀληθὲς μὴ μόνον τὰ χωριστὰ εἶναι

1077b 1. ἔσται **as.** | 1. 2. ἀλλ' — πρότερα om *T.* | 2. τῇ οὐσίᾳ πρότερον $G^b$. | 4. δὲ] γὰρ *T.* | 5. τι] τε $G^b$. | ἢ om *T.* | 7. ἐνδέχεται] ἐν *T.* | 9. τὸν λευκόν] καὶ τὸ λευκόν Alex. | τὸ om $A^b$. | 10. προθέσεως $A^bF^b$ $G^b$. | 11. τοῦ λευκοῦ Alex, fort. recte. | 13. μόνα *T*, μόνῳ $I^bi$. | 14. 15. οὐδὲν τοῖς $A^b$. | 15. ἐνδέχεται *Tias.* | 17. καὶ om **as.** | τὰ] τὸ Alex. | 18. περὶ] παρὰ $F^b$. | παρὰ $I^b$ Alex: ceteri περὶ. | 20. ἔχει *a.* | 22. τοιάδε $G^b$. | 27. οὕτω τοίνυν καὶ **as.** | 28. οὐχὶ κινούμενα $G^b$. | 30. καὶ ᾗ ἀδιαίρετα om $G^b$. | δὲ om $TA^bias$. | θέσιν] φύσιν **as.**

Digitized by Google

ἀλλὰ καὶ τὰ μὴ χωριστά, οἷον κινούμενα εἶναι, καὶ τὰ 264
μαθηματικὰ ὅτι ἔστιν ἁπλῶς ἀληθὲς εἰπεῖν, καὶ τοιαῦτά
γε οἷα λέγουσιν. καὶ ὥσπερ καὶ τὰς ἄλλας ἐπιστήμας ἁπλῶς
ἀληθὲς εἰπεῖν τούτου εἶναι, οὐχὶ τοῦ συμβεβηκότος, οἷον ὅτι
λευκοῦ εἰ τὸ ὑγιεινὸν λευκόν, ἡ δ' ἔστιν ὑγιεινοῦ, ἀλλ' ἐκείνου
1078*a* ᾗ ἐστὶν ἑκάστου, εἰ ᾗ ὑγιεινὸν ὑγιεινοῦ, εἰ δ' ᾗ ἄνθρωπος ἀνθρώπου,
οὕτω καὶ τὴν γεωμετρίαν· οὐκ εἰ συμβέβηκεν αἰσθητὰ εἶναι
ὧν ἐστί, μή ἐστι δ' ᾗ αἰσθητά, οὐ τῶν αἰσθητῶν ἔσονται αἱ
μαθηματικαὶ ἐπιστῆμαι, οὐ μέντοι οὐδὲ παρὰ ταῦτα ἄλλων
κεχωρισμένων. πολλὰ δὲ συμβέβηκε καθ' αὑτὰ τοῖς πράγ-
μασιν ᾗ ἕκαστον ὑπάρχει τῶν τοιούτων, ἐπεὶ καὶ ᾗ θῆλυ
τὸ ζῷον καὶ ᾗ ἄρρεν, ἴδια πάθη ἐστίν, καίτοι οὐκ ἔστι τι
θῆλυ οὐδ' ἄρρεν κεχωρισμένον τῶν ζῴων· ὥστε καὶ ᾗ μήκη
μόνον καὶ ᾗ ἐπίπεδα. καὶ ὅσῳ δὴ ἂν περὶ προτέρων τῷ
λόγῳ καὶ ἁπλουστέρων, τοσούτῳ μᾶλλον ἔχει τἀκριβές· τοῦτο
δὲ τὸ ἁπλοῦν ἐστίν. ὥστε ἄνευ τε μεγέθους μᾶλλον ἢ μετὰ
μεγέθους, καὶ μάλιστα ἄνευ κινήσεως. ἐὰν δὲ κίνησιν, μά-
λιστα τὴν πρώτην· ἁπλουστάτη γάρ, καὶ ταύτης ἡ ὁμαλή.
ὁ δ' αὐτὸς λόγος καὶ περὶ ἁρμονικῆς καὶ ὀπτικῆς· οὐδετέρα
γὰρ ᾗ ὄψις ἢ ᾗ φωνὴ θεωρεῖ, ἀλλ' ᾗ γραμμαὶ καὶ ἀριθ-
μοί· οἰκεῖα μέντοι ταῦτα πάθη ἐκείνων. καὶ ἡ μηχανικὴ
δὲ ὡσαύτως. ὥστ' εἴ τις θέμενος κεχωρισμένα τῶν συμβε-
βηκότων σκοπεῖ τι περὶ τούτων ᾗ τοιαῦτα, οὐθὲν διὰ τοῦτο
ψεῦδος ψεύσεται, ὥσπερ οὐδ' ὅταν ἐν τῇ γῇ γράφῃ καὶ
ποδιαίαν φῇ τὴν μὴ ποδιαίαν· οὐ γὰρ ἐν ταῖς προτάσεσι
τὸ ψεῦδος. ἄριστα δ' ἂν οὕτω θεωρηθείη ἕκαστον, εἴ τις τὸ
μὴ κεχωρισμένον θείη χωρίσας, ὅπερ ὁ ἀριθμητικὸς ποιεῖ 265
καὶ ὁ γεωμέτρης. ἓν μὲν γὰρ καὶ ἀδιαίρετον ὁ ἄνθρωπος

32. οἷον τὰ κινούμενα $G^bI^b$, fort. recte. | 35. τοῦτο *T*. | 36. ὑγιεινὸν τὸ $ETA^bG^bI^b$*c*. | ἡ coni., ᾗ *iascb*, cf. Obs. p. 45. | ὑγιεινοῦ Alex, ὑγιει-νόν *iascb*. | ἀλλ' — 1078*a* 1. ὑγιεινὸν om *T*.

1078*a* 1. ᾗ ἐστὶν ἑκάστου $EA^bG^bI^b$*c*, οὗ ἐστὶν ἑκάστη Alex *iasb*. | εἰ om $EA^bG^bI^b$*c*. | ᾗ ante ὑγιεινὸν de coni. addidi. | *si vero hominis, prout homo est i*. | 3. ᾗ om $F^b$. | αἰσθητά] ἔστι τὰ $G^b$. | 4. περὶ *as*. | 6. ἢ ἕκαστον $G^b$. | 7. καὶ ᾗ] ἢ $G^b$. | ἴδια — 8. ἄρρεν om *c*. | 8. κεχωρισμένων $TA^b$*ias*. | 8. 9. μήκη μόνον] μὴ κείμενον *T*, μὴ κινούμενον Alex. | 9. 10. τῶν λόγων $G^b$. | 11. τε] τοῦ $A^b$*as*. | μᾶλλον om $G^bI^b$. | 13. ὁμαλής $EG^b$ Alex. | 15. ἡ ὄψις $G^b$*a*. | ἢ ἡ φωνὴ θεωρεῖ ἀλλ' αἱ γραμμαὶ $G^b$. | 17. δὲ om $G^b$ $I^b$. | 20. ποδιαίαν φῇ τὴν scripsi cum Alex et *i*, τὴν ποδιαίαν φῇ *ascb*, cf. Obs. p. 107. | 21. θεωρήσει ἢ ἕκαστον *T*. | 22. ὥσπερ *as*.

Digitized by Google

ᾗ ἄνθρωπος· ὁ δ' ἔθετο ἓν ἀδιαίρετον, εἶτ' ἐθεώρησεν εἴ τι τῷ ἀνθρώπῳ συμβέβηκεν ᾗ ἀδιαίρετος. ὁ δὲ γεωμέτρης οὔθ' ᾗ ἄνθρωπος οὔθ' ᾗ ἀδιαίρετος, ἀλλ' ᾗ στερεόν. ἃ γὰρ κἂν εἰ μή που ἦν ἀδιαίρετος ὑπῆρχεν αὐτῷ, δῆλον ὅτι καὶ ἄνευ τούτων ἐνδέχεται αὐτῷ ὑπάρχειν τὸ δυνατόν. ὥστε διὰ τοῦτο ὀρθῶς οἱ γεωμέτραι λέγουσι, καὶ περὶ ὄντων διαλέγονται, καὶ ὄντα ἐστίν· διττὸν γὰρ τὸ ὄν, τὸ μὲν ἐντελεχείᾳ τὸ δ' ὑλικῶς. ἐπεὶ δὲ τὸ ἀγαθὸν καὶ τὸ καλὸν ἕτερον (τὸ μὲν γὰρ ἀεὶ ἐν πράξει, τὸ δὲ καλὸν καὶ ἐν τοῖς ἀκινήτοις), οἱ φάσκοντες οὐθὲν λέγειν τὰς μαθηματικὰς ἐπιστήμας περὶ καλοῦ ἢ ἀγαθοῦ ψεύδονται. λέγουσι γὰρ καὶ δεικνύουσι μάλιστα· οὐ γὰρ εἰ μὴ ὀνομάζουσι, τὰ δ' ἔργα καὶ τοὺς λόγους δεικνύουσιν, οὐ λέγουσι περὶ αὐτῶν. τοῦ δὲ καλοῦ μέγιστα εἴδη τάξις καὶ συμμετρία καὶ τὸ ὡρισμένον, ἃ μάλιστα δεικνύουσιν αἱ μαθηματικαὶ ἐπιστῆμαι. καὶ ἐπεί γε πολλῶν αἴτια φαίνεται ταῦτα (λέγω δ' οἷον ἡ τάξις καὶ τὸ ὡρισμένον), δῆλον ὅτι λέγοιεν ἂν καὶ τὴν τοιαύτην αἰτίαν τὴν ὡς τὸ καλὸν αἴτιον τρόπον τινά. μᾶλλον δὲ γνωρίμως ἐν ἄλλοις περὶ αὐτῶν ἐροῦμεν.

4 Περὶ μὲν οὖν τῶν μαθηματικῶν, ὅτι τε ὄντα ἐστὶ καὶ πῶς ὄντα, καὶ πῶς πρότερα καὶ πῶς οὐ πρότερα, τοσαῦτα εἰρήσθω. περὶ δὲ τῶν ἰδεῶν πρῶτον αὐτὴν τὴν κατὰ τὴν ἰδέαν δόξαν ἐπισκεπτέον, μηθὲν συνάπτοντας πρὸς τὴν τῶν ἀριθμῶν φύσιν, ἀλλ' ὡς ὑπέλαβον ἐξ ἀρχῆς οἱ πρῶτοι τὰς ἰδέας φήσαντες εἶναι. συνέβη δ' ἡ περὶ τῶν εἰδῶν
266 δόξα τοῖς εἰποῦσι διὰ τὸ πεισθῆναι περὶ τῆς ἀληθείας τοῖς Ἡρακλειτείοις λόγοις ὡς πάντων τῶν αἰσθητῶν ἀεὶ ῥεόντων, ὥστ' εἴπερ ἐπιστήμη τινὸς ἔσται καὶ φρόνησις, ἑτέρας δεῖν τινὰς φύσεις εἶναι παρὰ τὰς αἰσθητὰς μενούσας· οὐ γὰρ εἶναι τῶν ῥεόντων ἐπιστήμην. Σωκράτους δὲ περὶ τὰς ἠθικὰς ἀρετὰς πραγματευομένου καὶ περὶ τούτων ὁρίζεσθαι καθόλου ζητοῦντος πρώτου — τῶν μὲν γὰρ φυσικῶν ἐπὶ μικρὸν

24. ὃ διέθετο ἓν ἀδ. εἶτι θεωρήσειν T. | ἔθετο] θεὸς a, θεὶς s. | 26. οὔθ' ᾗ ἄνθρωπος om T. | στερεά ias. | 27. ἦν] ᾗ T. | 29. λέγουσιν οἱ γεωμέτραι Tas. | 31. τὸ θ' $G^b$. | 32. ἐν πράξει] ἐν ὑπάρξει T. | 35. εἰ γὰρ καὶ μὴ Alex i.

1078b 2. ἐπεὶ] ἐπὶ a. | 5. μᾶλλον — 6. ἐροῦμεν om $G^bI^b$. | 8. καὶ πῶς οὐ πρότερα om E et fort. Alex. | πρότερον utrobique as. | 10. συνάπτοντα T, συνάπτοντες $G^bI^b$, συνάπτουσαν ias. | 12. συμβέβηκε T. | ἰδεῶν $TG^bI^b$. | 15. καὶ om $G^b$. | 18. πρὸ T.

*Δημόκριτος ἥψατο μόνον καὶ ὡρίσατό πως τὸ θερμὸν καὶ τὸ ψυχρόν· οἱ δὲ Πυθαγόρειοι πρότερον περί τινων ὀλίγων, ὧν τὺς λόγυς εἰς τὺς ἀριθμὺς ἀνῆπτον, οἷον τί ἐςι καιρὸς ἢ τὸ δίκαιον ἢ γάμος· ἐκεῖνος δ' εὐλόγως ἐζήτει τὸ τί ἐςιν. συλλογίζεσθαι γὰρ ἐζήτει, ἀρχὴ δὲ τῶν συλλογισμῶν τὸ τί ἐςιν. διαλεκτικὴ γὰρ ἰσχὺς ὔπω τότ' ἦν, ὥςε δύνασθαι καὶ χωρὶς τοῦ τί ἐςι τἀναντία ἐπισκοπεῖν, καὶ τῶν ἐναντίων εἰ ἡ αὐτὴ ἐπιςήμη. δύο γάρ ἐςιν ἅ τις ἂν ἀποδοίη Σωκράτει δικαίως, τούς τ' ἐπακτικὺς λόγυς καὶ τὸ ὁρίζεσθαι καθόλυ· ταῦτα γάρ ἐςιν ἄμφω περὶ ἀρχὴν ἐπιςήμης. ἀλλ' ὁ μὲν Σωκράτης τὰ καθόλυ οὐ χωριςὰ ἐποίει οὐδὲ τοὺς ὁρισμούς· οἱ δ' ἐχώρισαν, καὶ τὰ τοιαῦτα τῶν ὄντων ἰδέας προσηγόρευσαν. ὥστε συνέβαινεν αὐτοῖς σχεδὸν τῷ αὐτῷ λόγῳ πάντων ἰδέας εἶναι τῶν καθόλυ λεγομένων, καὶ παραπλήσιον ὥσπερ ἂν εἴ τις ἀριθμῆσαι βουλόμενος ἐλαττόνων μὲν ὄντων οἴοιτο μὴ δυνήσεσθαι, πλείω δὲ ποιήσας ἀριθμοίη· πλείω γάρ ἐστι τῶν καθ' ἕκαστα*
1079*a* *αἰσθητῶν ὡς εἰπεῖν τὰ εἴδη, περὶ ὧν ζητοῦντες τὰς αἰτίας ἐκ τούτων ἐκεῖ προῆλθον· καθ' ἕκαστόν τε γὰρ ὁμώνυμόν ἐςι, καὶ παρὰ τὰς ὐσίας τῶν [τε] ἄλλων ἕν ἐςιν ἐπὶ πολλῶν, καὶ ἐπὶ τοῖσδε καὶ ἐπὶ τοῖς ἀϊδίοις. ἔτι καθ' ὓς τρό-* 267
*πυς δείκνυται ὅτι ἔςι τὰ εἴδη, κατ' ὐθένα φαίνεται τύτων· ἐξ ἐνίων μὲν γὰρ ὐκ ἀνάγκη γίγνεσθαι συλλογισμόν, ἐξ ἐνίων δὲ καὶ ὐχ ὧν οἴονται τύτων εἴδη γίγνεται. κατά τε γὰρ τοὺς λόγους τὺς ἐκ τῶν ἐπιςημῶν ἔςαι εἴδη πάντων ὅσων ἐπιςῆμαί εἰσιν, καὶ κατὰ τὸ ἓν ἐπὶ πολλῶν καὶ τῶν ἀποφάσεων, κατὰ δὲ τὸ νοεῖν τι φθαρέντος τῶν φθαρτῶν· φάντασμα γάρ τι τύτων ἐςίν. ἔτι δὲ οἱ ἀκριβέςατοι τῶν λόγων οἱ μὲν τῶν πρός τι ποιοῦσιν ἰδέας, ὧν οὔ φασιν εἶναι καθ' αὑτὸ γένος, οἱ δὲ τὸν τρίτον ἄνθρωπον λέγυσιν.*

22. *λόγους εἰς τοὺς* om *T*. | *ἀνῆγον* Alex et *γρ E*. | 23. *ἐκεῖνος δ' Ea* et fort. Alex, *ἐκείνως T*, *ἐκεῖνος scb*, *ille sane i*. | *ἐζήτουν* $G^b$. | 27. *εἰ ἡ*] *ἢ ἡ* $A^b$, *εἴη T*. | *αὕτη T*. | *ἀποδώῃ* $ETA^b asc$. | 28. 29. *ὁρίζεσθαι τὰ καθόλου* Alex. | 31. *τὰ* om $G^b$. | 35. *δυνήσεσθαι* $A^b G^b I^b cA$, *δύνασθαι asb*. | 36. *ἕκαστον E*.

1079*a* 1. *ὡς εἰπεῖν* om $G^b I^b$. | 2. *καθ'*] *παρ'* $G^b I^b$ et Syr. | *τε* om *A*. | 3. post *οὐσίας* comma *cb*. | *ἄλλων ἔνεστιν ETas*. | *ἕν ἐστιν*] *ὧν ἐστὶν ἓν A*. | 5. *δείκνυμεν A*. | *τὰ* om *c*. | 6. *συλλογισμούς* $G^b$. | 7. *οἰόμεθα A*. | *ἤδη* $G^b I^b$. | 8. *εἴδη ἔσται A*. | 11. *τοῦτ' E*. | *ἀκριβέστεροι A*. | 12. *φαμεν iA*. | 13. *αὐτὰ* $G^b$.

Digitized by Google

ὅλως τε ἀναιροῦσιν οἱ περὶ τῶν εἰδῶν λόγοι ἃ μᾶλλον βού-
λονται εἶναι οἱ λέγοντες εἴδη τοῦ τὰς ἰδέας εἶναι· συμβαί-
νει γὰρ μὴ εἶναι πρῶτον τὴν δυάδα ἀλλὰ τὸν ἀριθμόν,
καὶ τούτου τὸ πρός τι καὶ τοῦτο τοῦ καθ' αὑτό, καὶ πάνθ'
ὅσα τινὲς ἀκολουθήσαντες ταῖς περὶ τῶν εἰδῶν δόξαις ἠναν-
τιώθησαν ταῖς ἀρχαῖς. ἔτι κατὰ μὲν τὴν ὑπόληψιν καθ'
ἥν φασιν εἶναι τὰς ἰδέας οὐ μόνον τῶν οὐσιῶν ἔσονται εἴδη
ἀλλὰ καὶ ἄλλων πολλῶν (τὸ γὰρ νόημα ἓν οὐ μόνον
περὶ τὰς οὐσίας ἀλλὰ καὶ κατὰ μὴ οὐσιῶν ἐστί, καὶ αἱ
ἐπιστῆμαι οὐ μόνον τῆς οὐσίας εἰσί· συμβαίνει δὲ καὶ
ἄλλα μυρία τοιαῦτα)· κατὰ δὲ τὸ ἀναγκαῖον καὶ τὰς
δόξας τὰς περὶ αὐτῶν, εἰ ἔστι μεθεκτὰ τὰ εἴδη, τῶν οὐσιῶν
ἀναγκαῖον ἰδέας εἶναι μόνον· οὐ γὰρ κατὰ συμβεβηκὸς
μετέχονται, ἀλλὰ δεῖ ταύτῃ ἑκάστου μετέχειν ᾗ μὴ καθ'
ὑποκειμένου λέγεται. λέγω δ' οἷον εἴ τι αὐτοῦ διπλασίου
μετέχει, τοῦτο καὶ ἀϊδίου μετέχει, ἀλλὰ κατὰ συμβεβη-
κός· συμβέβηκε γὰρ τῷ διπλασίῳ ἀϊδίῳ εἶναι. ὥστε ἔσται
268 οὐσία τὰ εἴδη. ταὐτὰ δ' ἐνταῦθα οὐσίαν σημαίνει κἀκεῖ· ἢ
τί ἔσται τὸ εἶναι φάναι τι παρὰ ταῦτα τὸ ἓν ἐπὶ πολ-
λῶν; καὶ εἰ μὲν ταὐτὸ εἶδος τῶν ἰδεῶν καὶ τῶν μετεχόν-
των, ἔσται τι κοινόν· τί γὰρ μᾶλλον ἐπὶ τῶν φθαρτῶν
δυάδων, καὶ τῶν δυάδων τῶν πολλῶν μὲν ἀϊδίων δέ, τὸ
δυὰς ἓν καὶ ταὐτόν, ἢ ἐπί τ' αὐτῆς καὶ τῆς τινός; εἰ δὲ μὴ
τὸ αὐτὸ εἶδος, ὁμώνυμα ἂν εἴη, καὶ ὅμοιον ὥσπερ ἂν εἴ 1079b
τις καλοίη ἄνθρωπον τόν τε Καλλίαν καὶ τὸ ξύλον, μηδε-
μίαν κοινωνίαν ἐπιβλέψας αὐτῶν. εἰ δὲ τὰ μὲν ἄλλα

14. 15. εἶναι βούλονται *A*. | 16. τὴν δυάδα πρώτην *A*. | 17. τούτου et καὶ τοῦτο om *A*, *et eo quod est ad aliquid etiam id quod per se est i*. | τούτου τὸ $G^b$, τὸ $A^b$*asc*. | 18. ἰδεῶν *TA*. | 20. εἶναί φασιν $G^bI^b$, εἶναί φαμεν *A*. | οὐ μόνον τῶν οὐσιῶν et 21. ἀλλὰ καὶ om *ET*. | 20. ἔσται *A*. | 21. πολλῶν καὶ ἑτέρων *A*. | ἄλλων] ἄλλων τε *T*, ἑτέρων $A^b$. | 22. κατὰ] τὰ $G^b$. | μὴ οὐσιῶν] τῶν ἄλλων *A*. | ἐστί $TA^b$*iasA*, ἔσται *cb*, ἔσται ὅσα μὴ οὕτως ἐστί $I^b$. | αἱ om $A^bA$. | 23. εἰσί scripsi ex *A*, ἔσονται *iascb*. | 23. 24. καὶ ἄλλα δὲ μυρία συμβαίνει *A*. | 24. μόρια *T*. | 27. δὴ $G^b$. | ταύτην $A^b$. | 28. λέγονται $ETA^bG^bI^b$. | εἴ τι om $G^b$. | αὐτοδιπλασίου *A* et γρ *E*. | 30. ἀϊδίῳ] ἀΐδιον $A^b$, τὸ ἀΐδιον *as*. | 31. οὐσία] fort. οὐσίας vel οὐσιῶν. | ταῦτα *iasc*. | fort. γὰρ ἐνταῦθά τε ex *A*. | ἢ *T*. | 32. ἔσται] ἐστι *as*, om *T*. | 34. 35. φθαρτῶν τῶν δυάδων *T*. | 35. καὶ τῶν δυάδων om $G^b$, τῶν δυάδων om *A*, τῶν ante πολλῶν om *as*. | 36. δυὰς εἶναι ἓν *A*. | ἐπί τ' αὐτῆς coni. cf. *A*, ἐπὶ ταύτης $G^bI^b$*i*, ἐπ' αὐτῆς *ascb*. | τῆς om *T*.

1079b 1. ὁμωνυμία *T*. | 2. καλοίη *ascA*, καλοῖοι $A^b$, καλοῖ *b*.



Digitized by Google

τοὺς κοινοὺς λόγους ἐφαρμόττειν θήσομεν τοῖς εἴδεσιν, οἷον ἐπ' αὐτὸν τὸν κύκλον σχῆμα ἐπίπεδον καὶ τὰ λοιπὰ μέρη τοῦ λόγου, τὸ δ' οὗ ἐστὶ προστεθήσεται, σκοπεῖν δεῖ μὴ κενὸν ᾖ τοῦτο παντελῶς. τίνι τε γὰρ προστεθήσεται; τῷ μέσῳ ἢ τῷ ἐπιπέδῳ ἢ πᾶσιν; πάντα γὰρ τὰ ἐν τῇ οὐσίᾳ ἰδέαι, οἷον τὸ ζῷον καὶ τὸ δίπουν. ἔτι δῆλον ὅτι ἀνάγκη αὐτὸ εἶναί τι, ὥσπερ τὸ ἐπίπεδον φύσιν τινὰ ἣ πᾶσιν ἐνυπάρξει τοῖς εἴδεσιν ὡς γένος.

5 Πάντων δὲ μάλιστα διαπορήσειεν ἄν τις τί ποτε συμβάλλονται τὰ εἴδη ἢ τοῖς ἀϊδίοις τῶν αἰσθητῶν ἢ τοῖς γιγνομένοις καὶ [τοῖς] φθειρομένοις· οὔτε γὰρ κινήσεώς ἐστιν οὔτε μεταβολῆς οὐδεμιᾶς αἴτια αὐτοῖς. ἀλλὰ μὴν οὔτε πρὸς τὴν ἐπιστήμην οὐθὲν βοηθεῖ τὴν τῶν ἄλλων (οὐδὲ γὰρ οὐσία ἐκεῖνα τούτων· ἐν τούτοις γὰρ ἂν ἦν), οὔτ' εἰς τὸ εἶναι, μὴ ἐνυπάρχοντά γε τοῖς μετέχουσιν· οὕτω μὲν γὰρ ἴσως αἴτια δόξειεν ἂν εἶναι ὡς τὸ λευκὸν μεμιγμένον τῷ λευκῷ. ἀλλ' οὗτος μὲν ὁ λόγος λίαν εὐκίνητος, ὃν Ἀναξαγόρας μὲν πρότερος Εὔδοξος δ' ὕστερος ἔλεγε διαπορῶν καὶ ἕτεροί τινες· ῥᾴδιον γὰρ πολλὰ συναγαγεῖν καὶ ἀδύνατα πρὸς 269
τὴν τοιαύτην δόξαν. ἀλλὰ μὴν οὐδ' ἐκ τῶν εἰδῶν ἔστι τἆλλα κατ' οὐθένα τρόπον τῶν εἰωθότων λέγεσθαι. τὸ δὲ λέγειν παραδείγματα εἶναι καὶ μετέχειν αὐτῶν τἆλλα κενολογεῖν ἐστὶ καὶ μεταφορὰς λέγειν ποιητικάς. τί γάρ ἐστι τὸ ἐργαζόμενον πρὸς τὰς ἰδέας ἀποβλέπον; ἐνδέχεται γὰρ καὶ εἶναι καὶ γίγνεσθαι ὅμοιον ὁτιοῦν καὶ μὴ εἰκαζόμενον, ὥστε καὶ ὄντος Σωκράτους καὶ μὴ ὄντος γένοιτ' ἂν οἷον Σωκράτης· ὁμοίως δὲ δῆλον ὅτι κἂν εἰ ἦν ὁ Σωκράτης ἀΐδιος. ἔσται τε πλείω παραδείγματα τοῦ αὐτοῦ, ὥστε καὶ εἴδη, οἷον τοῦ ἀνθρώπου τὸ ζῷον καὶ τὸ δίπουν, ἅμα δὲ καὶ

5. τὸν om $G^bI^b$. | κύκλον] ὃ $A^b$. | 6. τὰ δ' οὐκέτι προστεθήσεται *T*, τὸ δ' οὐκ ἔστι προστεθήσεται $G^b$. | 10. ὑπάρξει Alex. | 13. συμβάλλεται *A*. | 14. τοῖς om $G^bI^bA$. | ἔστιν post 15. οὐδεμιᾶς $G^bI^bA$. | 15. αἰτία *E*. | οὔτε *A*, οὐδὲ *ascb*. | 16. συντελεῖ $G^bI^b$. | τὴν om $G^b$. | οὐδὲ *A*, οὔτε *ascb*. | 17. ἂν om $G^b$. | 19. ἂν post 18. γὰρ *A*, om $A^b$. | ὡς om *E*. | 21. πρῶτος Εὐδ. δ' ὕστερον *A*. | ἔλεγε — 22. τινες] καὶ ἄλλοι τινὲς ἔλεγον *A*. | ἔλεγέ γε διαπορῶν *E*. | 22. συναγ. πολλὰ *A*. | 25. δέ γε λέγειν $I^b$. | 27. ἀποβλέπων $A^b$, ἀποβλέπειν *Tas*. | γὰρ scripsi ex *i* et *A*, τε *ascb*. | 28. καὶ post γὰρ om *Tas*. | ὅμοιον addidi ex *A*. | εἰκαζόμενον πρὸς ἐκεῖνο *A*. | 29. ὄντος τοῦ σωκράτους $G^bI^b$. | οἷον] ὁ *T*, οἱόσπερ *A*, fort. οἷος. | 30. ante ὁμοίως punctum, post ἀΐδιος comma *cb*. | εἰ ἦν scripsi ex *i* et *A*, εἴη *ascb*. | ὁ om *E*. | 32. τοῦ] τῷ *c*. | 32. 33. καὶ ὁ αὐτοάνθρ. $G^bI^b$, καὶ τὸ αὐτ. *A*.

Digitized by Google

αὐτοάνθρωπος. ἔτι οὐ μόνον τῶν αἰσθητῶν παραδείγματα τὰ εἴδη, ἀλλὰ καὶ αὐτῶν, οἷον τὸ γένος τῶν ὡς γένους εἰδῶν· ὥστε τὸ αὐτὸ ἔσται παράδειγμα καὶ εἰκών. ἔτι δόξειεν ἂν ἀδύνατον χωρὶς εἶναι τὴν οὐσίαν καὶ οὗ ἡ οὐσία· ὥστε πῶς ἂν αἱ ἰδέαι οὐσίαι τῶν πραγμάτων οὖσαι χωρὶς 1080a
εἶεν; ἐν δὲ τῷ Φαίδωνι τοῦτον λέγεται τὸν τρόπον, ὡς καὶ τοῦ εἶναι καὶ τοῦ γίγνεσθαι αἴτια τὰ εἴδη ἐστίν· καίτοι τῶν εἰδῶν ὄντων ὅμως οὐ γίγνεται, ἂν μὴ ᾖ τὸ κινῆσον, καὶ πολλὰ γίγνεται ἕτερα, οἷον οἰκία καὶ δακτύλιος, ὧν οὔ φασιν εἶναι εἴδη. ὥστε δῆλον ὅτι ἐνδέχεται κἀκεῖνα, ὧν φασὶν ἰδέας εἶναι, καὶ εἶναι καὶ γίγνεσθαι διὰ τοιαύτας αἰτίας οἵας καὶ τὰ ῥηθέντα νῦν, ἀλλ' οὐ διὰ τὰ εἴδη. ἀλλὰ περὶ μὲν τῶν ἰδεῶν καὶ τοῦτον τὸν τρόπον καὶ διὰ λογικωτέρων καὶ ἀκριβεστέρων λόγων ἔστι πολλὰ συναγαγεῖν ὅμοια τοῖς τεθεωρημένοις.

6 Ἐπεὶ δὲ διώρισται περὶ τούτων, καλῶς ἔχει πάλιν θεωρῆσαι τὰ περὶ τοὺς ἀριθμοὺς συμβαίνοντα τοῖς λέγουσιν οὐσίας αὐτοὺς εἶναι χωριστὰς καὶ τῶν ὄντων αἰτίας πρώτας.
270 ἀνάγκη δ', εἴπερ ἐστὶν ὁ ἀριθμὸς φύσις τις καὶ μὴ ἄλλη τίς ἐστιν αὐτοῦ ἡ οὐσία ἀλλὰ τοῦτ' αὐτό, ὥσπερ φασί τινες, ἤτοι εἶναι τὸ μὲν πρῶτόν τι αὐτοῦ τὸ δ' ἐχόμενον, ἕτερον ὂν τῷ εἴδει ἕκαστον· καὶ τοῦτο ἢ ἐπὶ τῶν μονάδων εὐθὺς ὑπάρχει καὶ ἔστιν ἀσύμβλητος ὁποιαοῦν μονὰς ὁποιαοῦν μονάδι· ἢ εὐθὺς ἐφεξῆς πᾶσαι καὶ συμβληταὶ ὁποιαιοῦν ὁποιαισοῦν, οἷον λέγουσιν εἶναι τὸν μαθηματικὸν ἀριθμόν· ἐν γὰρ τῷ μαθηματικῷ οὐθὲν διαφέρει οὐδεμία μονὰς ἑτέρα ἑτέρας· ἢ τὰς μὲν συμβλητὰς τὰς δὲ μή, οἷον εἰ ἔστι μετὰ τὸ ἓν πρώτη ἡ δυάς, ἔπειτα ἡ τριὰς καὶ οὕτω δὴ ὁ ἄλλος ἀριθμός, εἰσὶ δὲ συμβληταὶ αἱ ἐν ἑκάστῳ ἀριθμῷ μονάδες, οἷον αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ αὐταῖς, καὶ ἐν τῇ

34. αὐτῶν as, αὐτῶν τῶν ἰδεῶν A. | τῶν om A. | γένος A. | 36. εἶναι χωρὶς A.

1080a 2. οὕτως λέγεται A. | 3. τὰ om T. | 4. γίγνεται τὰ μετέχοντα A. | 6. φαμεν εἴδη εἶναι A. | κἀκεῖνα — 7. ἰδέας εἶναι] καὶ τἄλλα A. | 7. εἶναι ἰδέας as. | 8. οἵας] δι' οἵας $G^bI^b$. | 10. διαλεκτικωτέρων Ei. | 13. τὰ περὶ τ. ἀρ. ἰδεῖν συμβαίνοντα $F^b$. | 14. αὐτοῖς E. | 15. ὁ ἀριθμὸς om T. | 16. αὐτοῦ ἐστὶν Tas. | 17. ἐνδεχόμενον Tas. | 20. ὁποῖαι $TA^b$asc. | 22. ἑτέρα om $G^b$. | 23. μὲν οἷον συμβλητὰς T. | 25. ante εἰσὶ punctum cb. | αἱ post ἀριθμῷ $A^b$as. | 26. αἱ om T. | καὶ — 27. αὐταῖς om $G^b$. | 26. et 27. αὐταῖς] αὐτῆς as, αὐταῖς c. | 26. ἐν] αἱ ἐν $A^b$.

Digitized by Google

τριάδι τῇ πρώτῃ αὐταῖς, καὶ οὕτω δὴ ἐπὶ τῶν ἄλλων ἀριθμῶν, αἱ δ' ἐν τῇ δυάδι αὐτῇ πρὸς τὰς ἐν τῇ τριάδι αὐτῇ ἀσύμβλητοι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν ἐφεξῆς ἀριθμῶν. διὸ καὶ ὁ μὲν μαθηματικὸς ἀριθμεῖται μετὰ τὸ ἓν δύο, πρὸς τῷ ἔμπροσθεν ἑνὶ ἄλλο ἕν, καὶ τὰ τρία πρὸς τοῖς δυσὶ τούτοις ἄλλο ἕν, καὶ ὁ λοιπὸς δὲ ὡσαύτως· οὗτος δὲ μετὰ τὸ ἓν δύο ἕτερα ἄνευ τοῦ ἑνὸς τοῦ πρώτου, καὶ ἡ τριὰς ἄνευ τῆς δυάδος, ὁμοίως δὲ καὶ ὁ ἄλλος ἀριθμός. ἢ τὸν μὲν εἶναι τῶν ἀριθμῶν οἷος ὁ πρῶτος ἐλέχθη, τὸν δ' οἷον οἱ μαθηματικοὶ λέγουσι, τρίτον δὲ τὸν ῥηθέντα τελευταῖον. ἔτι τούτους ἢ χωριστοὺς εἶναι τοὺς
1080*b* ἀριθμοὺς τῶν πραγμάτων, ἢ οὐ χωριστοὺς ἀλλ' ἐν τοῖς αἰσθητοῖς, οὐχ οὕτως δ' ὡς τὸ πρῶτον ἐπεσκοποῦμεν, ἀλλ' ὡς ἐκ τῶν ἀριθμῶν ἐνυπαρχόντων ὄντα τὰ αἰσθητά· ἢ τὸν μὲν αὐτῶν εἶναι τὸν δὲ μὴ [ἢ πάντας] εἶναι. οἱ μὲν οὖν τρόποι καθ' οὓς ἐνδέχεται αὐτοὺς εἶναι οὗτοί εἰσιν ἐξ ἀνάγκης μόνοι. σχεδὸν δὲ καὶ οἱ λέγοντες τὸ ἓν ἀρχὴν εἶναι καὶ οὐσίαν 271
καὶ στοιχεῖον πάντων, καὶ ἐκ τούτου καὶ ἄλλου τινὸς εἶναι τὸν ἀριθμόν, ἕκαστος τούτων τινὰ τῶν τρόπων εἴρηκε, πλὴν τοῦ πάσας τὰς μονάδας εἶναι ἀσυμβλήτους. καὶ τοῦτο συμβέβηκεν εὐλόγως· οὐ γὰρ ἐνδέχεται ἔτι ἄλλον τρόπον εἶναι παρὰ τοὺς εἰρημένους. οἱ μὲν οὖν ἀμφοτέρους φασὶν εἶναι τοὺς ἀριθμούς, τὸν μὲν ἔχοντα τὸ πρότερον καὶ ὕστερον τὰς ἰδέας, τὸν δὲ μαθηματικὸν παρὰ τὰς ἰδέας καὶ τὰ αἰσθητά, καὶ χωριστοὺς ἀμφοτέρους τῶν αἰσθητῶν· οἱ δὲ τὸν μαθηματικὸν μόνον ἀριθμὸν εἶναι τὸν πρῶτον τῶν ὄντων κεχωρισμένον τῶν αἰσθητῶν. καὶ οἱ Πυθαγόρειοι δ' ἕνα, τὸν μαθηματικόν, πλὴν οὐ κεχωρισμένον ἀλλ' ἐκ τούτου τὰς αἰσθητὰς οὐσίας συνεστάναι φασίν· τὸν γὰρ ὅλον οὐρανὸν κατασκευάζουσιν ἐξ ἀριθμῶν, πλὴν οὐ μοναδικῶν, ἀλλὰ τὰς μονάδας ὑπολαμβάνουσιν ἔχειν μέγεθος· ὅπως δὲ τὸ πρῶτον ἓν

28. πρὸς — 29. αὐτῇ om $G^b$. | 31. τῷ] τὸ *a*. | 32. δὲ om $G^b$. | 35. τὴν $G^b$. | οἷον *Tas*. | 36. οἱ om $A^b$. | 37. τῶν πραγμάτων τοὺς ἀριθμοὺς $G^bI^b$.

1080*b* 2. ἐπεσκόπουν $A^b$. | 3. ὄντα τὰ αἰσθητά] τοῖς αἰσθητοῖς *as*. | 4. αὐτὸν E. | ἢ πάντας om $G^bI^b$, ἢ πάντας εἶναι ἢ πάντας μὴ εἶναι fort. Alex. | 5. αὐτοὺς] τοὺς ἀριθμοὺς $F^b$. | 7. καὶ ante ἄλλου om *as*. | 8. τρόπων] πρώτων $G^b$. | 9. εἶναι om $ETG^bI^bc$. | 10. ἔτι om $G^b$. | 12. τὸ om *as*. | καὶ τὸ ὕστερον $F^b$. | τῆς $G^b$. | 13. τὸν — ἰδέας om $G^b$. | 15. κεχωρισμένων $A^bG^b$. | 19. ἐξ om *a*. | μοναδικόν $G^bI^b$.

Digitized by Google

συνέστη ἔχον μέγεθος, ἀπορεῖν ἐοίκασιν. ἄλλος δέ τις τὸν πρῶτον ἀριθμὸν τὸν τῶν εἰδῶν ἕνα εἶναι, ἔνιοι δὲ καὶ τὸν μαθηματικὸν τὸν αὐτὸν τοῦτον εἶναι. ὁμοίως δὲ καὶ περὶ τὰ μήκη καὶ περὶ τὰ ἐπίπεδα καὶ περὶ τὰ στερεά. οἱ μὲν γὰρ ἕτερα τὰ μαθηματικὰ καὶ τὰ μετὰ τὰς ἰδέας· τῶν δ' ἄλλως λεγόντων οἱ μὲν τὰ μαθηματικὰ καὶ μαθηματικῶς λέγουσιν, ὅσοι μὴ ποιοῦσι τὰς ἰδέας ἀριθμοὺς μηδὲ εἶναί φασιν ἰδέας, οἱ δὲ τὰ μαθηματικά, οὐ μαθηματικῶς δέ· οὐ γὰρ τέμνεσθαι οὔτε μέγεθος πᾶν εἰς μεγέθη, οὔθ' ὁποιασοῦν μονάδας δυάδα εἶναι. μοναδικοὺς δὲ τοὺς ἀριθμοὺς εἶναι πάντες τιθέασι, πλὴν τῶν Πυθαγορείων, ὅσοι τὸ ἓν στοιχεῖον καὶ ἀρχήν φασιν εἶναι τῶν ὄντων· ἐκεῖνοι δ' ἔχοντας μέγεθος, καθάπερ εἴρηται πρότερον. ὁσαχῶς μὲν
272 οὖν ἐνδέχεται λεχθῆναι περὶ αὐτῶν, καὶ ὅτι πάντες εἰσὶν εἰρημένοι οἱ τρόποι, φανερὸν ἐκ τούτων· ἔστι δὲ πάντα μὲν ἀδύνατα, μᾶλλον δ' ἴσως θάτερα τῶν ἑτέρων.

7 Πρῶτον μὲν οὖν σκεπτέον εἰ συμβληταὶ αἱ μονάδες ἢ
ἀσύμβλητοι, καὶ εἰ ἀσύμβλητοι, ποτέρως ὥσπερ διείλομεν. 1081a
ἔστι μὲν γὰρ ὁποιανοῦν εἶναι ὁποιᾳοῦν μονάδι ἀσύμβλητον, ἔστι δὲ τὰς ἐν αὐτῇ τῇ δυάδι πρὸς τὰς ἐν αὐτῇ τῇ τριάδι, καὶ οὕτως δὴ ἀσυμβλήτους εἶναι τὰς ἐν ἑκάστῳ τῷ πρώτῳ ἀριθμῷ πρὸς ἀλλήλας. εἰ μὲν οὖν πᾶσαι συμβληταὶ καὶ ἀδιάφοροι αἱ μονάδες, ὁ μαθηματικὸς γίγνεται ἀριθμὸς καὶ εἷς μόνος, καὶ τὰς ἰδέας οὐκ ἐνδέχεται εἶναι τοὺς ἀριθμούς. ποῖος γὰρ ἔσται ἀριθμὸς αὐτοάνθρωπος ἢ ζῷον ἢ ἄλλο ὁτιοῦν τῶν εἰδῶν; ἰδέα μὲν γὰρ μία ἑκάστου, οἷον αὐτοῦ ἀνθρώπου μία καὶ αὐτοῦ ζῴου ἄλλη μία· οἱ δ' ὅμοιοι καὶ ἀδιάφοροι ἄπειροι, ὥστ' οὐθὲν μᾶλλον ἥδε ἡ τριὰς αὐτοάνθρωπος ἢ ὁποιαοῦν. εἰ δὲ μή εἰσιν ἀριθμοὶ αἱ ἰδέαι, οὐδ' ὅλως οἷόν τε αὐτὰς εἶναι. ἐκ τίνων γὰρ ἔσονται ἀρχῶν αἱ ἰδέαι; ὁ γὰρ ἀριθμός ἐστιν ἐκ τοῦ ἑνὸς καὶ τῆς δυάδος τῆς ἀορίστου, καὶ αἱ ἀρχαὶ καὶ τὰ στοιχεῖα λέγονται τοῦ ἀριθμοῦ εἶναι, τάξαι τε οὔτε προτέρας ἐνδέχεται τῶν ἀριθμῶν αὐτὰς

24. περὶ utrumque om $F^bM$, prius om *as*. | τὰ ante στερεά om $G^b$. | 25. τὰ μετὰ] τῶν μετὰ $G^bI^b$. | 29. δὲ om $G^bI^bi$. | 30. μονάδος $G^b$. | 31. πάντες εἶναι *as*. | 33. ἔχοντας rc *E* Syr et fort. Alex, ἔχον $G^b$, ἔχοντα *iascb*. | 35. ἔτι *T*.

1081*a* 1. πότερον *T*. | 2. μὲν et 5. ἀριθμῷ om $G^b$. | 6. μαθητικὸς $A^b$. | 8. ὁποῖος *T*. | ἀριθμὸς ἔσται $I^b$. | 9. 10. αὐτοανθρώπου μία καὶ αὐτοζωίου *E*. | 16. τάξει *Tas*.

Digitized by Google

οὔθ' ὑστέρας. εἰ δ' ἀσύμβλητοι αἱ μονάδες, καὶ οὕτως ἀσύμβλητοι ὥστε ἡτισοῦν ἡτινιοῦν, οὔτε τὸν μαθηματικὸν ἐνδέχεται εἶναι τοῦτον τὸν ἀριθμόν (ὁ μὲν γὰρ μαθηματικὸς ἐξ ἀδιαφόρων, καὶ τὰ δεικνύμενα κατ' αὐτοῦ ὡς ἐπὶ τοιούτου ἁρμόττει) οὔτε τὸν τῶν εἰδῶν· οὐ γὰρ ἔσται ἡ δυὰς πρώτη ἐκ τοῦ ἑνὸς καὶ τῆς ἀορίστου δυάδος, ἔπειτα οἱ ἑξῆς ἀριθμοὶ ὡς λέγεται, δυάς, τριάς, τετράς· ἅμα γὰρ αἱ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες γεννῶνται, εἴτε ὥσπερ ὁ πρῶτος εἰπὼν ἐξ ἀνίσων (ἰσασθέντων γὰρ ἐγένοντο) εἴτε ἄλλως. ἔπειτα εἰ 273 ἔσται ἡ ἑτέρα μονὰς τῆς ἑτέρας προτέρα, καὶ τῆς δυάδος τῆς ἐκ τούτων ἔσται προτέρα· ὅταν γὰρ ᾖ τι τὸ μὲν πρότερον τὸ δ' ὕστερον, καὶ τὸ ἐκ τούτων τοῦ μὲν ἔσται πρότερον τοῦ δ' ὕστερον. ἔτι ἐπειδή ἐστι πρῶτον μὲν αὐτὸ τὸ ἕν, ἔπειτα τῶν ἄλλων ἐστί τι πρῶτον ἓν δεύτερον δὲ μετ' ἐκεῖνο, καὶ πάλιν τρίτον τὸ δεύτερον μὲν μετὰ τὸ δεύτερον τρίτον δὲ μετὰ τὸ πρῶτον ἕν· ὥστε πρότεραι ἂν εἶεν αἱ μονάδες ἢ οἱ ἀριθμοὶ ἐξ ὧν πλέκονται, οἷον ἐν τῇ δυάδι τρίτη μονὰς ἔσται πρὶν τὰ τρία εἶναι, καὶ ἐν τῇ τριάδι τετάρτη καὶ ἡ πέμπτη πρὶν τοὺς ἀριθμοὺς τούτους. οὐθεὶς μὲν οὖν τὸν τρόπον τοῦτον εἴρηκεν αὐτῶν τὰς μονάδας ἀσυμβλήτους, ἔστι δὲ κατὰ μὲν τὰς ἐκείνων ἀρχὰς εὔλογον καὶ οὕτως, 1081 b κατὰ μέντοι τὴν ἀλήθειαν ἀδύνατον. τάς τε γὰρ μονάδας προτέρας καὶ ὑστέρας εἶναι εὔλογον, εἴπερ καὶ πρώτη τίς ἐστι μονὰς καὶ ἓν πρῶτον, ὁμοίως δὲ καὶ δυάδας, εἴπερ καὶ δυὰς πρώτη ἐστίν· μετὰ γὰρ τὸ πρῶτον εὔλογον καὶ ἀναγκαῖον δεύτερόν τι εἶναι, καὶ εἰ δεύτερον, τρίτον, καὶ οὕτω δὴ τὰ ἄλλα ἐφεξῆς. ἅμα δ' ἀμφότερα λέγειν, μονάδα τε μετὰ τὸ ἓν πρώτην εἶναι καὶ δευτέραν, καὶ δυάδα πρώτην, ἀδύνατον. οἱ δὲ ποιοῦσι μονάδα μὲν καὶ ἓν πρῶτον, δεύτερον δὲ καὶ τρίτον οὐκέτι, καὶ δυάδα πρώτην, δευτέραν δὲ καὶ τρίτην οὐκέτι. φανερὸν δὲ καὶ ὅτι οὐκ ἐνδέχε-

20. τοιούτοις **Tas**. | 25. ἀνίσων γὰρ ἰσασθέντων Alex. | ἰσασθέντα $G^b$. | ἐγένετο **Tas**. | 26. ἡ et τῆς om $G^b I^b$. | τῆς ἑτέρας προτέρα] τῆς προτέρας **as**. | καὶ] καὶ διὰ $G^b$. | 30. τι om $A^b$. | 31. post τρίτον commate, ante καὶ non dist *cb*. | μὲν] δὲ **T**. | 33. λέγονται **E**. | *numeri, qui eas complectuntur* **i**. | 34. καὶ om $G^b$. | 35. πλὴν **T**. | 36. post ἀσυμβλήτους **Tas** add εἶναι. | 37. ἔστι om $G^b I^b$. | ἀρχὰς] γραφὰς $G^b$. | καὶ] καὶ τοῦτον **T**.

1081 *b* 2. καὶ ὑστέρας om **as**. | 3. καὶ δυάδας δὲ ὁμοίως $A^b$. | δυάδες **as**. | 6. δὴ et ἄλλα om $G^b I^b$. | 7. εἶναι om $G^b$. | 10. δὲ prius om $G^b$. | καὶ ante ὅτι om $F^b$.

Digitized by Google

ται, εἰ ἀσύμβλητοι πᾶσαι αἱ μονάδες, δυάδα εἶναι αὐτὴν
καὶ τριάδα καὶ οὕτω τοὺς ἄλλους ἀριθμούς. ἄν τε γὰρ ὦσιν
ἀδιάφοροι αἱ μονάδες ἄν τε διαφέρουσαι ἑκάστη ἑκάστης,
274 ἀνάγκη ἀριθμεῖσθαι τὸν ἀριθμὸν κατὰ πρόσθεσιν, οἷον τὴν
δυάδα πρὸς τῷ ἑνὶ ἄλλου ἑνὸς προςεθέντος, καὶ τὴν τριάδα
ἄλλου ἑνὸς πρὸς τοῖς δυσὶ προστεθέντος, καὶ τὴν τετράδα
ὡσαύτως. τούτων δὲ ὄντων ἀδύνατον τὴν γένεσιν εἶναι τῶν
ἀριθμῶν, ὡς γεννῶσιν ἐκ τῆς δυάδος καὶ τοῦ ἑνός· μόριον
γὰρ γίγνεται ἡ δυὰς τῆς τριάδος καὶ αὐτὴ τῆς τετράδος·
τὸν αὐτὸν δὲ τρόπον συμβαίνει καὶ ἐπὶ τῶν ἐχομένων.
ἀλλ' ἐκ τῆς δυάδος τῆς πρώτης καὶ τῆς ἀορίστου δυάδος
ἐγίγνετο ἡ τετράς, δύο δυάδες παρ' αὐτὴν τὴν δυάδα· εἰ
δὲ μή, μόριον ἔσται αὐτὴ ἡ δυάς, ἑτέρα δὲ προσέσται μία
δυάς, καὶ ἡ δυὰς ἔσται ἐκ τοῦ ἑνὸς αὐτοῦ καὶ ἄλλου ἑνός.
εἰ δὲ τοῦτο, οὐχ οἷόν τ' εἶναι τὸ ἕτερον στοιχεῖον δυάδα ἀόρι-
στον· μονάδα γὰρ μίαν γεννᾷ, ἀλλ' οὐ δυάδα ὡρισμένην.
ἔτι παρ' αὐτὴν τὴν τριάδα καὶ αὐτὴν τὴν δυάδα πῶς ἔσον-
ται ἄλλαι τριάδες καὶ δυάδες; καὶ τίνα τρόπον ἐκ προ-
τέρων μονάδων καὶ ὑστέρων σύγκεινται; πάντα γὰρ ταῦτ'
ἐστὶ καὶ πλασματώδη, καὶ ἀδύνατον εἶναι πρώτην δυάδα,
εἶτ' αὐτὴν τριάδα. ἀνάγκη δ', ἐπείπερ ἔσται τὸ ἓν καὶ ἡ
ἀόριστος δυὰς στοιχεῖα. εἰ δ' ἀδύνατα τὰ συμβαίνοντα,
καὶ τὰς ἀρχὰς εἶναι ταύτας ἀδύνατον. εἰ μὲν οὖν διάφο-
ροι αἱ μονάδες ὁποιαιοῦν ὁποιαισοῦν, ταῦτα καὶ τοιαῦθ'
ἕτερα συμβαίνει ἐξ ἀνάγκης. εἰ δ' αἱ μὲν ἐν ἄλλῳ διά-
φοροι, αἱ δ' ἐν τῷ αὐτῷ ἀριθμῷ ἀδιάφοροι ἀλλήλαις
μόναι, καὶ οὕτως οὐθὲν ἐλάττω συμβαίνει τὰ δυσχερῆ.
οἷον γὰρ ἐν τῇ δεκάδι αὐτῇ ἔνεισι δέκα μονάδες, σύγκει- 1082*a*
ται δὲ καὶ ἐκ τούτων καὶ ἐκ δύο πεντάδων ἡ δεκάς. ἐπεὶ
δ' οὐχ ὁ τυχὼν ἀριθμὸς αὐτὴ ἡ δεκάς, οὐδὲ σύγκειται ἐκ
τῶν τυχουσῶν πεντάδων, ὥσπερ οὐδὲ μονάδων, ἀνάγκη δια-

12. ἄλλους om $A^b G^b$. | 14. κατὰ τὴν πρόσθεσιν *as*. | 14. 15. τῇ δυάδι $G^b$, τῇ δυάδα $I^b$. | 15. et 16. προτεθέντος $A^b$. | 15. καὶ — 16. προστεθέντος om *T*. | 20. δὲ om $G^b$. | 23. μόριόν ἐστιν *as*. | αὐτὴ scripsi cum *i* et Syr et fort. cum Alex, αὕτη *ascb*, cf. Obs. p. 43. | 26. μίαν οὐ γεννᾷ $G^b$. | *generant i*. | 27. καὶ τὴν αὐτὴν δ. $G^b$. | 28. ἄλλαι om $G^b I^b$. | 30. εἰσὶ $A^b$. | πρώτως $G^b$. | 31. καὶ om $G^b$. | 33. ταύτας εἶναι *Tas*. | 37. οὐθὲν ἐλάττω om *as*.

1082*a* 1. οἱ $A^b$. | 3. δ' οὐ τυχὼν *T*. | αὐτὴ scripsi cum *i* et Alex, αὕτη *ascb*. | post οὐδὲ add γὰρ *as*.

Digitized by Google

*φέρειν τὰς μονάδας τὰς ἐν τῇ δεκάδι ταύτῃ. ἂν γὰρ μὴ διαφέρωσιν, οὐδ' αἱ πεντάδες διοίσουσιν ἐξ ὧν ἐστὶν ἡ δεκάς·* 275 *ἐπεὶ δὲ διαφέρουσι, καὶ αἱ μονάδες διοίσουσιν. εἰ δὲ διαφέρουσι, πότερον οὐκ ἔσονται πεντάδες ἄλλαι ἀλλὰ μόνον αὗται αἱ δύο, ἢ ἔσονται; εἴτε δὲ μὴ ἔσονται, ἄτοπον· εἴτ' ἔσονται, ποία ἔσται δεκὰς ἐξ ἐκείνων; οὐ γάρ ἐστιν ἑτέρα δεκὰς ἐν τῇ δεκάδι παρ' αὐτήν. ἀλλὰ μὴν καὶ ἀνάγκη γε μὴ ἐκ τῶν τυχουσῶν δυάδων τὴν τετράδα συγκεῖσθαι· ἡ γὰρ ἀόριστος δυάς, ὥς φασί, λαβοῦσα τὴν ὡρισμένην δυάδα δύο δυάδας ἐποίησεν· τοῦ γὰρ ληφθέντος ἦν δυοποιός. ἔτι τὸ εἶναι παρὰ τὰς δύο μονάδας τὴν δυάδα φύσιν τινά, καὶ τὴν τριάδα παρὰ τὰς τρεῖς μονάδας, πῶς ἐνδέχεται; ἢ γὰρ μεθέξει θατέρου θάτερον, ὥσπερ λευκὸς ἄνθρωπος παρὰ λευκὸν καὶ ἄνθρωπον (μετέχει γὰρ τούτων), ἢ ὅταν ᾖ θατέρου θάτερον διαφορά τις, ὥσπερ ὁ ἄνθρωπος παρὰ ζῷον καὶ δίπουν. ἔτι τὰ μὲν ἁφῇ ἐστὶν ἕν, τὰ δὲ μίξει, τὰ δὲ θέσει· ὧν οὐθὲν ἐνδέχεται ὑπάρχειν ταῖς μονάσιν ἐξ ὧν ἡ δυὰς καὶ ἡ τριάς· ἀλλ' ὥσπερ οἱ δύο ἄνθρωποι οὐχ ἕν τι παρ' ἀμφοτέρους, οὕτως ἀνάγκη καὶ τὰς μονάδας. καὶ οὐχ ὅτι ἀδιαίρετοι, διοίσουσι διὰ τοῦτο· καὶ γὰρ αἱ στιγμαὶ ἀδιαίρετοι, ἀλλ' ὅμως παρὰ τὰς δύο οὐθὲν ἕτερον ἡ δυὰς αὐτῶν. ἀλλὰ μὴν οὐδὲ τοῦτο δεῖ λανθάνειν, ὅτι συμβαίνει προτέρας καὶ ὑστέρας εἶναι δυάδας, ὁμοίως δὲ καὶ τοὺς ἄλλους ἀριθμούς. αἱ μὲν γὰρ ἐν τῇ τετράδι δυάδες ἔστωσαν ἀλλήλαις ἅμα· ἀλλ' αὗται τῶν ἐν τῇ ὀκτάδι πρότεραί εἰσι, καὶ ἐγέννησαν, ὥσπερ ἡ δυὰς ταύτας, αὗται τὰς τετράδας τὰς ἐν τῇ ὀκτάδι αὐτῇ. ὥστε εἰ καὶ ἡ πρώτη δυὰς ἰδέα, καὶ αὗται ἰδέαι τινὲς ἔσονται. ὁ δ' αὐτὸς λόγος καὶ ἐπὶ τῶν μονάδων· αἱ γὰρ ἐν τῇ δυάδι τῇ πρώτῃ μονάδες γεννῶσι τὰς τέτταρας τὰς ἐν τῇ τετράδι,* 276 *ὥστε πᾶσαι αἱ μονάδες ἰδέαι γίγνονται καὶ συγκείσεται*

5. *τὰς* ante *ἐν* om $A^b$. | 6. *πεμπτάδες* T. | 7. *δὲ διαφέρουσι* post *ἐπεὶ* om $G^b$. | 8. *οὐκ ἔσονται* $G^b I^b i$ Alex, *οὐχ ἐν ἔσονται* T, *οὐκ ἐνέσονται* *ascb*. | *πεμτάδες* E. | 9. *αἱ* om $E G^b I^b$. | *δὴ* $A^b$ Alex, fort. recte. | *ἔσονται* et 10. *ἔσονται* scripsi cum Alex et *i*, *ἐν ἔσονται* T, *ἐνέσονται* *ascb*. | 10. *δυὰς* $G^b$. | 15. *δυάδα*] *δύναμιν* $G^b$. | 17. *εἰ* T. | 18. *ταὐτῶν* T. | 19. *ὁ* om *as*. | 20. *παρὰ τὸ ζῷον* *Tas*. | 24. *ἀδιαίρετον* *ia*. | colon post *διοίσουσι* *a*, *διοίσουσι· διὰ τοῦτο γὰρ καὶ* *s*. | 25. *ἀδιαίρετον* $A^b$. | 27. *ὁμοίους* $G^b$. | 28. *αἱ*] *εἰ* $G^b$. | 31. *ὀκτάδη* E. | 32. *ἡ* om $E A^b$. | *ἰδέαι* $T A^b$. | 35. 36. *συγκείσονται ἰδέαι* $G^b I^b$.

Digitized by Google

ἰδέα ἐξ ἰδεῶν. ὥστε δῆλον ὅτι κἀκεῖνα, ὧν ἰδέαι αὗται τυγχάνουσιν οὖσαι, συγκείμενα ἔσται, οἷον εἰ τὰ ζῷα φαίη τις συγκεῖσθαι ἐκ ζῴων, εἰ τούτων ἰδέαι εἰσίν. ὅλως δὲ τὸ 1082b
ποιεῖν τὰς μονάδας διαφόρους ὁπωσοῦν ἄτοπον καὶ πλασματῶδες (λέγω δὲ πλασματῶδες τὸ πρὸς ὑπόθεσιν βεβιασμένον)· οὔτε γὰρ κατὰ τὸ ποσὸν οὔτε κατὰ τὸ ποιὸν ὁρῶμεν διαφέρουσαν μονάδα μονάδος, ἀνάγκη τε ἢ ἴσον ἢ ἄνισον εἶναι ἀριθμόν, πάντα μὲν ἀλλὰ μάλιστα τὸν μοναδικόν, ὥστ' εἰ μήτε πλείων μήτ' ἐλάττων, ἴσος. τὰ δ' ἴσα καὶ ὅλως ἀδιάφορα ταὐτὰ ὑπολαμβάνομεν ἐν τοῖς ἀριθμοῖς. εἰ δὲ μή, οὐδ' αἱ ἐν αὐτῇ τῇ δεκάδι δυάδες ἀδιάφοροι ἔσονται ἴσαι οὖσαι· τίνα γὰρ αἰτίαν ἕξει λέγειν ὁ φάσκων ἀδιαφόρους εἶναι; ἔτι εἰ ἅπασα μονὰς καὶ μονὰς ἄλλη δύο, ἡ ἐκ τῆς δυάδος αὐτῆς μονὰς καὶ ἡ ἐκ τῆς τριάδος αὐτῆς δυὰς ἔσται ἐκ διαφερουσῶν τε, καὶ πότερον προτέρα τῆς τριάδος ἢ ὑστέρα; μᾶλλον γὰρ ἔοικε προτέραν ἀναγκαῖον εἶναι· ἡ μὲν γὰρ ἅμα τῇ τριάδι, ἡ δ' ἅμα τῇ δυάδι τῶν μονάδων. καὶ ἡμεῖς μὲν ὑπολαμβάνομεν ὅλως ἓν καὶ ἕν, καὶ ἐὰν ᾖ ἴσα ἢ ἄνισα, δύο εἶναι, οἷον τἀγαθὸν καὶ τὸ κακόν, καὶ ἄνθρωπον καὶ ἵππον· οἱ δ' οὕτως λέγοντες οὐδὲ τὰς μονάδας. εἴτε δὲ μή ἐστι πλείων ἀριθμὸς ὁ τῆς τριάδος αὐτῆς ἢ ὁ τῆς δυάδος, θαυμαστόν· εἴτε ἐστὶ πλείων, δῆλον ὅτι καὶ ἴσος ἔνεστι τῇ δυάδι, ὥστε οὗτος ἀδιάφορος αὐτῇ τῇ δυάδι. ἀλλ' οὐκ ἐνδέχεται, εἰ πρῶτός τίς ἐστιν ἀριθμὸς καὶ δεύτερος· οὐδὲ
277 ἔσονται αἱ ἰδέαι ἀριθμοί. τοῦτο μὲν γὰρ αὐτὸ ὀρθῶς λέγουσιν οἱ διαφόρους τὰς μονάδας ἀξιοῦντες εἶναι, εἴπερ ἰδέαι ἔσονται, ὥσπερ εἴρηται πρότερον· ἓν γὰρ τὸ εἶδος. αἱ δὲ μονάδες εἰ ἀδιάφοροι, καὶ αἱ δυάδες καὶ αἱ τριάδες ἔσονται ἀδιάφοροι. διὸ καὶ τὸ ἀριθμεῖσθαι οὕτως, ἓν δύο, μὴ προσλαμβανομένου πρὸς τῷ ὑπάρχοντι ἀναγκαῖον αὐτοῖς

36. ἐξ om $G^b$.

1082b 1. ἰδέαι] ἐκ ζώων ἰδέαι $A^bG^bI^b$. | post εἰσίν add ἐκ ζῴων ἰδέαι ἔσονται *ias*. | 5. μονάδα om $A^b$. | τε] τε καὶ $G^bI^b$. | 7. ἴσος· τὰ δ' ἴσα] ἴσος τὰ δὲ ἴσως *T*, ἴσως τὰ δίκαια $G^b$. | 9. αὐτῇ coni. ex Alex, ταύτῃ *iascb*. | 10. λέγειν om $G^b$. | 12. ante ἐκ add δ' *ascb*, om $A^bi$ et fort. Alex. | 14. ὑστεραία $G^b$. | γὰρ] μὲν γὰρ $G^b$, δὲ *as*. | 15. ἀναγκαῖον προτέραν *as*. | 19. οἱ] οὐ *ET*. | δὴ $G^b$, om *as*. | 21. πλείω $A^b$. | 22. δεκάδι ἀλλ' $G^b$. | 27. εἰ om *T*. | διάφοροι $G^b$. | 27. 28. ἔσονται om *T*. | ἀδιάφοροι ἔσονται *as*.

λέγειν· οὔτε γὰρ ἡ γένεσις ἔσται ἐκ τῆς ἀορίστου δυάδος, οὔτ' ἰδέαν ἐνδέχεται εἶναι· ἐνυπάρξει γὰρ ἑτέρα ἰδέα ἐν ἑτέρᾳ, καὶ πάντα τὰ εἴδη ἑνὸς μέρη. διὸ πρὸς μὲν τὴν ὑπόθεσιν ὀρθῶς λέγουσιν, ὅλως δ' οὐκ ὀρθῶς· πολλὰ γὰρ ἀναιροῦσιν, ἐπεὶ τοῦτό γ' αὐτὸ ἔχειν τινὰ φήσουσιν ἀπορίαν, πότερον, ὅταν ἀριθμῶμεν καὶ εἴπωμεν ἓν δύο τρία, προσλαμβάνοντες ἀριθμοῦμεν ἢ κατὰ μερίδας. ποιοῦμεν δὲ ἀμφοτέρως· διὸ γελοῖον ταύτην εἰς τηλικαύτην τῆς οὐσίας ἀνάγειν διαφοράν.

8 Πάντων δὲ πρῶτον καλῶς ἔχει διορίσασθαι τίς ἀριθμοῦ 1083a διαφορὰ καὶ μονάδος, εἰ ἔστιν. ἀνάγκη δὴ ἢ κατὰ τὸ ποσὸν ἢ κατὰ τὸ ποιὸν διαφέρειν· τούτων δ' οὐδέτερον φαίνεται ἐνδέχεσθαι ὑπάρχον. ἀλλ' ᾗ ἀριθμός, κατὰ τὸ ποσόν. εἰ δὲ δὴ καὶ αἱ μονάδες τῷ ποσῷ διέφερον, κἂν ἀριθμὸς ἀριθμοῦ διέφερεν ὁ ἴσος τῷ πλήθει τῶν μονάδων. ἔτι πότερον αἱ πρῶται μείζους ἢ ἐλάττους, καὶ αἱ ὕστερον ἐπιδιδόασιν ἢ τοὐναντίον; πάντα γὰρ ταῦτα ἄλογα. ἀλλὰ μὴν οὐδὲ κατὰ τὸ ποιὸν διαφέρειν ἐνδέχεται. οὐθὲν γὰρ αὐταῖς οἷόν τε ὑπάρχειν πάθος· ὕστερον γὰρ καὶ τοῖς ἀριθμοῖς φασὶν ὑπάρχειν τὸ ποιὸν τοῦ ποσοῦ. ἔτι οὔτ' ἂν ἀπὸ τοῦ ἑνὸς τοῦτ' αὐταῖς γένοιτο οὔτ' ἂν ἀπὸ τῆς δυάδος· τὸ μὲν γὰρ οὐ ποιόν, ἡ δὲ ποσοποιόν· τοῦ γὰρ πολλὰ 278 τὰ ὄντα εἶναι αἰτία αὕτη ἡ φύσις. εἰ δ' ἄρα ἔχει πως ἄλλως, λεκτέον ἐν ἀρχῇ μάλιστα τοῦτο καὶ διοριστέον περὶ μονάδος διαφορᾶς, μάλιστα μὲν καὶ διότι ἀνάγκη ὑπάρχειν· εἰ δὲ μή, τίνα λέγουσιν; ὅτι μὲν οὖν, εἴπερ εἰσὶν ἀριθμοὶ αἱ ἰδέαι, οὔτε συμβλητὰς τὰς μονάδας ἁπάσας ἐνδέχεται εἶναι, φανερόν, οὔτε ἀσυμβλήτους ἀλλήλαις οὐδέτερον τῶν τρόπων. ἀλλὰ μὴν οὐδ' ὡς ἕτεροί τινες λέγουσι περὶ τῶν ἀριθμῶν λέγεται καλῶς. εἰσὶ δ' οὗτοι ὅσοι ἰδέας μὲν οὐκ οἴονται εἶναι οὔθ' ἁπλῶς οὔτε ὡς ἀριθμούς τινας οὔσας,

30. 31. οὔτ' ἰδέαν] οὔτε δὲ ἂν *T*. | 34. γ' om $G^b$. | 36. κατὰ τὰς μερίδας $G^bI^b$. | ποιοῦμεν δὲ ἀμφοτέρως] plura in textu videtur habuisse Alex. | 37. τῆς οὐσίας om $G^b$.

1083a 1. δὴ] τε *ETA^bas*. | 2. δ' $EA^bI^bi$. | ἢ om $G^b$. | 4. ᾗ $EG^bI^b$, ἢ *T*, fort. ὁ ἀριθμὸς ᾗ ἀριθμὸς c. Alex. | τὸ om $EI^b$. | 6. ὁ ἴσος om $G^b$. | 7. αἱ post καὶ om $TA^bas$. | ὕστεροι $G^b$. | 10. γὰρ om *as*, post ὕστερον distinguit *s*. | καὶ ἐν τοῖς $G^b$. | 13. οὐ om $G^b$. | ἡ] ἢ ὁ *T*. | ποσοποιόν $G^bI^b$, ποσὸν ποιόν *iascb* Alex, cf. Obs. p. 111. | 14. αὕτη $A^bias$. | ἡ φύσις] φησιν $G^b$. | 16. 17. ὑπάρχει $G^b$. | 20. τὸν *E*, om $G^b$. | τρόπον $G^b$. | τινες om $F^b$. | 22. ὡς om $G^b$.

Digitized by Google

τὰ δὲ μαθηματικὰ εἶναι καὶ τοὺς ἀριθμοὺς πρώτους τῶν ὄντων, καὶ ἀρχὴν αὐτῶν εἶναι αὐτὸ τὸ ἕν. ἄτοπον γὰρ τὸ ἓν μὲν εἶναί τι πρῶτον τῶν ἑνῶν, ὥσπερ ἐκεῖνοί φασι, δυάδα δὲ τῶν δυάδων μή, μηδὲ τριάδα τῶν τριάδων· τοῦ γὰρ αὐτοῦ λόγου πάντα ἐστίν. εἰ μὲν οὖν οὕτως ἔχει τὰ περὶ τὸν ἀριθμὸν καὶ θήσει τις εἶναι τὸν μαθηματικὸν μόνον, οὐκ ἔστι τὸ ἓν ἀρχή. ἀνάγκη γὰρ διαφέρειν τὸ ἓν τὸ τοιοῦτο τῶν ἄλλων μονάδων· εἰ δὲ τοῦτο, καὶ δυάδα τινὰ πρώτην τῶν δυάδων, ὁμοίως δὲ καὶ τοὺς ἄλλους ἀριθμοὺς τοὺς ἐφεξῆς. εἰ δέ ἐστι τὸ ἓν ἀρχή, ἀνάγκη μᾶλλον, ὥσπερ Πλάτων ἔλεγεν, ἔχειν τὰ περὶ τοὺς ἀριθμούς, καὶ εἶναί τινα δυάδα πρώτην καὶ τριάδα, καὶ οὐ συμβλητοὺς εἶναι τοὺς ἀριθμοὺς πρὸς ἀλλήλους. ἂν δ' αὖ πάλιν τις τιθῇ ταῦτα, εἴρηται ὅτι ἀδύνατα πολλὰ συμβαίνει. ἀλλὰ μὴν ἀνάγκη γε ἢ οὕτως ἢ ἐκείνως ἔχειν, ὥστ' εἰ μηδετέρως, οὐκ ἂν ἐνδέχοιτο εἶναι τὸν ἀριθμὸν χωριστόν. φανερὸν δ' ἐκ τούτων καὶ ὅτι 1083b
279 χείριστα λέγεται ὁ τρίτος τρόπος, τὸ εἶναι τὸν αὐτὸν ἀριθμὸν τὸν τῶν εἰδῶν καὶ τὸν μαθηματικόν. ἀνάγκη γὰρ εἰς μίαν δόξαν συμβαίνειν δύο ἁμαρτίας· οὔτε γὰρ μαθηματικὸν ἀριθμὸν ἐνδέχεται τοῦτον εἶναι τὸν τρόπον, ἀλλ' ἰδίας ὑποθέσεις ὑποθέμενον ἀνάγκη μηκύνειν· ὅσα τε τοῖς ὡς εἴδη τὸν ἀριθμὸν λέγουσι συμβαίνει, καὶ ταῦτα ἀναγκαῖον λέγειν. ὁ δὲ τῶν Πυθαγορείων τρόπος τῇ μὲν ἐλάττους ἔχει δυσχερείας τῶν πρότερον εἰρημένων, τῇ δὲ ἰδίας ἑτέρας. τὸ μὲν γὰρ μὴ χωριστὸν ποιεῖν τὸν ἀριθμὸν ἀφαιρεῖται πολλὰ τῶν ἀδυνάτων· τὸ δὲ τὰ σώματα ἐξ ἀριθμῶν εἶναι συγκείμενα, καὶ τὸν ἀριθμὸν τοῦτον εἶναι μαθηματικόν, ἀδύνατόν ἐστιν. οὔτε γὰρ ἄτομα μεγέθη λέγειν ἀληθές· εἴθ' ὅτι μάλιστα τοῦτον ἔχει τὸν τρόπον, οὐχ αἵ γε μονάδες μέγεθος ἔχουσιν· μέγεθος δ' ἐξ ἀδιαιρέτων συγκεῖσθαι πῶς δυνατόν; ἀλλὰ μὴν ὅ γ' ἀριθμητικὸς ἀριθμὸς

24. ἀρχὰς T, τὴν ἀρχὴν $G^b$. | 25. ἕνων $EA^bI^b$, ἑνάδων $G^b$. | 26. δὲ τῶν] δὲ καὶ T. | 27. 28. τοὺς ἀριθμοὺς $G^bI^b$. | 31. ὁμοίους $G^b$. | 33. τινα om $A^b$. | 33. 34. πρώτην δυάδα as. | 36. πολλὰ ἀδύνατα $G^bI^bc$. | γε om T. | 36. 37. ἢ ἐκείνως ἢ οὕτως as. | 37. ἐνεδέχετο T.

1083b 1. δ'] δὲ καὶ $G^b$. | 2. χείριστος $A^b$. | αὐτὸν om $G^b$. | 4. δύο συμβαίνειν Alex. | 6. μὴ κινεῖν T. | 9. ἔχει τὰς δυσχερείας Alex., δυσχερείας ἔχει as. | 14. εἴθ' $I^b$. | γε om T. | 15. ἔξουσιν Alex. | 16. ὁ γὰρ μαθηματικὸς T, ὁ γὰρ ἀριθμητικὸς as.

Digitized by Google

μοναδικός ἐστιν. ἐκεῖνοι δὲ τὸν ἀριθμὸν τὰ ὄντα λέγουσιν· τὰ γοῦν θεωρήματα προσάπτουσι τοῖς σώμασιν ὡς ἐξ ἐκείνων ὄντων τῶν ἀριθμῶν. εἰ τοίνυν ἀνάγκη μέν, εἴπερ ἐστὶν ἀριθμὸς τῶν ὄντων τι καθ' αὑτό, τούτων εἶναί τινα τῶν εἰρημένων τρόπων, οὐθένα δὲ τούτων ἐνδέχεται, φανερὸν ὡς οὐκ ἔστιν ἀριθμοῦ τις τοιαύτη φύσις οἵαν κατασκευάζουσιν οἱ χωριστὸν ποιοῦντες αὐτόν. ἔτι πότερον ἑκάστη μονὰς ἐκ τοῦ μεγάλου καὶ μικροῦ ἰσασθέντων ἐστίν, ἢ ἡ μὲν ἐκ τοῦ μικροῦ ἡ δ' ἐκ τοῦ μεγάλου; εἰ μὲν δὴ οὕτως, οὔτε ἐκ πάντων τῶν στοιχείων ἕκαστον, οὔτε ἀδιάφοροι αἱ μονάδες· ἐν τῇ μὲν γὰρ τὸ μέγα ἐν τῇ δὲ τὸ μικρὸν ὑπάρχει, ἐναντίον τῇ φύσει ὄν. ἔτι αἱ ἐν τῇ τριάδι αὐτῇ πῶς; μία γὰρ περιττή. ἀλλὰ διὰ τοῦτο ἴσως αὐτὸ τὸ ἓν ποιοῦσιν ἐν τῷ περιττῷ μέσον. εἰ δ' ἑκατέρα τῶν μονάδων ἐξ ἀμφοτέρων 280
ἐστὶν ἰσασθέντων, ἡ δυὰς πῶς ἔσται μία τις οὖσα φύσις ἐκ τοῦ μεγάλου καὶ μικροῦ; ἢ τί διοίσει τῆς μονάδος; ἔτι προτέρα ἡ μονὰς τῆς δυάδος· ἀναιρουμένης γὰρ ἀναιρεῖται ἡ δυάς. ἰδέαν οὖν ἰδέας ἀναγκαῖον αὐτὴν εἶναι, προτέραν γ' οὖσαν ἰδέας, καὶ γεγονέναι προτέραν. ἐκ τίνος οὖν; ἡ γὰρ ἀόριστος δυὰς δυοποιὸς ἦν. ἔτι ἀνάγκη ἤτοι ἄπειρον τὸν ἀριθμὸν εἶναι ἢ πεπερασμένον· χωριστὸν γὰρ ποιοῦσι τὸν
1084*a* ἀριθμόν, ὥστε οὐχ οἷόν τε μὴ οὐχὶ τούτων θάτερον ὑπάρχειν. ὅτι μὲν τοίνυν ἄπειρον οὐκ ἐνδέχεται, δῆλον· οὔτε γὰρ περιττὸς ὁ ἄπειρός ἐστιν οὔτ' ἄρτιος, ἡ δὲ γένεσις τῶν ἀριθμῶν ἢ περιττοῦ ἀριθμοῦ ἢ ἀρτίου ἀεί ἐστιν, ὡδὶ μὲν τοῦ ἑνὸς εἰς τὸν ἄρτιον πίπτοντος περιττός, ὡδὶ δὲ τῆς μὲν δυάδος ἐμπιπτούσης ὁ ἀφ' ἑνὸς διπλασιαζόμενος, ὡδὶ δὲ τῶν περιττῶν ὁ ἄλλος ἄρτιος. ἔτι εἰ πᾶσα ἰδέα τινός, οἱ δὲ ἀριθμοὶ ἰδέαι, καὶ ὁ ἄπειρος ἔσται ἰδέα τινός, ἢ τῶν αἰσθητῶν ἢ ἄλλου τινός. καίτοι οὔτε κατὰ τὴν θέσιν ἐνδέχεται οὔτε κατὰ λόγον, τάττουσι δ' οὕτω τὰς ἰδέας. εἰ δὲ πεπερασμένος, μέχρι πόσου; τοῦτο γὰρ δεῖ λέγεσθαι οὐ μόνον ὅτι, ἀλλὰ

17. ἀριθμητικὸν *I*ᵇ, om *G*ᵇ. | ὄντα] ὄντα τόνδε *I*ᵇ. | 19. εἰ] ἔτι *T A*ᵇ*as*. | τοίνυν] νῦν *T*. | 22. φύσις τοιαύτη *T*. | 23. τοῦ om *F*ᵇ. | 25. τῶν om *E*. | 26. ἕν τι *T*. | 27. ἐναντίαις *F*ᵇ. | 28. μία] μὲν *T*. | 34. ἰδέαν οὖν ἰδέας om *G*ᵇ. | γ' om *Tas*. | 35. προτέραν. ἐκ τίνος οὖν; scripsi cum Alex et Syr, προτέραν ἐκ τινοσοῦν· *iascb*. | 36. 37. εἶναι τὸν ἀριθμὸν *Tas*.

1084*a* 1. τούτω *T*. | 4. περὶ τοῦ *a*. | ἐστὶν ἀεὶ *Tas*. | 5. ἐμπίπτοντος π. *G*ᵇ*I*ᵇ. | περιττῶς *as*. | 8. ἔσται εἰ ἰδέα *A*ᵇ. | 9. 10. κατὰ τὸν λόγον *as*.

Digitized by Google

καὶ διότι. ἀλλὰ μὴν εἰ μέχρι τῆς δεκάδος ὁ ἀριθμός, ὥσπερ τινές φασιν, πρῶτον μὲν ταχὺ ἐπιλείψει τὰ εἴδη· οἷον εἰ ἔςιν ἡ τριὰς αὐτοάνθρωπος, τίς ἔςαι ἀριθμὸς αὐτοίππος; αὐτὸ γὰρ ἕκαςος ἀριθμὸς μέχρι δεκάδος. ἀνάγκη δὴ τῶν ἐν τȣ́τοις ἀριθμῶν τινὰ εἶναι· ȣ̓σίαι γὰρ καὶ ἰδέαι ȣ̂τοι. ἀλλ' ὅμως ἐπιλείψει· τὰ τȣ̃ ζῴȣ γὰρ εἴδη ὑπερέξει. ἅμα δὲ δῆλον ὅτι εἰ ȣ̆τως ἡ τριὰς αὐτοάνθρωπος, καὶ αἱ
281 ἄλλαι τριάδες· ὅμοιαι γὰρ αἱ ἐν τοῖς αὐτοῖς ἀριθμοῖς, ὥστ' ἄπειροι ἔσονται ἄνθρωποι, εἰ μὲν ἰδέα ἑκάστη τριάς, αὐτὸ ἕκαστος ἄνθρωπος, εἰ δὲ μή, ἀλλ' ἄνθρωποί γε. καὶ εἰ μέρος ὁ ἐλάττων τοῦ μείζονος, ὁ ἐκ τῶν συμβλητῶν μονάδων τῶν ἐν τῷ αὐτῷ ἀριθμῷ, εἰ δὴ ἡ τετρὰς αὐτὴ ἰδέα τινός ἐςιν, οἷον ἵππȣ ἢ λευκȣ̃, ὁ ἄνθρωπος ἔςαι μέρος ἵππȣ, εἰ δυὰς ὁ ἄνθρωπος. ἄτοπον δὲ καὶ τὸ τῆς μὲν δεκάδος εἶναι ἰδέαν, ἑνδεκάδος δὲ μή, μηδὲ τῶν ἐχομένων ἀριθμῶν. ἔτι δὲ καὶ ἔςι καὶ γίγνεται ἔνια καὶ ὧν εἴδη ȣ̓κ ἔςιν, ὥςε διὰ τί οὐ κἀκείνων εἴδη ἐςίν; ȣ̓κ ἄρα αἴτια τὰ εἴδη ἐςίν. ἔτι ἄτοπον εἰ ὁ ἀριθμὸς ὁ μέχρι τῆς δεκάδος μᾶλλόν τι ὂν καὶ εἶδος αὐτῆς τῆς δεκάδος· καίτοι τȣ̃ μὲν οὐκ ἔςι γένεσις ὡς ἑνός, τῆς δ' ἔςιν. πειρῶνται δ' ὡς τοῦ μέχρι τῆς δεκάδος τελείȣ ὄντος ἀριθμȣ̃. γεννῶσι γοῦν τὰ ἑπόμενα, οἷον τὸ κενόν, ἀναλογίαν, τὸ περιττόν, τὰ ἄλλα τὰ τοιαῦτα ἐντὸς τῆς δεκάδος· τὰ μὲν γὰρ ταῖς ἀρχαῖς ἀποδιδόασιν, οἷον κίνησιν, στάσιν, ἀγαθόν, κακόν, τὰ δ' ἄλλα τοῖς ἀριθμοῖς. διὸ τὸ ἓν τὸ περιττόν· εἰ γὰρ ἐν τῇ τριάδι, πῶς ἡ πεντὰς περιττόν; ἔτι τὰ μεγέθη καὶ ὅσα
τοιαῦτα μέχρι ποσȣ̃, οἷον ἡ πρώτη γραμμὴ ἄτομος, εἶτα 1084*b*
δυάς, εἶτα καὶ ταῦτα μέχρι δεκάδος. ἔτι εἰ ἔςι χωριςὸς ὁ ἀριθμός, ἀπορήσειεν ἄν τις πότερον πρότερον τὸ ἓν ἢ ἡ

12. εἰ] ἡ $G^b$. | 14. εἰ om $A^b$. | 16. δὴ] γὰρ $G^bI^b$. | ἐν τούτοις] γρ καὶ ἐντὸς τούτων *E*. | τινὰ scripsi c. Alex, τινὰς *iascb*. | 17. ὑπολείψει $G^b$. | ἤδη *as*. | ὑπάρξει *Tas*. | 18. εἰ om $G^b$. | 19. αὐτοῖς om $I^b$. | ἀριθμητικοῖς $G^b$. | 21. αὐτὸ ἕκαστος coni. ex *i*, αὐτοέκαστος *ascb*. | ante ἄνθρωπος add ἂν *Eas*. | 23. εἰ δὴ ἡ coni. ex Alex, εἰ δ' ἡ *ascb*, cf. Obs. p. 107. | αὐτὴ *Ti* Alex et γρ Cas, αὕτη *ascb*. | 25. ἵππου om *T*. | μὲν et 26. μὴ om $G^b$. | 28. ἄρα om $G^bI^b$. | 29. vel ὁ ante μέχρι omittendum videtur cum Alex, vel scribendum οὐ μέχρι τῆς ἑνδεκάδος e Syr. | 30. post ὂν fort. addendum τὸ ἕν, cf. Alex p. 749, 30 et Syr. | 36. εἰ] ἡ *T*. | τῇ om $G^b$. | 37. ὅτι *T*. | μεγέθη] μετὰ πάθη $A^b$, πάθη *T*.

1084*b* 1. ποσοῦ scripsi c. Alex, πόσου *iascb*, cf. Obs. p. 44. | τόμος *T*. | 3. ἡ om $G^b$.

Digitized by Google

τριὰς καὶ ἡ δυάς. ᾗ μὲν δὴ σύνθετος ὁ ἀριθμός, τὸ ἕν, ᾗ δὲ τὸ καθόλου πρότερον καὶ τὸ εἶδος, ὁ ἀριθμός· ἑκάστη γὰρ τῶν μονάδων μόριον τοῦ ἀριθμοῦ ὡς ὕλη, ὁ δ᾽ ὡς εἶδος. καὶ ἔστι μὲν ὡς ἡ ὀρθὴ προτέρα τῆς ὀξείας, ὅτι ὥρισται καὶ τῷ λόγῳ· ἔστι δ᾽ ὡς ἡ ὀξεῖα, ὅτι μέρος καὶ εἰς ταύτην διαιρεῖται. ὡς μὲν δὴ ὕλη ἡ ὀξεῖα καὶ τὸ στοιχεῖον καὶ ἡ μονὰς πρότερον, ὡς δὲ κατὰ τὸ εἶδος καὶ τὴν οὐσίαν τὴν 282 κατὰ τὸν λόγον ἡ ὀρθὴ καὶ τὸ ὅλον τὸ ἐκ τῆς ὕλης καὶ τοῦ εἴδους· ἐγγύτερον γὰρ τοῦ εἴδους καὶ οὗ ὁ λόγος τὸ ἄμφω, γενέσει δ᾽ ὕστερον. πῶς οὖν ἀρχὴ τὸ ἕν; ὅτι οὐ διαιρετόν, φασίν. ἀλλ᾽ ἀδιαίρετον καὶ τὸ καθόλου καὶ τὸ ἐπὶ μέρους καὶ τὸ στοιχεῖον, ἀλλὰ τρόπον ἄλλον, τὸ μὲν κατὰ λόγον τὸ δὲ κατὰ χρόνον. ποτέρως οὖν τὸ ἓν ἀρχή; ὥσπερ γὰρ εἴρηται, καὶ ἡ ὀρθὴ τῆς ὀξείας καὶ αὕτη ἐκείνης δοκεῖ προτέρα εἶναι καὶ ἑκατέρα μία. ἀμφοτέρως δὴ ποιοῦσι τὸ ἓν ἀρχήν. ἔστι δὲ ἀδύνατον· τὸ μὲν γὰρ ὡς εἶδος καὶ ἡ οὐσία, τὸ δ᾽ ὡς μέρος καὶ ὡς ὕλη. ἔστι γάρ πως ἓν ἑκάτερον τῇ μὲν ἀληθείᾳ δυνάμει, εἴ γε ὁ ἀριθμὸς ἕν τι καὶ μὴ ὡς σωρός, ἀλλ᾽ ἕτερος ἐξ ἑτέρων μονάδων, ὥσπερ φασίν· ἐντελεχείᾳ δ᾽ οὐκ ἔστι μονὰς ἑκατέρα. αἴτιον δὲ τῆς συμβαινούσης ἁμαρτίας ὅτι ἅμα ἐκ τῶν μαθημάτων ἐθήρευον καὶ ἐκ τῶν λόγων τῶν καθόλου, ὥστ᾽ ἐξ ἐκείνων μὲν ὡς στιγμὴν τὸ ἓν καὶ τὴν ἀρχὴν ἔθηκαν· ἡ γὰρ μονὰς στιγμὴ ἄθετός ἐστιν. καθάπερ οὖν καὶ ἕτεροί τινες ἐκ τοῦ ἐλαχίστου τὰ ὄντα συνετίθεσαν, καὶ οὗτοι. ὥστε γίγνεται ἡ μονὰς ὕλη τῶν ἀριθμῶν καὶ ἅμα προτέρα τῆς δυάδος, πάλιν δ᾽ ὑστέρα ὡς ὅλου τινὸς καὶ ἑνὸς καὶ εἴδους τῆς δυάδος οὔσης. διὰ δὲ τὸ καθόλου ζητεῖν τὸ κατηγορούμενον ἓν καὶ οὕτως ὡς μέρος ἔλεγον. ταῦτα δ᾽ ἅμα τῷ αὐτῷ ἀδύνατον ὑπάρχειν. εἰ δὲ τὸ ἓν αὐτὸ δεῖ μόνον ἄθετον εἶναι (οὐθενὶ γὰρ διαφέρει ἢ ὅτι ἀρχή), καὶ ἡ μὲν δυὰς διαιρετὴ ἡ δὲ μονὰς οὔ, ὁμοιοτέρα ἂν εἴη τῷ ἑνὶ αὐτῷ ἡ μονάς. εἰ δ᾽ ἡ μονάς, κἀκεῖνο τῇ μονάδι ἢ τῇ δυάδι· ὥστε προτέρα ἂν εἴη ἑκατέρα ἡ 283

7. καὶ post ὥρισται om $G^b$. | 9. ἡ om $G^bI^b$. | 12. τὸ om *as*. | 12. 13. ἄμφω τῆς ὕλης γενέσει $G^bI^b$. | 13. ἀδιαίρετόν *T* et omisso οὐ $G^b$. | 14. μέρος *T*. | 15. post στοιχεῖον punctum *b*. | 17. ἡ ὀρθότης ὀξείας καὶ αὐτῆς ἐκείνης $G^b$. | 18. δὲ $G^b$. | 19. ἔστι $TG^bI^b$ γρ Cas et fort. *i* Alex, ἔτι *ascb*, cf. Obs. p. 93. | εἶδος] μέρος $G^bI^b$. | 20. καὶ om $ETG^bI^bc$. | 22. ἕτερος] ἕτερον $TA^bias$. | 25. ἐκ om $F^b$. | 30. ὅλου] ὅλον *as*. | 33. δεῖ] δὴ $I^b$. | 36. ἡ om $I^b$.

Digitized by Google

μονὰς τῆς δυάδος. οὔ φασι δέ· γεννῶσι γοῦν τὴν δυάδα πρῶτον. ἔτι εἰ ἔστιν ἡ δυὰς ἕν τι αὐτὴ καὶ ἡ τριὰς αὐτή, 1085*a* ἄμφω δυάς. ἐκ τίνος οὖν αὕτη ἡ δυάς;

9 Ἀπορήσειε δ' ἄν τις καὶ ἐπεὶ ἁφὴ μὲν οὐκ ἔστιν ἐν τοῖς ἀριθμοῖς, τὸ δ' ἐφεξῆς, ὅσων μή ἐστι μεταξὺ μονάδων, οἷον τῶν ἐν τῇ δυάδι ἢ τῇ τριάδι, πότερον ἐφεξῆς τῷ ἑνὶ αὐτῷ ἢ οὔ, καὶ πότερον ἡ δυὰς προτέρα τῶ ἐφεξῆς ἢ τῶν μονάδων ὁποτεραοῦν. ὁμοίως δὲ καὶ περὶ τῶν ὕστερον γενῶν τοῦ ἀριθμοῦ συμβαίνει τὰ δυσχερῆ, γραμμῆς τε καὶ ἐπιπέδου καὶ σώματος. οἱ μὲν γὰρ ἐκ τῶν εἰδῶν τοῦ μεγάλου καὶ τοῦ μικροῦ ποιοῦσιν, οἷον ἐκ μακροῦ μὲν καὶ βραχέος τὰ μήκη, πλατέος δὲ καὶ στενοῦ τὰ ἐπίπεδα, ἐκ βαθέος δὲ καὶ ταπεινοῦ τοὺς ὄγκους· ταῦτα δέ ἐστιν εἴδη τοῦ μεγάλου καὶ μικροῦ. τὴν δὲ κατὰ τὸ ἓν ἀρχὴν ἄλλοι ἄλλως τιθέασι τῶν τοιούτων. καὶ ἐν τούτοις δὲ μυρία φαίνεται τά τε ἀδύνατα καὶ τὰ πλασματώδη καὶ τὰ ὑπεναντία πᾶσι τοῖς εὐλόγοις. ἀπολελυμένα τε γὰρ ἀλλήλων συμβαίνει, εἰ μὴ συνακολουθοῦσι καὶ αἱ ἀρχαί, ὥστ' εἶναι τὸ πλατὺ καὶ στενὸν καὶ μακρὸν καὶ βραχύ· εἰ δὲ τοῦτο, ἔσται τὸ ἐπίπεδον γραμμὴ καὶ τὸ στερεὸν ἐπίπεδον. ἔτι δὲ γωνίαι καὶ σχήματα καὶ τὰ τοιαῦτα πῶς ἀποδοθήσεται; ταὐτό τε συμβαίνει τοῖς περὶ τὸν ἀριθμόν· ταῦτα γὰρ πάθη μεγέθους ἐστίν, ἀλλ' οὐκ ἐκ τούτων τὸ μέγεθος, ὥσπερ οὐδ' ἐξ εὐθέος καὶ καμπύλου τὸ μῆκος, οὐδ' ἐκ λείου καὶ τραχέος τὰ στερεά. πάντων δὲ κοινὸν τούτων ὅπερ ἐπὶ τῶν εἰδῶν τῶν ὡς γένους συμβαίνει διαπορεῖν, ὅταν τις θῇ τὰ καθόλου, πότερον τὸ ζῷον αὐτὸ ἐν τῷ ζῴῳ ἢ ἕτερον αὐτοῦ ζῴου. τοῦτο γὰρ μὴ 284 χωριστοῦ μὲν ὄντος οὐδεμίαν ποιήσει ἀπορίαν· χωριστοῦ δ', ὥσπερ οἱ ταῦτα λέγοντές φασι, τοῦ ἑνὸς καὶ τῶν ἀριθμῶν οὐ ῥᾴδιον λῦσαι, εἰ μὴ ῥᾴδιον δεῖ λέγειν τὸ ἀδύνατον. ὅταν γὰρ νοῇ τις ἐν τῇ δυάδι τὸ ἓν καὶ ὅλως ἐν ἀριθμῷ, πότε-

37. δυάδα] δεκάδα **as**.

1085*a* 1. πρώτην **E**. | ἔστιν om **T**. | τριὰς αὕτη $G^b I^b$. | 2. ἢ ἄμφω $I^b$. | αὐτὴ **E**. | 4. ὅσον $G^b$. | 5. τὸν **E**. | 6. τῷ scripsi cum Alex, τῶν **iascb**. | 7. ὁποτεραοῦν coni. ex Alex, ὁποτερραοῦν **iascb**. | ὑστέρων **T**. | 9. ἡ **T**, εἰ $G^b$. | 11. βαρέος **a**. | 17. καὶ ante αἱ om $G^b I^b$. | 18. τὸ] καὶ τὸ **T**. | 20. ταυτότητι συμβαίνει $G^b$. | 23. ταχέως $G^b$. | 25. θῇ] τιθῇ **T**. | 26. τούτου **Tas**. | 27. πονήσει ἀπορίαν $G^b$, ἀπορίαν ποιήσει **T**. | 28. φασι om $G^b I^b$. | τὸ $G^b$. | τὸν ἀριθμὸν **T**. | 29. διαλῦσαι **Tas**.



Digitized by Google

ρον αὐτὸ νοεῖ τι ἢ ἕτερον; οἱ μὲν οὖν τὰ μεγέθη γεννῶσιν ἐκ τοιαύτης ὕλης, ἕτεροι δὲ ἐκ τῆς στιγμῆς (ἡ δὲ στιγμὴ αὐτοῖς δοκεῖ εἶναι οὐχ ἓν ἀλλ' οἷον τὸ ἕν) καὶ ἄλλης ὕλης οἵας τὸ πλῆθος, ἀλλ' οὐ πλήθους· περὶ ὧν οὐθὲν ἧττον συμβαίνει τὰ αὐτὰ ἀπορεῖν. εἰ μὲν γὰρ μία ἡ ὕλη, ταὐτὸ γραμμὴ καὶ ἐπίπεδον καὶ στερεόν· ἐκ γὰρ τῶν αὐτῶν τὸ αὐτὸ καὶ ἓν
1085*b* ἔσται. εἰ δὲ πλείους αἱ ὗλαι, καὶ ἑτέρα μὲν γραμμῆς ἑτέρα δὲ τοῦ ἐπιπέδου καὶ ἄλλη τοῦ στερεοῦ, ἤτοι ἀκολουθοῦσιν ἀλλήλαις ἢ οὔ, ὥστε ταὐτὰ συμβήσεται καὶ οὕτως· ἢ γὰρ οὐχ ἕξει τὸ ἐπίπεδον γραμμὴν ἢ ἔσται γραμμή. ἔτι πῶς μὲν ἐνδέχεται εἶναι ἐκ τοῦ ἑνὸς καὶ πλήθους τὸν ἀριθμὸν οὐθὲν ἐπιχειρεῖται· ὅπως δ' οὖν λέγουσι ταὐτὰ συμβαίνει δυσχερῆ ἅπερ καὶ τοῖς ἐκ τοῦ ἑνὸς καὶ ἐκ τῆς δυάδος τῆς ἀορίστου. ὁ μὲν γὰρ ἐκ τοῦ κατηγορουμένου καθόλου γεννᾷ τὸν ἀριθμὸν καὶ οὐ τινὸς πλήθους, ὁ δ' ἐκ τινὸς πλήθους, τοῦ πρώτου δέ· τὴν γὰρ δυάδα πρῶτόν τι εἶναι πλῆθος. ὥστε διαφέρει οὐθὲν ὡς εἰπεῖν, ἀλλ' αἱ ἀπορίαι αὗται ἀκολουθήσουσι, μῖξις ἢ θέσις ἢ κρᾶσις ἢ γένεσις καὶ ὅσα ἄλλα τοιαῦτα. μάλιστα δ' ἄν τις ἐπιζητήσειεν, εἰ μία ἑκάστη μονάς, ἐκ τίνος ἐστίν· οὐ γὰρ δὴ αὐτό γε τὸ ἓν ἑκάστη. ἀνάγκη δ' ἢ ἐκ τοῦ ἑνὸς αὐτοῦ εἶναι καὶ πλήθους, ἢ μορίου τοῦ πλήθους. τὸ μὲν οὖν πλῆθός τι εἶναι φάναι τὴν μονάδα ἀδύνατον, ἀδιαίρετόν γ' 285
οὖσαν· τὸ δ' ἐκ μορίου ἄλλας ἔχει πολλὰς δυσχερείας· ἀδιαίρετόν τε γὰρ ἕκαστον ἀναγκαῖον εἶναι τῶν μορίων, ἢ πλῆθος εἶναι καὶ τὴν μονάδα διαιρετήν, καὶ μὴ στοιχεῖον εἶναι τὸ ἓν καὶ τὸ πλῆθος· ἡ γὰρ μονὰς ἑκάστη οὐκ ἐκ πλήθους καὶ ἑνός. ἔτι οὐθὲν ἄλλο ποιεῖ ὁ τοῦτο λέγων ἀλλ' ἢ ἀριθμὸν ἕτερον· τὸ γὰρ πλῆθος ἀδιαιρέτων ἐστὶν ἀριθμός. ἔτι ζητητέον καὶ παρὰ τοὺς οὕτω λέγοντας, πότερον ἄπειρος ὁ ἀριθμὸς ἢ πεπερασμένος. ὑπῆρχε γάρ, ὡς ἔοικε, καὶ πεπερασμένον πλῆθος, ἐξ οὗ αἱ πεπερασμέναι μονάδες καὶ τοῦ

31. τι fort. omittendum. | ἢ om $G^b$. | 31. 32. ἐκ τῆς τοιαύτης *Tas*. | 33. ὕλης om $I^b$. | 34. 35. τὰ αὐτὰ] ταῦτα *T*.

1085*b* 1. 2. γραμμὴ ἑτέρα δὲ ἐπίπεδον $G^b$. | 3. ταῦτα $A^b$*a*, ταῦτα αὐτὰ $G^b$. | 6. ταῦτα *a*. | δυσχερῆ συμβαίνει $G^bI^b$. | 9. οὐ] οὔτι *T*. | ὁ δ'] οὐδ' *E*. | 11. ὡς et αἱ om $G^b$. | 13. εἰ om $G^b$. | ἐκ τινός *a*. | 14. δ' ἢ] δὴ *ETas*. | 15. καὶ πλήθους εἶναι *T*. | 16. τὴν μονάδα om *T*. | ἀδιόριστόν *E*. | γ' om $G^bI^b$. | 17. ἄλλως $G^b$. | 18. τε om $G^bI^b$. | 19. καὶ utrumque om $G^b$. | 21. ἔτι — 22. ἀριθμός non interpretatur Alex. | 21. λέγων τοῦτο *Tas*. | 23. παρὰ] περὶ $F^b$*Mas*, *ab i*. | 23. 24. ὁ ἀριθμὸς ἄπειρος *T*.

Digitized by Google

*ἑνός· ἐςί τε ἕτερον αὐτὸ πλῆθος καὶ πλῆθος ἄπειρον. ποῖον οὖν πλῆθος ςοιχεῖόν ἐςι καὶ τὸ ἕν; ὁμοίως δὲ καὶ περὶ στιγμῆς ἄν τις ζητήσειε καὶ τοῦ ςοιχείου ἐξ οὗ ποιοῦσι τὰ μεγέθη· οὐ γὰρ μία γε μόνον στιγμή ἐςιν αὕτη. τῶν γοῦν ἄλλων ςιγμῶν ἑκάςη ἐκ τίνος; οὐ γὰρ δὴ ἔκ γε διαςήματός τινος καὶ αὐτῆς ςιγμῆς. ἀλλὰ μὴν οὐδὲ μόρια ἀδιαίρετα ἐνδέχεται τοῦ διαςήματος εἶναι μόρια, ὥσπερ τοῦ πλήθους ἐξ ὧν αἱ μονάδες· ὁ μὲν γὰρ ἀριθμὸς ἐξ ἀδιαιρέτων σύγκειται, τὰ δὲ μεγέθη οὔ. πάντα δὴ ταῦτα καὶ ἄλλα τοιαῦτα φανερὸν ποιεῖ ὅτι ἀδύνατον εἶναι τὸν ἀριθμὸν καὶ τὰ μεγέθη χωριςά. ἔτι δὲ τὸ διαφωνεῖν τοὺς πρώτους περὶ τῶν ἀριθμῶν σημεῖον ὅτι τὰ πράγματα ταῦτα οὐκ ὄντα* 1086*a* *ἀληθῆ παρέχει τὴν ταραχὴν αὐτοῖς. οἱ μὲν γὰρ τὰ μαθηματικὰ μόνον ποιοῦντες παρὰ τὰ αἰσθητά, ὁρῶντες τὴν περὶ τὰ εἴδη δυσχέρειαν καὶ πλάσιν, ἀπέστησαν ἀπὸ τοῦ εἰδητικοῦ ἀριθμοῦ καὶ τὸν μαθηματικὸν ἐποίησαν· οἱ δὲ τὰ* 286 *εἴδη βουλόμενοι ἅμα καὶ ἀριθμοὺς ποιεῖν, οὐχ ὁρῶντες δέ, εἰ τὰς ἀρχάς τις ταύτας θήσεται, πῶς ἔςαι ὁ μαθηματικὸς ἀριθμὸς παρὰ τὸν εἰδητικόν, τὸν αὐτὸν εἰδητικὸν καὶ μαθηματικὸν ἐποίησαν ἀριθμὸν τῷ λόγῳ, ἐπεὶ ἔργῳ γε ἀνῄρηται ὁ μαθηματικός· ἰδίας γὰρ καὶ οὐ μαθηματικὰς ὑποθέσεις λέγουσιν. ὁ δὲ πρῶτος θέμενος τά τε εἴδη εἶναι καὶ ἀριθμοὺς τὰ εἴδη καὶ τὰ μαθηματικὰ εἶναι εὐλόγως ἐχώρισεν. ὥςε πάντας συμβαίνει κατὰ μέν τι λέγειν ὀρθῶς, ὅλως δ' οὐκ ὀρθῶς. καὶ αὐτοὶ δὲ ὁμολογοῦσιν οὐ ταὐτὰ λέγοντες ἀλλὰ τἀναντία. αἴτιον δ' ὅτι αἱ ὑποθέσεις καὶ αἱ ἀρχαὶ ψευδεῖς. χαλεπὸν δ' ἐκ μὴ καλῶς ἐχόντων λέγειν καλῶς, κατ' Ἐπίχαρμον· ἀρτίως τε γὰρ λέλεκται, καὶ εὐθέως φαίνεται οὐ καλῶς ἔχον. ἀλλὰ περὶ μὲν τῶν ἀριθμῶν ἱκανὰ τὰ διηπορημένα καὶ διωρισμένα· μᾶλλον γὰρ ἐκ πλειόνων ἂν*

26. *ἐστί τε*] *ἔτι τε* fort. Alex. | *αὐτὸ ἕτερον* ***T***. | 27. *καὶ στοιχεῖόν ἐστι* ***Ts***. | 29. *γε μόνον* om $G^b$. | 30. *ἔκ τινος* ***as***. | *τε* ***T***. | 31. 32. ***divisibiles i***. | 32. *τοῦ*] *τὰ τοῦ* ***as***. | *μόριον* $G^b$. | 35. 36. *ἀριθμὸν χωριστὸν καὶ τὰ μεγέθη. ὅτι δὲ* $G^bI^b$. | 36. *πρώτους*] *τρόπους* $TA^b$ et *γρ* Alex, *τόπους* $G^bI^b$. | *περὶ* om $G^b$.

1086*a* 1. *αὐτὰ* ***Ei***, fort. recte. | 3. *περὶ* ***Tas***. | 7. *εἰς* $EG^bI^b$. | *τις* om ***T***. | *ταῦτα* $G^b$. | 9. *γε* om $G^b$. | 10. *ἰδέας* $EG^bI^b$. | *καὶ* om $A^b$. | 11. *τε* add $G^bI^b$. | 12. 13. *μαθηματικὰ ὡς λόγος ἐχώρησεν* $G^b$. | 16. *καλῶς* om $G^b$. | 17. *τε* om ***T***. | *λέλεκται*] *λέγεται* ***as***. | 19. *ἂν ἐκ πλειόνων* ***Tas***. | 19. 20. *ἂν ἔτι* om $F^b$.



Digitized by Google

ἔτι πεισθείη τις πεπεισμένος, πρὸς δὲ τὸ πεισθῆναι μὴ πεπεισμένος οὐθὲν μᾶλλον. περὶ δὲ τῶν πρώτων ἀρχῶν καὶ τῶν πρώτων αἰτίων καὶ στοιχείων ὅσα μὲν λέγουσιν οἱ περὶ μόνης τῆς αἰσθητῆς οὐσίας διορίζοντες, τὰ μὲν ἐν τοῖς περὶ φύσεως εἴρηται, τὰ δ' οὐκ ἔστι τῆς μεθόδου τῆς νῦν· ὅσα δὲ οἱ φάσκοντες εἶναι παρὰ τὰς αἰσθητὰς ἑτέρας οὐσίας, ἐχόμενόν ἐστι θεωρῆσαι τῶν εἰρημένων. ἐπεὶ οὖν λέγουσί τινες τοιαύτας εἶναι τὰς ἰδέας καὶ τοὺς ἀριθμούς, καὶ τὰ τούτων στοιχεῖα τῶν ὄντων εἶναι στοιχεῖα καὶ ἀρχάς, σκεπτέον περὶ τούτων τί λέγουσι καὶ πῶς λέγουσιν. οἱ μὲν οὖν ἀριθμοὺς ποιοῦντες μόνον καὶ τούτους μαθηματικοὺς ὕστερον ἐπισκεπτέοι· τῶν δὲ τὰς ἰδέας λεγόντων ἅμα τόν τε τρόπον θεάσαιτ' ἄν τις καὶ τὴν ἀπορίαν τὴν περὶ αὐτῶν. ἅμα γὰρ καθόλου τε ὡς οὐσίας ποιοῦσι τὰς ἰδέας καὶ πάλιν ὡς χωριστὰς καὶ 287
τῶν καθ' ἕκαστον. ταῦτα δ' ὅτι οὐκ ἐνδέχεται διηπόρηται πρότερον. αἴτιον δὲ τοῦ συνάψαι ταῦτα εἰς ταὐτὸν τοῖς λέγουσι τὰς ἰδέας καθόλου, ὅτι τοῖς αἰσθητοῖς οὐ τὰς αὐτὰς οὐσίας ἐποίουν. τὰ μὲν οὖν ἐν τοῖς αἰσθητοῖς καθ' ἕκαστα ῥεῖν
1086b ἐνόμιζον καὶ μένειν οὐθὲν αὐτῶν, τὸ δὲ καθόλου παρὰ ταῦτα εἶναί τε καὶ ἕτερόν τι εἶναι. τοῦτο δ', ὥσπερ ἐν τοῖς ἔμπροσθεν ἐλέγομεν, ἐκίνησε μὲν Σωκράτης διὰ τοὺς ὁρισμούς, οὐ μὴν ἐχώρισέ γε τῶν καθ' ἕκαστον· καὶ τοῦτο ὀρθῶς ἐνόησεν ὁ χωρίσας. δηλοῖ δὲ ἐκ τῶν ἔργων· ἄνευ μὲν γὰρ τοῦ καθόλου οὐκ ἔστιν ἐπιστήμην λαβεῖν, τὸ δὲ χωρίζειν αἴτιον τῶν συμβαινόντων δυσχερῶν περὶ τὰς ἰδέας ἐστίν. οἱ δ' ὡς ἀναγκαῖον, εἴπερ ἔσονταί τινες οὐσίαι παρὰ τὰς αἰσθητὰς καὶ ῥεούσας, χωριστὰς εἶναι, ἄλλας μὲν οὐκ εἶχον, ταύτας δὲ τὰς καθόλου λεγομένας ἐξέθεσαν, ὥστε συμβαίνειν σχεδὸν τὰς αὐτὰς φύσεις εἶναι τὰς καθόλου καὶ τὰς καθ' ἕκαστον. αὕτη μὲν οὖν αὐτὴ καθ' αὑτὴν εἴη τις ἂν δυσχέρεια τῶν εἰρημένων.

10 Ὃ δὲ καὶ τοῖς λέγουσι τὰς ἰδέας ἔχει τινὰ ἀπορίαν

20. 21. πρὸς — πεπεισμένος om $G^b$. | πρὸς] περὶ as. | 20. 21. πεπεισμένος] πειρασμένος a, πεπειρασμένος s, fort. πεπεισμένον vel πεπεισμένους. | 28. τῶν — στοιχεῖα om $G^b$. | 30. ἐπισκεπτέον a. | 31. ἂν om T. | 32. γὰρ om $G^b$. | 33. τε ὡς $G^b I^b b$, vulgo et c τέως, τε post 32. ἅμα Alex. | 35. τὸ συνάψαι ταυτὸ εἰ ταυτὸν T.

1086 *b* 2. τε om $G^b I^b$. | 5. μὴ χωρίσας Alex. | τοῦ] τῶν Tas. | 8. παρὰ] ὑπὲρ $G^b$. | 9. χωρὶς T. | ἄλλας] ἀλλ' αἱ a. | 10. συμβαίνει Tasc. | 13. λεγομένων $G^b$.

Digitized by Google

καὶ τοῖς μὴ λέγουσιν, καὶ κατ' ἀρχὰς ἐν τοῖς διαπορήμασιν ἐλέχθη πρότερον, λέγωμεν νῦν. εἰ μὲν γάρ τις μὴ θήσει τὰς οὐσίας εἶναι κεχωρισμένας, καὶ τὸν τρόπον τοῦτον ὡς λέγεται τὰ καθ' ἕκαςα τῶν ὄντων, ἀναιρήσει τὴν ἐσίαν, ὡς βουλόμεθα λέγειν· ἂν δέ τις θῇ τὰς οὐσίας χωριστάς, πῶς θήσει τὰ στοιχεῖα καὶ τὰς ἀρχὰς αὐτῶν; εἰ μὲν γὰρ καθ' ἕκαςον καὶ μὴ καθόλε, τοσαῦτ' ἔςαι τὰ ὄντα ὅσαπερ τὰ ςοιχεῖα, καὶ ἐκ ἐπιςητὰ τὰ ςοιχεῖα. ἔςωσαν γὰρ αἱ 288 μὲν ἐν τῇ φωνῇ συλλαβαὶ οὐσίαι, τὰ δὲ στοιχεῖα αὐτῶν ςοιχεῖα τῶν ἐσιῶν· ἀνάγκη δὴ τὸ *ΒΑ* ἓν εἶναι καὶ ἑκάςην τῶν συλλαβῶν μίαν, εἴπερ μὴ καθόλου καὶ τῷ εἴδει αἱ αὐταί, ἀλλὰ μία ἑκάστη τῷ ἀριθμῷ καὶ τόδε τι καὶ μὴ ὁμώνυμον, ἔτι δ' αὐτὸ ὅ ἐςιν ἓν ἕκαςον τιθέασιν. εἰ δ' αἱ συλλαβαί, ἕτω καὶ ἐξ ὧν εἰσίν· ἐκ ἔςαι ἄρα πλείω ἄλφα ἑνός, ἐδὲ τῶν ἄλλων ςοιχείων ἐθὲν κατὰ τὸν αὐτὸν λόγον ὅνπερ ἐδὲ τῶν ἄλλων συλλαβῶν ἡ αὐτὴ ἄλλη καὶ ἄλλη. ἀλλὰ μὴν εἰ τἕτο, ἐκ ἔςαι παρὰ τὰ ςοιχεῖα ἕτερα ὄντα, ἀλλὰ μόνον τὰ ςοιχεῖα. ἔτι δὲ οὐδ' ἐπιςητὰ τὰ ςοιχεῖα· ἐ γὰρ καθόλου, ἡ δ' ἐπιστήμη τῶν καθόλου. δῆλον δ' ἔκ τε τῶν ἀποδείξεων καὶ τῶν ὁρισμῶν· ἐ γὰρ γίγνεται συλλογισμὸς ὅτι τόδε τὸ τρίγωνον δύο ὀρθαῖς, εἰ μὴ πᾶν τρίγωνον δύο ὀρθαῖς, ἐδ' ὅτι ὁδὶ ὁ ἄνθρωπος ζῷον, εἰ μὴ πᾶς ἄνθρωπος ζῷον. ἀλλὰ μὴν εἴγε καθόλου αἱ ἀρχαὶ ἢ καὶ αἱ ἐκ τέτων ἐσίαι καθόλου, ἔςαι μὴ ἐσία πρότερον ἐσίας· τὸ 1087*a* μὲν γὰρ καθόλε ἐκ ἐσία, τὸ δὲ ςοιχεῖον καὶ ἡ ἀρχὴ καθόλου· πρότερον δὲ τὸ στοιχεῖον καὶ ἡ ἀρχὴ ὧν ἀρχὴ καὶ στοιχεῖόν ἐστιν. ταῦτά τε δὴ πάντα συμβαίνει εὐλόγως, ὅταν ἐκ στοιχείων τε ποιῶσι τὰς ἰδέας καὶ παρὰ τὰς τὸ αὐτὸ εἶδος ἐχέσας ἐσίας καὶ ἰδέας ἕν τι ἀξιῶσιν εἶναι κε-

15. καὶ ante κατ' om *T*. | 16. λέγομεν *EG*[b]*I*[b]. | 16. 17. τις μαθήσει *T*. | τις post θήσει Alex. | 17. τοῦτον τὸν τρ. Alex. | 19. ὡς βουλ. λέγ.] ὅπερ οὐ βουλόμεθα fort. Alex. | τις τιθῇ *ETI*[b]. | 20. πῶς θήσει] προθήσει *T*. | 21. μὴ om *i*. | 24. δὲ *TA*[b]*ia*. | ἓν om *A*[b]*ias*. | 27. post ὁμώνυμον punctum *cb*. | εἰ] ἐὰν *Ea*. | 28. post οὕτω comma posuisse videtur Alex. | 29. στοιχείων — 30. ἄλλων om *G*[b]. | 32. δὲ om *Ta*. | οὐδ' ἐπιστητὰ] τὸ ἐπιστατὰ *a*. | 34. τε om *A*[b]*as*. | 35. 36. τρίγωνον om *A*[b]*ias*. | 36. ὀρθαί *ETA*[b]*iasc*. | 37. καὶ αἱ *A*[b]*ias* Alex, καὶ *F*[b]*cb*, αἱ *M*.

1087*a* 1. οὐσίαι αἱ καθόλου *Eas*, οὐσίαι ἢ καθόλου *T*. | ἔσται τι μὴ *G*[b]*I*[b]. | 3. πρότερον γὰρ στοιχεῖον *T*. | 4. ἔσται *G*[b]. | τε om *T*. | 6. αὐτὸ εἶδος] αὐτοεῖδος Alex.

Digitized by Google

*χωρισμένον. εἰ δὲ μηθὲν κωλύει ὥσπερ ἐπὶ τῶν τῆς φωνῆς στοιχείων πολλὰ εἶναι τὰ ἄλφα καὶ τὰ βῆτα καὶ μηθὲν εἶναι παρὰ τὰ πολλὰ αὐτὸ ἄλφα καὶ αὐτὸ βῆτα, ἔσονται ἕνεκά γε τούτου ἄπειροι αἱ ὅμοιαι συλλαβαί. τὸ δὲ τὴν ἐπιςήμην εἶναι καθόλου πᾶσαν, ὥςε ἀναγκαῖον εἶναι καὶ τὰς τῶν ὄντων ἀρχὰς καθόλου εἶναι καὶ μὴ οὐσίας κεχωρισμένας, ἔχει μὲν μάλις' ἀπορίαν τῶν λεχθέντων, ȣ̓ μὴν* 289
*ἀλλ' ἔςι μὲν ὡς ἀληθὲς τὸ λεγόμενον, ἔςι δ' ὡς ȣ̓κ ἀληθές. ἡ γὰρ ἐπιςήμη, ὥσπερ καὶ τὸ ἐπίςασθαι, διττόν, ὧν τὸ μὲν δυνάμει τὸ δὲ ἐνεργείᾳ. ἡ μὲν ȣ̓͂ν δύναμις ὡς ὕλη [τȣ͂] καθόλȣ ȣ̓͂σα καὶ ἀόριςος τȣ͂ καθόλȣ καὶ ἀορίςȣ ἐστίν, ἡ δ' ἐνέργεια ὡρισμένη καὶ ὡρισμένου τόδε τι ȣ̓͂σα τȣ͂δέ τινος. ἀλλὰ κατὰ συμβεβηκὸς ἡ ὄψις τὸ καθόλου χρῶμα ὁρᾷ, ὅτι τόδε τὸ χρῶμα ὃ ὁρᾷ χρῶμά ἐςιν, καὶ ὃ θεωρεῖ ὁ γραμματικός, τόδε τὸ ἄλφα ἄλφα· ἐπεὶ εἰ ἀνάγκη τὰς ἀρχὰς καθόλου εἶναι, ἀνάγκη καὶ τὰ ἐκ τȣ́των καθόλου, ὥσπερ ἐπὶ τῶν ἀποδείξεων. εἰ δὲ τȣ͂το, ȣ̓κ ἔςαι χωριςὸν ȣ̓θὲν ȣ̓δ' ȣ̓σία. ἀλλὰ δῆλον ὅτι ἔςι μὲν ὡς ἡ ἐπιςήμη καθόλου, ἔστι δ' ὡς οὔ.*

# N.

*Περὶ μὲν ȣ̓͂ν τῆς ȣ̓σίας ταύτης εἰρήσθω τοσαῦτα, πάντες δὲ ποιȣ͂σι τὰς ἀρχὰς ἐναντίας, ὥσπερ ἐν τοῖς φυσικοῖς, καὶ περὶ τὰς ἀκινήτους ȣ̓σίας ὁμοίως. εἰ δὲ τῆς τῶν ἁπάντων ἀρχῆς μὴ ἐνδέχεται πρότερόν τι εἶναι, ἀδύνατον ἂν εἴη τὴν ἀρχὴν ἕτερόν τι ȣ̓͂σαν εἶναι ἀρχήν, οἷον εἴ τις λέγοι τὸ λευκὸν ἀρχὴν εἶναι ȣ̓χ ᾗ ἕτερον ἀλλ' ᾗ λευκόν, εἶναι μέντοι καθ' ὑποκειμένου, καὶ ἕτερόν τι ὂν λευκὸν εἶναι· ἐκεῖνο γὰρ πρότερον ἔςαι. ἀλλὰ μὴν γίγνεται πάντα ἐξ ἐναντίων ὡς ὑποκειμένου τινός· ἀνάγκη ἄρα μάλιςα τοῖς ἐναντίοις*

7. *τε* $G^b$. | 8. *καὶ μηθὲν* — 9. *αὐτὸ βῆτα* om $G^b I^b$. | 10. *γε ἕνεκα* *T*. | *αἱ*] *καὶ* $G^b$. | 12. *οὔσας* $A^b$. | 13. *μὲν* om $A^b$*as*. | 16. *δύναμις* $G^b$*as*. | *ἐνέργεια* $TG^b$*as*. | 17. *τοῦ* post *ὕλη*, quamquam etiam Alex habuit, omittendum esse docui Obs. p. 57. | 18. *ἐνεργείᾳ* Alex. | *ὡρισμένου*] *ὡρισμένον* $G^b$. | 20. *τὸ* om $G^b$. | 21. *εἰ*] *εἰ καὶ* $G^b$. | 23. *ἔστι* $G^b$. | 24. *ἡ* add $I^b$ et fort. Alex, om *ascb*. | 29. *ταύτης τῆς οὐσίας* $G^b I^b$*c*. | 30. *δὲ*] *γὰρ* $G^b I^b$. | 31. 32. *ἁπάντων*] *πάντων* *T*, *ὄντων πάντων* Alex. | 32. *τι πρότερον* *T*. | 33. *τὸ* add *E* Alex. | 37. *ὡς*] *ὡς ἐξ* Alex. | *ἄρα τοῖς μάλιστα ἐναντ.* Alex. | *τοῖς*] *ἐν τοῖς* *Tas*.

Digitized by Google

τοῦθ' ὑπάρχειν. ἀεὶ ἄρα πάντα τἀναντία καθ' ὑποκειμένου, 1087b
290 καὶ οὐθὲν χωριστόν. ἀλλ' ὥσπερ καὶ φαίνεται, οὐθὲν οὐσίᾳ ἐναντίον, καὶ ὁ λόγος μαρτυρεῖ. οὐθὲν ἄρα τῶν ἐναντίων κυρίως ἀρχὴ πάντων ἀλλ' ἑτέρα. οἱ δὲ τὸ ἕτερον τῶν ἐναντίων ὕλην ποιοῦσιν, οἱ μὲν τῷ ἑνὶ τῷ ἴσῳ τὸ ἄνισον, ὡς τοῦτο τὴν τοῦ πλήθους οὖσαν φύσιν, οἱ δὲ τῷ ἑνὶ τὸ πλῆθος. γεννῶνται γὰρ οἱ ἀριθμοὶ τοῖς μὲν ἐκ τῆς τοῦ ἀνίσου δυάδος τοῦ μεγάλου καὶ μικροῦ, τῷ δ' ἐκ τοῦ πλήθους, ὑπὸ τῆς τοῦ ἑνὸς δὲ οὐσίας ἀμφοῖν· καὶ γὰρ ὁ τὸ ἄνισον καὶ ἓν λέγων τὰ στοιχεῖα, τὸ δ' ἄνισον ἐκ μεγάλου καὶ μικροῦ δυάδα, ὡς ἓν ὄντα τὸ ἄνισον καὶ τὸ μέγα καὶ τὸ μικρὸν λέγει, καὶ οὐ διορίζει ὅτι λόγῳ ἀριθμῷ δ' οὔ. ἀλλὰ μὴν καὶ τὰς ἀρχὰς ἃς στοιχεῖα καλοῦσιν, οὐ καλῶς ἀποδιδόασιν, οἱ μὲν τὸ μέγα καὶ τὸ μικρὸν λέγοντες μετὰ τοῦ ἑνός, τρία ταῦτα στοιχεῖα τῶν ἀριθμῶν, τὰ μὲν δύο ὕλην, τὸ δ' ἓν τὴν μορφήν, οἱ δὲ τὸ πολὺ καὶ ὀλίγον, ὅτι τὸ μέγα καὶ τὸ μικρὸν μεγέθους οἰκειότερα τὴν φύσιν, οἱ δὲ τὸ καθόλου μᾶλλον ἐπὶ τούτων τὸ ὑπερέχον καὶ τὸ ὑπερεχόμενον. διαφέρει δὲ τούτων οὐθὲν ὡς εἰπεῖν πρὸς ἔνια τῶν συμβαινόντων, ἀλλὰ πρὸς τὰς λογικὰς μόνον δυσχερείας, ἃς φυλάττονται διὰ τὸ καὶ αὐτοὶ λογικὰς φέρειν τὰς ἀποδείξεις. πλὴν τοῦ αὐτοῦ γε λόγου ἐστὶ τὸ ὑπερέχον καὶ τὸ ὑπερεχόμενον εἶναι ἀρχὰς ἀλλὰ μὴ τὸ μέγα καὶ τὸ μικρόν, καὶ τὸν ἀριθμὸν πρότερον τῆς δυάδος ἐκ τῶν στοιχείων· καθόλου γὰρ ἀμφότερα μᾶλλόν ἐστιν. νῦν δὲ τὸ μὲν λέγουσι τὸ δ' οὐ λέγουσιν. οἱ δὲ τὸ ἕτερον καὶ τὸ ἄλλο πρὸς τὸ ἓν ἀντιτιθέασιν, οἱ δὲ πλῆθος καὶ τὸ ἕν. εἰ δ' ἐστίν, ὥσπερ βούλονται, τὰ
291 ὄντα ἐξ ἐναντίων, τῷ δὲ ἑνὶ ἢ οὐθὲν ἐναντίον, ἢ εἴπερ ἄρα μέλλει, τὸ πλῆθος, τὸ δ' ἄνισον τῷ ἴσῳ καὶ τὸ ἕτερον τῷ ταὐτῷ καὶ τὸ ἄλλο αὐτῷ, μάλιστα μὲν οἱ τὸ ἓν τῷ πλήθει ἀντιτιθέντες ἔχονταί τινος δόξης, οὐ μὴν οὐδ' οὗτοι ἱκανῶς· ἔσται γὰρ τὸ ἓν ὀλίγον· πλῆθος μὲν γὰρ ὀλιγότητι, τὸ δὲ

1087b 5. ὁ $G^b$. | 6. τούτου *T.* | ὁ *E.* | 10. ἐκ] καὶ ἐκ *T.* | 12. λόγῳ ἀριθμῷ] ἀριθμῷ λόγῳ videtur habuisse Alex. | 13. ἃ *Tas.* | 14. τοῦ ἑνὸς μετὰ $A^b$. | 16. τὸ post καὶ om $G^b$. | 17. οἰκειότερον *T.* | φύσιν ἐστὶν οἱ $G^bI^b$. | 19. δὲ om *Tas.* | οὐθὲν τούτων, omissis ὡς εἰπεῖν, $G^bI^b$. | 21. καὶ αὐτοὶ] *alii quoque i.* | 22. τὸ post καὶ om $EA^b$. | 27. δὲ τὸ πλῆθος *T.* | 28. ἢ ante εἴπερ om *T.* | 29. μέλλει] ἀμέλει $A^bG^bI^bc$. | ἕτερον καὶ τῷ $G^b$. | 30. ἄλλῳ $A^b$. | αὐτῷ $ETG^bI^b$ Alex, τὸ αὐτῷ $A^b$, ταὐτῷ *iascb.*

Digitized by Google

*πολὺ τῷ ὀλίγῳ ἀντίκειται. τὸ δ' ἓν ὅτι μέτρον σημαίνει, φανερόν. καὶ ἐν παντί ἐστί τι ἕτερον ὑποκείμενον, οἷον ἐν ἁρμονίᾳ δίεσις, ἐν δὲ μεγέθει δάκτυλος ἢ ποὺς ἢ τι τοιοῦτον, ἐν δὲ ῥυθμοῖς βάσις ἢ συλλαβή· ὁμοίως δὲ καὶ ἐν βάρει σταθμός τις ὡρισμένος ἐστίν. καὶ κατὰ πάντων δὲ τὸν αὐτὸν* 1088*a* *τρόπον, ἐν μὲν τοῖς ποιοῖς ποιόν τι, ἐν δὲ τοῖς ποσοῖς ποσόν τι. καὶ ἀδιαίρετον τὸ μέτρον, τὸ μὲν κατὰ τὸ εἶδος τὸ δὲ πρὸς τὴν αἴσθησιν, ὡς οὐκ ὄντος τινὸς τοῦ ἑνὸς καθ' αὑτὸ οὐσίας. καὶ τοῦτο κατὰ λόγον· σημαίνει γὰρ τὸ ἓν ὅτι μέτρον πλήθους τινός, καὶ ὁ ἀριθμὸς ὅτι πλῆθος μεμετρημένον καὶ πλῆθος μέτρων. διὸ καὶ εὐλόγως οὐκ ἔστι τὸ ἓν ἀριθμός· οὐδὲ γὰρ τὸ μέτρον μέτρα, ἀλλ' ἀρχὴ καὶ τὸ μέτρον καὶ τὸ ἕν. δεῖ δὲ ἀεὶ τὸ αὐτό τι ὑπάρχειν πᾶσι τὸ μέτρον, οἷον εἰ ἵππος τὸ μέτρον, ἵππους, καὶ εἰ ἄνθρωπος, ἀνθρώπους· εἰ δ' ἄνθρωπος καὶ ἵππος καὶ θεός, ζῷον ἴσως, καὶ ὁ ἀριθμὸς αὐτῶν ἔσται ζῷα· εἰ δ' ἄνθρωπος καὶ λευκὸν καὶ βαδίζον, ἥκιστα μὲν ἀριθμὸς τούτων διὰ τὸ ταὐτῷ πάνθ' ὑπάρχειν καὶ ἑνὶ κατὰ τὸν ἀριθμόν, ὅμως δὲ γενῶν ἔσται ὁ ἀριθμὸς ὁ τούτων, ἢ τινος ἄλλης τοιαύτης προσηγορίας. οἱ δὲ τὸ ἄνισον ὡς ἕν τι, τὴν δυάδα δὲ ἀόριστον ποιοῦντες μεγάλου καὶ μικροῦ, πόρρω λίαν τῶν δοκούντων καὶ δυνατῶν* 292 *λέγουσιν· πάθη τε γὰρ ταῦτα καὶ συμβεβηκότα μᾶλλον ἢ ὑποκείμενα τοῖς ἀριθμοῖς καὶ τοῖς μεγέθεσίν ἐστι, τὸ πολὺ καὶ ὀλίγον ἀριθμοῦ, καὶ μέγα καὶ μικρὸν μεγέθους, ὥσπερ ἄρτιον καὶ περιττόν, καὶ λεῖον καὶ τραχύ, καὶ εὐθὺ καὶ καμπύλον. ἔτι δὲ πρὸς ταύτῃ τῇ ἁμαρτίᾳ καὶ πρός τι ἀνάγκη εἶναι τὸ μέγα καὶ τὸ μικρὸν καὶ ὅσα τοιαῦτα· τὸ δὲ πρός τι πάντων ἥκιστα φύσις τις ἢ οὐσία τῶν κατηγοριῶν ἐστί, καὶ ὑστέρα τοῦ ποιοῦ καὶ ποσοῦ· καὶ πάθος τι τοῦ ποσοῦ τὸ πρός τι, ὥσπερ ἐλέχθη, ἀλλ' οὐχ ὕλη, εἴ τι ἕτερον καὶ*

34. τι ἐστι $G^b$, ἐστι τὸ *T*.

1088*a* 1. μὲν et 2. καὶ om *T*. | 1. 2. ποσόν τι ἀδιαίρετον· τὸ γὰρ μέτρον *as*. | 2. ἀδιαίρετον γὰρ τὸ μέτρον $G^bI^bi$. | 3. τοῦ ἑνὸς om *as*. | ἑαυτὸ *T*. | 5. ὁ om $A^b$. | 7. μέτρα] μετρεῖ *T*. | 9. fort. εἰ ἵπποι, τὸ μέτρον ἵππος, καὶ εἰ ἄνθρωποι, ἄνθρωπος, Obs. p. 126. | post ἀνθρώπους punctum *cb*, item 11. post ζῷα. | 10. ante ζῷον add καὶ *as*. | 11. λευκὸς *Tas*. | 13. τὸν om *Tc*. | 14. ἄλλως $G^b$. | 15. τὸ] τὸν *a*. | τι om *E*. | τὴν δὲ δυάδα Alex. | ποιοῦντες] ποιοῦντες ἐκ *i* et fort. Alex. | 18. τὸ γὰρ πολὺ *ias*. | 22. τὸ μέγα εἶναι *T*. | 23. *minime praedicamentorum omnium i*. | τις ἢ οὐσία om $G^bI^b$. | 24. καὶ τοῦ ποσοῦ $A^bas$. | 25. ὡς προελέχθη *as*. | ἢ $G^bI^bias$ Alex. | post ἕτερον comma *a*, colon *sc*, punctum *b*.

Digitized by Google

τῷ ὅλως κοινῷ πρός τι καὶ τοῖς μέρεσιν αὐτῦ καὶ εἴδεσιν. ὐθὲν γάρ ἐςιν ὔτε μέγα ὔτε μικρόν, ὔτε πολὺ ὔτε ὀλίγον, οὔθ' ὅλως πρός τι, ὃ οὐχ ἕτερόν τι ὂν πολὺ ἢ ὀλίγον ἢ μέγα ἢ μικρὸν ἢ πρός τι ἐςίν. σημεῖον δ' ὅτι ἥκιςα ὐσία τις καὶ ὄν τι τὸ πρός τι τὸ μόνον μὴ εἶναι γένεσιν αὐτοῦ μηδὲ φθορὰν μηδὲ κίνησιν, ὥσπερ κατὰ τὸ ποσὸν αὔξησις καὶ φθίσις, κατὰ τὸ ποιὸν ἀλλοίωσις, κατὰ τόπον φορά, κατὰ τὴν ὐσίαν ἡ ἁπλῆ γένεσις καὶ φθορά. ἀλλ' ὐ κατὰ τὸ πρός τι· ἄνευ γὰρ τῦ κινηθῆναι ὁτὲ μὲν μεῖζον ὁτὲ δὲ ἔλαττον ἢ ἴσον ἔσται θατέρου κινηθέντος κατὰ τὸ ποσόν. ἀνάγκη τε ἑκάςου ὕλην εἶναι τὸ δυνάμει τοιῦτον, ὥςε καὶ 1088*b* ὐσίας· τὸ δὲ πρός τι ὔτε δυνάμει ὐσία ὔτε ἐνεργείᾳ. ἄτοπον ὖν, μᾶλλον δὲ ἀδύνατον, τὸ ὐσίας μὴ ὐσίαν ποιεῖν ςοιχεῖον καὶ πρότερον· ὕςερον γὰρ πᾶσαι αἱ κατηγορίαι. ἔτι δὲ τὰ ςοιχεῖα ὐ κατηγορεῖται καθ' ὧν ςοιχεῖα, τὸ δὲ πολὺ καὶ ὀλίγον καὶ χωρὶς καὶ ἅμα κατηγορεῖται ἀριθμοῦ, καὶ τὸ 293 μακρὸν καὶ τὸ βραχὺ γραμμῆς, καὶ ἐπίπεδόν ἐστι καὶ πλατὺ καὶ στενόν. εἰ δὲ δὴ καὶ ἔςι τι πλῆθος οὗ τὸ μὲν ἀεὶ ὀλίγον, οἷον ἡ δυάς (εἰ γὰρ πολύ, τὸ ἓν ἂν ὀλίγον εἴη), κἂν πολὺ ἁπλῶς εἴη, οἷον ἡ δεκὰς πολύ, [καὶ] εἰ ταύτης μή ἐςι πλεῖον, ἢ τὰ μύρια. πῶς ὖν ἔσται ὕτως ἐξ ὀλίγου καὶ πολλῦ ὁ ἀριθμός; ἢ γὰρ ἄμφω ἔδει κατηγορεῖσθαι ἢ μηδέτερον· νῦν δὲ τὸ ἕτερον μόνον κατηγορεῖται.

2 Ἁπλῶς δὲ δεῖ σκοπεῖν, ἆρα δυνατὸν τὰ ἀΐδια ἐκ στοιχείων συγκεῖσθαι; ὕλην γὰρ ἕξει· σύνθετον γὰρ πᾶν τὸ ἐκ στοιχείων. εἰ τοίνυν ἀνάγκη, ἐξ ὗ ἐστίν, εἰ καὶ ἀεί ἐςι κἂν εἰ ἐγένετο, ἐκ τούτου γίγνεσθαι, γίγνεται δὲ πᾶν ἐκ τῦ δυνάμει ὄντος τοῦτο ὃ γίγνεται (οὐ γὰρ ἂν ἐγίγνετο

26. τὸ *T*. | ὅλω $G^b$. | 29. ἢ πρός] ἃ πρός *Ec*, πρός $G^bI^b$. | 30. μόνου $EI^b$. | 31. τὸ om *as*. | 32. φορά] φθορά *a*. | 33. ἁπλῶς $G^b$*as*. | 35. ἔλασσον $ETA^b$*as*, ἧττον Alex. | ἐστὶ $G^bI^b$.

1088*b* 3. οὖν] δὲ $G^bI^b$. | 4. γὰρ] δὲ *T*. | 5. ὧν τὰ στοιχεῖα $G^bI^b$*c*. | 6. κατηγόρηται $G^b$. | ἀριθμῶν $A^b$, τοῦ ἀριθμοῦ $G^b$*as*. | 7. καὶ post ἐστι om $G^bI^b$. | 8. οὗ *E*, ὧν $G^bI^b$*as*. | *cuius semper ipsum paucum est i*. | 10. καὶ] κἂν *S*, videtur omittendum esse. | καὶ εἰ — 11. μύρια] *et si hoc pacto non est, plus quam dena millia i;* aliam lectionem, fortasse πλεῖον μηδὲ τὰ μύρια, Alex videtur habuisse. | 11. post πλεῖον non dist *c*. | ἢ τὰ μύρια om $G^bI^b$. | οὗτος *E*, om *T*. | 13. τὸ om *as*. | ἕτερον οὐ μόνον $I^b$. | 14. δεῖ om $G^b$. | ἆρα ἔστι δ. *as*. | 16. εἰ τοίνυν] οὐ τοίνυν $A^b$, ἔτι τοίνυν *T*. | 17. κἂν] καὶ *as*. | τούτων $G^b$. | γίγνεσθαι καὶ γίγνεται δὲ *Tc*. | 18. ἐκ τοῦ] εἰς τὸ $A^b$. | οὐδὲ $G^bI^b$. | ἐγένετο $A^b$.

Digitized by Google

ἐκ τοῦ ἀδυνάτου οὐδὲ ἦν), τὸ δὲ δυνατὸν ἐνδέχεται καὶ ἐνεργεῖν καὶ μή, εἰ καὶ ὅτι μάλιστα ἀεί ἐστιν ὁ ἀριθμὸς ἢ ὁτιοῦν ἄλλο ὕλην ἔχον, ἐνδέχοιτ' ἂν μὴ εἶναι, ὥσπερ καὶ τὸ μίαν ἡμέραν ἔχον καὶ τὸ ὁποσαοῦν ἔτη· εἰ δ' οὕτω, καὶ τὸ τοσοῦτον χρόνον οὗ μή ἐστι πέρας. οὐκ ἂν τοίνυν εἴη ἀΐδια, εἴπερ μὴ ἀΐδιον τὸ ἐνδεχόμενον μὴ εἶναι, καθάπερ ἐν ἄλλοις λόγοις συνέβη πραγματευθῆναι. εἰ δ' ἐστὶ τὸ λεγόμενον νῦν ἀληθὲς καθόλου, ὅτι οὐδεμία ἐστὶν ἀΐδιος οὐσία ἐὰν μὴ ᾖ ἐνεργείᾳ, τὰ δὲ στοιχεῖα ὕλη τῆς οὐσίας, οὐδεμιᾶς ἂν εἴη ἀϊδίου οὐσίας στοιχεῖα ἐξ ὧν ἐστὶν ἐνυπαρχόντων. εἰσὶ δέ τινες οἳ δυάδα μὲν ἀόριστον ποιοῦσι τὸ μετὰ τοῦ ἑνὸς στοιχεῖον, τὸ δ' ἄνισον δυσχεραίνουσιν εὐλόγως διὰ τὰ συμβαίνοντα ἀδύνατα· οἷς τοσαῦτα μόνον ἀφῄρηται τῶν δυσχερῶν, ὅσα διὰ τὸ ποιεῖν τὸ ἄνισον καὶ τὸ πρός τι στοιχεῖον ἀναγκαῖα συμβαίνει τοῖς 294 λέγουσιν· ὅσα δὲ χωρὶς ταύτης τῆς δόξης, ταῦτα κἀκείνοις ὑπάρχειν ἀναγκαῖον, ἐάν τε τὸν εἰδητικὸν ἀριθμὸν ἐξ αὐτῶν ποιῶσιν, ἐάν τε τὸν μαθηματικόν. πολλὰ μὲν οὖν τὰ αἴτια 1089*a* τῆς ἐπὶ ταύτας τὰς αἰτίας ἐκτροπῆς, μάλιστα δὲ τὸ ἀπορῆσαι ἀρχαϊκῶς. ἔδοξε γὰρ αὐτοῖς πάντ' ἔσεσθαι ἓν τὰ ὄντα, αὐτὸ τὸ ὄν, εἰ μή τις λύσει καὶ ὁμόσε βαδιεῖται τῷ Παρμενίδου λόγῳ «οὐ γὰρ μήποτε τοῦτο δαῇς εἶναι μὴ ἐόντα,» ἀλλ' ἀνάγκη εἶναι τὸ μὴ ὂν δεῖξαι ὅτι ἔστιν· οὕτω γὰρ ἐκ τοῦ ὄντος καὶ ἄλλου τινὸς τὰ ὄντα ἔσεσθαι, εἰ πολλά ἐστιν. καίτοι πρῶτον μέν, εἰ τὸ ὂν πολλαχῶς (τὸ μὲν γὰρ ὅτι οὐσίαν σημαίνει, τὸ δ' ὅτι ποιόν, τὸ δ' ὅτι ποσόν, καὶ τὰς ἄλλας δὴ κατηγορίας), ποῖα οὖν τὰ ὄντα πάντα ἕν, εἰ μὴ τὸ μὴ ὂν ἔσται; πότερον αἱ οὐσίαι ἢ τὰ πάθη καὶ τὰ ἄλλα δὴ ὁμοίως ἢ ἅπαντα, καὶ ἔσται ἓν τὸ τόδε καὶ τὸ τοιόνδε καὶ

21. ἄλλου $A^b$. | 22. ἔτη] ἐστι $G^b$. | τὸ om $TA^b as$. | 23. οὐ $G^b$. | 24. λόγοις om *E* Alex. | 25. δὴ *T*. | 26. ἐνέργεια $EA^b$ Alex, fort. recte, Syr utramque scripturam et ἐνεργείᾳ et ἐνέργεια interpretatur. | 29. στοιχείου *as*. | ἄνισον] ἀόριστον $G^b$. | 30. οἷς] εἰς *T*. | 32. τὸ post καὶ om $A^b$. | ἀναγκαῖον $TA^b$. | συμβαίνουσι *as*. | fort. ἀναγκαῖον συμβαίνειν. | 33. ταυτὰ *T*. | 34. εἰδικὸν $A^b as$. | 35. τῶν μαθηματικῶν $G^b$.

1089*a* 1. ταύτης τῆς αἰτίας $F^b$. | ἐπιτροπῆς *T*. | 3. βαδιεῖται om *T*. | 4. δαμῇ *E*, δυνάμει *T*, οὐδαμῇ $A^b G^b I^b asc$, μηδαμῇ Alex, *ullo modo i*. | ἐῶντα $A^b a$. | 5. fort. ἀνάγκην cum $G^b i$. | εἶναι om *T*. | οὕτω] ὄντως *E*. | 6. ἐστιν] fort. ἔσται. cf. Obs. p. 24. | 7. post ὂν comma et post πολλαχῶς colon *cb*. | 8. τὸ δ' ὅτι ποσόν om $G^b$. | 9. ποῖα coni., ποῖον *iascb*. cf. Obs. l. l. | 10. μὴ om $G^b$. | post πάθη interrogandi signum et 11. post ἅπαντα colon *cb*. | 11. δὴ om $G^b$. | ἢ ἅπαντα $G^b ias$, ἢ πάντα $I^b$ et fort. Alex, ἅπαντα omisso ἢ *cb*. | 11. 12. καὶ τὸ τοσόνδε om $G^b$.

Digitized by Google

*τὸ τοσόνδε καὶ τἆλλα ὅσα ὄν τι σημαίνει; ἀλλ' ἄτοπον, μᾶλλον δὲ ἀδύνατον, τὸ μίαν φύσιν τινὰ γενομένην αἰτίαν εἶναι τοῦ τοῦ ὄντος τὸ μὲν τόδε εἶναι, τὸ δὲ τοιόνδε, τὸ δὲ τοσόνδε, τὸ δὲ πού. ἔπειτα ἐκ ποίου μὴ ὄντος καὶ ὄντος τὰ ὄντα; πολλαχῶς γὰρ καὶ τὸ μὴ ὄν, ἐπειδὴ καὶ τὸ ὄν· καὶ τὸ μὲν μὴ ἄνθρωπον σημαίνει τὸ μὴ εἶναι τοδί, τὸ δὲ μὴ εὐθὺ τὸ μὴ εἶναι τοιονδί, τὸ δὲ μὴ τρίπηχυ τὸ μὴ εἶναι τοσονδί. ἐκ ποίου οὖν ὄντος καὶ μὴ ὄντος πολλὰ τὰ ὄντα; βούλεται μὲν δὴ τὸ ψεῦδος καὶ ταύτην τὴν φύσιν λέγει τὸ οὐκ ὄν, ἐξ οὗ καὶ τοῦ ὄντος πολλὰ τὰ ὄντα. διὸ καὶ ἐλέ-*
295*γετο ὅτι δεῖ ψεῦδός τι ὑποθέσθαι, ὥσπερ καὶ οἱ γεωμέτραι τὸ ποδιαίαν εἶναι τὴν μὴ ποδιαίαν. ἀδύνατον δὲ ταῦθ' οὕτως ἔχειν. οὔτε γὰρ οἱ γεωμέτραι ψεῦδος οὐθὲν ὑποτίθενται (οὐ γὰρ ἐν τῷ συλλογισμῷ ἡ πρότασις), οὔτ' ἐκ τοῦ οὕτω μὴ ὄντος τὰ ὄντα γίγνεται οὐδὲ φθείρεται· ἀλλ' ἐπειδὴ τὸ μὲν κατὰ τὰς πτώσεις μὴ ὂν ἰσαχῶς ταῖς κατηγορίαις λέγεται, παρὰ τοῦτο δὲ τὸ ὡς ψεῦδος λέγεται μὴ ὂν καὶ τὸ κατὰ δύναμιν, ἐκ τούτου ἡ γένεσίς ἐστιν, ἐκ τοῦ μὴ ἀνθρώπου δυνάμει δὲ ἀνθρώπου ἄνθρωπος, καὶ ἐκ τοῦ μὴ λευκοῦ δυνάμει δὲ λευκοῦ λευκόν, ὁμοίως ἐάν τε ἕν τι γίγνηται ἐάν τε πολλά. φαίνεται δὲ ἡ ζήτησις πῶς πολλὰ τὸ ὂν τὸ κατὰ τὰς οὐσίας λεγόμενον· ἀριθμοὶ γὰρ καὶ μήκη καὶ σώματα τὰ γεννώμενά ἐστιν. ἄτοπον δὴ τὸ ὅπως μὲν πολλὰ τὸ ὂν τὸ τί ἐστι ζητῆσαι, πῶς δὲ ἢ ποιὰ ἢ ποσά, μή. οὐ γὰρ δὴ ἡ δυὰς ἡ ἀόριστος αἰτία οὐδὲ τὸ μέγα καὶ τὸ μικρὸν τοῦ δύο λευκὰ ἢ πολλὰ εἶναι χρώματα ἢ χυμοὺς ἢ σχήματα· ἀριθμοὶ γὰρ ἂν καὶ* 1089*b*
*ταῦτα ἦσαν καὶ μονάδες. ἀλλὰ μὴν εἴ γε ταῦτ' ἐπῆλθον, εἶδον ἂν τὸ αἴτιον καὶ τὸ ἐν ἐκείνοις· τὸ γὰρ αὐτὸ καὶ τὸ ἀνάλογον αἴτιον. αὕτη γὰρ ἡ παρέκβασις αἰτία καὶ τοῦ τὸ*

12. τὸ om *Tas*. | ἄλλα $G^b$. | ὂν coni., ἓν *iascb*, om *E*. cf. Obs. p. 26. | post σημαίνει punctum *cb*. | 14. τοῦ τοῦ] τοῦ *T*, καὶ τούτου καὶ ὄντος εἶναι τοῦ $A^bc$, καὶ τούτου καὶ ὄντος εἶναι αὐτοῦ *as*, *et huius entis et eiusdem entis i*. | εἶναι τόδε $G^bI^b$. | τοιόνδε om $A^b$. | 15. ἐκ τοῦ ποίου $G^b$. | 17. fort. ἀνθρώπος. | 20. λέγει scripsi c. Alex, λέγειν *iascb*. | 22. δὴ $G^b$, om *E*. | καὶ om $G^b$. | 23. τὸ] τὴν *T*. | 25. λογισμῷ $G^b$. | 28. τὸ ὡς] τόδε ὡς *as*. | ante μὴ add τὸ *ascb*, om *T* Alex. | 31. τι om $EG^bas$. | 33. τὰ om *T*. | 34. δὴ τὸ $I^b$, δὲ καὶ $G^b$. | ἐστι] ἔπι $G^b$. | 36. αἰτία] οὐσία $G^b$.

1089*b* 2. καὶ om $G^b$. | ἐπῆλθεν *E*. | 3. τὸ ante ἀνάλογον om Alex. | 4. τὸ τὸ *E*, τοῦτο $G^b$.

Digitized by Google

*ἀντικείμενον ζητοῦντας τῷ ὄντι καὶ τῷ ἑνί, ἐξ οὗ καὶ τούτων τὰ ὄντα, τὸ πρός τι καὶ τὸ ἄνισον ὑποθεῖναι, ὃ οὔτ᾽ ἐναντίον οὔτ᾽ ἀπόφασις ἐκείνων, μία τε φύσις τῶν ὄντων ὥσπερ καὶ τὸ τί καὶ τὸ ποιόν. καὶ ζητεῖν ἔδει καὶ τοῦτο, πῶς πολλὰ τὰ πρός τι ἀλλ᾽ οὐχ ἕν. νῦν δὲ πῶς μὲν πολλαὶ μονάδες παρὰ τὸ πρῶτον ἓν ζητεῖται, πῶς δὲ πολλὰ ἄνισα παρὰ τὸ ἄνισον οὐκέτι. καίτοι χρῶνται καὶ λέγουσι μέγα μικρόν, πολὺ ὀλίγον, ἐξ ὧν οἱ ἀριθμοί, μακρὸν βραχύ, ἐξ ὧν τὸ μῆκος, πλατὺ στενόν, ἐξ ὧν τὸ ἐπίπεδον, βαθὺ ταπεινόν, ἐξ ὧν οἱ ὄγκοι· καὶ ἔτι δὴ πλείω εἴδη λέγουσι τοῦ πρός τι.* 296 *τούτοις δὴ τί αἴτιον τοῦ πολλὰ εἶναι; ἀνάγκη μὲν οὖν, ὥσπερ λέγομεν, ὑποθεῖναι τὸ δυνάμει ὂν ἑκάστῳ· τοῦτο δὲ προσαπεφήνατο ὁ ταῦτα λέγων, τί τὸ δυνάμει τόδε καὶ οὐσία, μὴ ὂν δὲ καθ᾽ αὑτό, ὅτι τὸ πρός τι, ὥσπερ εἰ εἶπε τὸ ποιόν, ὃ οὔτε δυνάμει ἐστὶ τὸ ἓν ἢ τὸ ὄν, οὔτε ἀπόφασις τοῦ ἑνὸς οὐδὲ τοῦ ὄντος, ἀλλ᾽ ἕν τι τῶν ὄντων· πολύ τε μᾶλλον, ὥσπερ ἐλέχθη, εἰ ἐζήτει τὸ πῶς πολλὰ τὰ ὄντα, μὴ τὰ ἐν τῇ αὐτῇ κατηγορίᾳ ζητεῖν, πῶς πολλαὶ οὐσίαι ἢ πολλὰ ποιά, ἀλλὰ πῶς πολλὰ τὰ ὄντα· τὰ μὲν γὰρ οὐσίαι, τὰ δὲ πάθη, τὰ δὲ πρός τι. ἐπὶ μὲν οὖν τῶν ἄλλων κατηγοριῶν ἔχει τινὰ καὶ ἄλλην ἐπίστασιν πῶς πολλά· διὰ γὰρ τὸ μὴ χωριστὰ εἶναι τῷ τὸ ὑποκείμενον πολλὰ γίγνεσθαι καὶ εἶναι ποιά τε πολλὰ εἶναι καὶ ποσά. καίτοι δεῖ γέ τινα εἶναι ὕλην ἑκάστῳ γένει· πλὴν χωριστὴν ἀδύνατον τῶν οὐσιῶν. ἀλλ᾽ ἐπὶ τῶν τόδε τι ἔχει τινὰ λόγον, πῶς πολλὰ τὸ τόδε τι, εἰ μή τι ἔσται καὶ τόδε τι καὶ φύσις τις τοιαύτη. αὕτη δέ ἐστιν ἐκεῖθεν μᾶλλον ἡ ἀπορία, πῶς πολλαὶ ἐνεργείᾳ οὐσίαι ἀλλ᾽ οὐ μία. ἀλλὰ μὴν καὶ εἰ μὴ ταὐτόν ἐστι τὸ τόδε καὶ τὸ ποσόν, οὐ λέγεται πῶς καὶ διὰ τί πολλὰ τὰ ὄντα, ἀλλὰ πῶς ποσὰ πολλά. ὁ γὰρ ἀριθμὸς πᾶς ποσόν τι σημαίνει· καὶ ἡ μονάς, εἰ μὴ μέτρον, ὅτι τὸ κατὰ τὸ ποσὸν ἀδιαί-*

5. *ζητοῦντα* E. | 9. *τὰ*] *τὸ* $A^b$. | 10. 11. *παρὰ τὸ ἄνισον* om *i*. | 14. *ὄγκοι·· ἔτι δὲ εἴδη πλείω λέγουσι* T, *ὄγκοι· καὶ ἔτι εἰ εἴδη πλείω λέγουσι as*. | 16. *δυνάμενον ἑκάστω* $A^b$. | 17. *τί — οὐσία*] *quod aliquid potentia sit ens, hocque substantia i*. | *οὐσία* scripsi cum Alex, *οὐσίᾳ ascb*. | 18. *εἰ* om $G^b$. | 19. *οὐδὲ* coni. *b*, *οὔτε* codices. | 20. *κάλλιον* fort. Alex. | 21. *ἐλέχθη*] *εἰ ἐλέχθη καὶ* $G^b$. | *ἐζήτει τὸ* $G^b$, *ἐζήτει* $TA^bF^b$*ias*, *ἐζητεῖτο cb*. | *τῇ* om $G^b$. | 26. *τῷ τὸ*] *τό τι* T. | 31. *οὖσαι* E. | 32. *οὐ* om $G^b$. | *εἰ καὶ* $G^bI^b$. | 33. *τὸ* om $F^b$. | 34. *πῶς*] *πῶς καὶ διὰ τί as*. | *ὁ γὰρ* — 1090 *a* 1. *πῶς πολλά* om T. | 35. *τὸ* post *κατὰ* om $I^b$.

ρετον. εἰ μὲν οὖν ἕτερον τὸ ποσὸν καὶ τὸ τί ἐστιν, οὐ λέγεται τὸ τί ἐστιν ἐκ τίνος οὐδὲ πῶς πολλά· εἰ δὲ ταὐτό, πολλὰς 1090*a* ὑπομένει ὁ λέγων ἐναντιώσεις. ἐπιστήσειε δ' ἄν τις τὴν σκέψιν καὶ περὶ τῶν ἀριθμῶν πόθεν δεῖ λαβεῖν τὴν πίστιν ὡς 297 εἰσίν. τῷ μὲν γὰρ ἰδέας τιθεμένῳ παρέχονταί τιν' αἰτίαν τοῖς οὖσιν, εἴπερ ἕκαστος τῶν ἀριθμῶν ἰδέα τις, ἡ δ' ἰδέα τοῖς ἄλλοις αἰτία τοῦ εἶναι ὃν δή ποτε τρόπον· ἔστω γὰρ ὑποκείμενον αὐτοῖς τοῦτο. τῷ δὲ τοῦτον μὲν τὸν τρόπον οὐκ οἰομένῳ διὰ τὸ τὰς ἐνούσας δυσχερείας ὁρᾶν περὶ τὰς ἰδέας, ὥστε διά γε ταῦτα μὴ ποιεῖν ἀριθμούς, ποιοῦντι δὲ ἀριθμὸν τὸν μαθηματικόν, πόθεν τε χρὴ πιστεῦσαι ὡς ἔστι τοιοῦτος ἀριθμός, καὶ τί τοῖς ἄλλοις χρήσιμος; οὐθενὸς γὰρ οὔτε φησὶν ὁ λέγων αὐτὸν εἶναι, ἀλλ' ὡς αὐτήν τινα λέγει καθ' αὑτὴν φύσιν οὖσαν, οὔτε φαίνεται ὢν αἴτιος· τὰ γὰρ θεωρήματα τῶν ἀριθμητικῶν πάντα καὶ κατὰ τῶν αἰσθητῶν ὑπάρξει, καθάπερ ἐλέχθη.

3 Οἱ μὲν οὖν τιθέμενοι τὰς ἰδέας εἶναι καὶ ἀριθμοὺς αὐτὰς εἶναι, κατὰ τὴν ἔκθεσιν ἑκάστου παρὰ τὰ πολλὰ λαμβάνειν, τὸ ἕν τι ἕκαστον πειρῶνταί γε λέγειν πῶς καὶ διὰ τί ἐστιν. οὐ μὴν ἀλλ' ἐπεὶ οὔτε ἀναγκαῖα οὔτε δυνατὰ ταῦτα, οὐδὲ τὸν ἀριθμὸν διά γε ταῦτα εἶναι λεκτέον. οἱ δὲ Πυθαγόρειοι διὰ τὸ ὁρᾶν πολλὰ τῶν ἀριθμῶν πάθη ὑπάρχοντα τοῖς αἰσθητοῖς σώμασιν, εἶναι μὲν ἀριθμοὺς ἐποίησαν τὰ ὄντα, οὐ χωριστοὺς δέ, ἀλλ' ἐξ ἀριθμῶν τὰ ὄντα. διὰ τί δέ; ὅτι τὰ πάθη τὰ τῶν ἀριθμῶν ἐν ἁρμονίᾳ ὑπάρχει καὶ ἐν τῷ οὐρανῷ καὶ ἐν πολλοῖς ἄλλοις. τοῖς δὲ τὸν μαθηματικὸν μόνον λέγουσιν εἶναι ἀριθμὸν οὐθὲν τοιοῦτον ἐνδέχεται λέγειν κατὰ τὰς ὑποθέσεις, ἀλλ' ὅτι οὐκ ἔσονται αὐτῶν αἱ ἐπιστῆμαι ἐλέγετο. ἡμεῖς δέ φαμεν εἶναι, καθάπερ εἴπομεν πρότερον. καὶ δῆλον ὅτι οὐ κεχώρισται τὰ μαθηματικά· οὐ γὰρ 298 ἂν κεχωρισμένων τὰ πάθη ὑπῆρχεν ἐν τοῖς σώμασιν. οἱ μὲν οὖν Πυθαγόρειοι κατὰ μὲν τὸ τοιοῦτον οὐθενὶ ἔνοχοί εἰσιν·

36. ante οὐ add ὅτι *as*.

1090*a* 1. ἔκ τινος *asc*. | ταὐτό] ταῦτα *as*. | 4. γὰρ om *G^b*. | τιν'] τινες *as*. | 5. ἡ] εἰ *G^b*. | 7. αὐτοῖς ὑποκείμενον *G^bI^bas*. | 8. παρὰ *as*. | 10. τί *T*. | 12. ὡς om *Eas*. | 14. ἀρ.] μαθηματικῶν ἀριθμῶν *I^b*. | 17. εἶναι] εἶναι τιθέμενοι *as*. | τὴν] fort. τὸ, cf. Obs. p. 128. | περὶ *as*. | 18. γε om *TG^bas*. | καὶ om *E*. | 19. ἔστιν] ἐστιν *ascb*. | 23. τὰ] δὲ τὰ *T*. | 24. παθητικὰ τῶν *G^b*. | ἐναρμόνια *A^b*. | 28. ἐλέγοντο *T*. | 28. 29. καὶ πρότερον *as*. | 31. τὸ om *G^b*.

Digitized by Google

κατὰ μέντοι τὸ ποιεῖν ἐξ ἀριθμῶν τὰ φυσικὰ σώματα, ἐκ μὴ ἐχόντων βάρος μηδὲ κουφότητα ἔχοντα κουφότητα καὶ βάρος, ἐοίκασι περὶ ἄλλου οὐρανοῦ λέγειν καὶ σωμάτων ἀλλ' οὐ τῶν αἰσθητῶν. οἱ δὲ χωριστὸν ποιοῦντες, ὅτι ἐπὶ τῶν αἰσθητῶν οὐκ ἔσται τὰ ἀξιώματα, ἀληθῆ δὲ τὰ λεγόμενα καὶ σαίνει τὴν ψυχήν, εἶναί τε ὑπολαμβάνουσι καὶ χωριστὰ 1090*b* εἶναι· ὁμοίως δὲ καὶ τὰ μεγέθη τὰ μαθηματικά. δῆλον οὖν ὅτι καὶ ὁ ἐναντιούμενος λόγος τἀναντία ἐρεῖ· καὶ ὃ ἄρτι ἠπορήθη λυτέον τοῖς οὕτω λέγουσι, διὰ τί οὐδαμῶς ἐν τοῖς αἰσθητοῖς ὑπαρχόντων τὰ πάθη ὑπάρχει αὐτῶν ἐν τοῖς αἰσθητοῖς. εἰσὶ δέ τινες οἳ ἐκ τοῦ πέρατα εἶναι καὶ ἔσχατα τὴν στιγμὴν μὲν γραμμῆς, ταύτην δ' ἐπιπέδου, τοῦτο δὲ τοῦ στερεοῦ, οἴονται εἶναι ἀνάγκην τοιαύτας φύσεις εἶναι. δεῖ δὴ καὶ τοῦτον ὁρᾶν τὸν λόγον, μὴ λίαν ᾖ μαλακός. οὔτε γὰρ οὐσίαι εἰσὶ τὰ ἔσχατα ἀλλὰ μᾶλλον πάντα ταῦτα πέρατα, ἐπεὶ καὶ τῆς βαδίσεως καὶ ὅλως κινήσεώς ἐστί τι πέρας. τοῦτ' οὖν ἔσται τόδε τι καὶ οὐσία τις. ἀλλ' ἄτοπον. οὐ μὴν ἀλλὰ εἰ καὶ εἰσί, τῶνδε τῶν αἰσθητῶν ἔσονται πάντα· ἐπὶ τούτων γὰρ ὁ λόγος εἴρηκεν. διὰ τί οὖν χωριστὰ ἔσται; ἔτι δὲ ἐπιζητήσειεν ἄν τις μὴ λίαν εὐχερὴς ὢν περὶ μὲν τοῦ ἀριθμοῦ παντὸς καὶ τῶν μαθηματικῶν τὸ μηθὲν συμβάλλεσθαι ἀλλήλοις τὰ πρότερα τοῖς ὕστερον· μὴ ὄντος γὰρ τοῦ ἀριθμοῦ οὐθὲν ἧττον τὰ μεγέθη ἔσται τοῖς τὰ μαθηματικὰ μόνον εἶναι φαμένοις, καὶ τούτων μὴ ὄντων ἡ ψυχὴ καὶ τὰ σώματα τὰ αἰσθητά. οὐκ ἔοικε δ' ἡ φύσις ἐπεισοδιώδης οὖσα ἐκ τῶν 299 φαινομένων, ὥσπερ μοχθηρὰ τραγῳδία. τοῖς δὲ τὰς ἰδέας τιθεμένοις τοῦτο μὲν ἐκφεύγει· ποιοῦσι γὰρ τὰ μεγέθη ἐκ τῆς ὕλης καὶ ἀριθμοῦ, ἐκ μὲν τῆς δυάδος τὰ μήκη, ἐκ τριάδος δ' ἴσως τὰ ἐπίπεδα, ἐκ δὲ τῆς τετράδος τὰ στερεὰ ἢ καὶ ἐξ ἄλλων ἀριθμῶν· διαφέρει γὰρ οὐθέν. ἀλλὰ ταῦτά γε πότερον ἰδέαι ἔσονται, ἢ τίς ὁ τρόπος αὐτῶν, καὶ τί συμ-

33. μηδὲ] οὐδὲ *EG*^b*I*^b. | 37. τι *G*^b*I*^b. | χωριστὰ] fort. χωριστὸν.

1090*b* 1. τὰ μεγέθη om *T*. | τῶν μαθηματικῶν. καὶ δῆλον *as*. | 3. λύεται *TA*^b*G*^b*ias*. | 5. εἶναι om *F*^b. | 6. τὴν μὲν στ. *as*. | μὲν om *G*^b*I*^b. | τοῦ om *G*^b*I*^b. | 7. ἀνάγκη *Ta*. | 9. ταῦτα πάντα *TA*^b*as*. | 10. τι om *T*. | 11. ἐστὶ *ETias*. | τόδε τι καὶ om *G*^b. | τι om *as*. | 12. τῶνδε — πάντα] *sensibilia sane omnia erunt i*. | 13. ἔσται] ἐστιν *E* Alex. | 14. ζητήσειεν *T*. | μὲν οὖν τοῦ *TI*^b*as*. | 16. ὑστέροις *G*^b. | 17. τὰ post τοῖς om *T*. | 18. τούτων] τῶν *T*. | 20. μοχθηρᾷ τραγῳδίᾳ *a*. | 22. 23. ἐκ τῆς τριάδος *T*. | 25. πρότερον *I*^b. | τίς om *T*. | τόπος *as*.

Digitized by Google

βάλλονται τοῖς οὖσιν; οὐθὲν γάρ, ὥσπερ οὐδὲ τὰ μαθηματικά, οὐδὲ ταῦτα συμβάλλεται. ἀλλὰ μὴν οὐδ' ὑπάρχει γε κατ' αὐτῶν οὐθὲν θεώρημα, ἐὰν μή τις βούληται κινεῖν τὰ μαθηματικὰ καὶ ποιεῖν ἰδίας τινὰς δόξας. ἔστι δ' οὐ χαλεπὸν ὁποιασοῦν ὑποθέσεις λαμβάνοντας μακροποιεῖν καὶ συνείρειν. οὗτοι μὲν οὖν ταύτῃ προσγλιχόμενοι ταῖς ἰδέαις τὰ μαθηματικὰ διαμαρτάνουσιν· οἱ δὲ πρῶτοι δύο τοὺς ἀριθμοὺς ποιήσαντες, τόν τε τῶν εἰδῶν καὶ τὸν μαθηματικὸν ἄλλον, οὐδαμῶς οὔτ' εἰρήκασιν οὔτ' ἔχοιεν ἂν εἰπεῖν πῶς καὶ ἐκ τίνος ἔσται ὁ μαθηματικός. ποιοῦσι γὰρ αὐτὸν μεταξὺ τοῦ εἰδητικοῦ καὶ τοῦ αἰσθητοῦ. εἰ μὲν γὰρ ἐκ τοῦ μεγάλου καὶ μικροῦ, ὁ αὐτὸς ἐκείνῳ ἔσται τῷ τῶν ἰδεῶν, ἐξ ἄλλου δέ τινος μικροῦ καὶ μεγάλου· τὰ γὰρ μεγέθη ποιεῖ. εἰ δ' ἕτερόν τι ἐρεῖ, 1091 a πλείω τὰ στοιχεῖα ἐρεῖ· καὶ εἰ ἕν τι ἑκατέρου ἡ ἀρχή, κοινόν τι ἐπὶ τούτων ἔσται τὸ ἕν. ζητητέον τε πῶς καὶ ταῦτα πολλὰ τὸ ἕν, καὶ ἅμα τὸν ἀριθμὸν γενέσθαι ἄλλως ἢ ἐξ ἑνὸς καὶ δυάδος ἀορίστου ἀδύνατον κατ' ἐκεῖνον. πάντα δὴ ταῦτα ἄλογα, καὶ μάχεται καὶ αὐτὰ ἑαυτοῖς καὶ τοῖς εὐλόγοις, καὶ ἔοικεν ἐν αὐτοῖς εἶναι ὁ Σιμωνίδου μακρὸς 300 λόγος· γίγνεται γὰρ ὁ μακρὸς λόγος ὥσπερ ὁ τῶν δούλων, ὅταν μηθὲν ὑγιὲς λέγωσιν. φαίνεται δὲ καὶ αὐτὰ τὰ στοιχεῖα τὸ μέγα καὶ τὸ μικρὸν βοᾶν ὡς ἑλκόμενα· οὐ δύναται γὰρ οὐδαμῶς γεννῆσαι τὸν ἀριθμὸν ἀλλ' ἢ τὸν ἀφ' ἑνὸς διπλασιαζόμενον. ἄτοπον δὲ καὶ γένεσιν ποιεῖν ἀϊδίων ὄντων, μᾶλλον δ' ἕν τι τῶν ἀδυνάτων. οἱ μὲν οὖν Πυθαγόρειοι πότερον οὐ ποιοῦσιν ἢ ποιοῦσι γένεσιν οὐθὲν δεῖ διστάζειν· φανερῶς γὰρ λέγουσιν ὡς τοῦ ἑνὸς συσταθέντος, εἴτ' ἐξ ἐπι-

26. οὐδὲ om $G^b$. | 27. 28. κατ' αὐτῶν] τούτων *Eas*. | 30. μακρὸν ποιεῖν *E*. | 31. προσγλισχόμενοι *a*. | 33. ἰδεῶν *E*. | τῶν $G^bI^b$. | μαθηματικῶν $A^bG^bI^b$. | comma non cum *scb* post μαθηματικόν, sed post ἄλλον ponendum docuit Zeller plat. Stud. p. 239, 1. | 33. 34. ἄλλον οὐδαμῶς om $A^b$, ἄλλον om *i*, οὐδαμῶς om *E*. | 35. μαθηματικὸς κατ' ἐκεῖνον. ποιοῦσι *T*. | εἰδικοῦ $A^b$*as*. | 36. ὁ — 37. μικροῦ om *T*. | 36. καὶ τοῦ μικροῦ *as*. | 37. ἐκεῖνος $G^bI^b$. | εἰδῶν $G^bI^b$.

1091 a 1. distinctio post μεγάλου et particula γὰρ videntur omittendae cum Alex et *i*. | 2. ἐρεῖ om $G^b$. | ἑκατέρα *T*. | 3. τε] at *i*, om *as*. | 4. τὸ] τὰ $A^bI^b$, καὶ $G^b$. | γίνεσθαι *as*. | 5. 6. ταῦτα δὴ πάντα Alex. | 6. καὶ ante αὐτὰ om Alex. | 8. γίγνεται — λόγος om $TG^b$. | 9. αὐτῷ $G^b$. | 11. ἡ $G^b$. | 12. διπλασιαζόμενος $G^bI^b$. | γένεσιν] τὸ γένεσιν $F^b$, fort. recte. | 13. οἱ] εἰ *a*. | 14. πότερον ποιοῦσιν ἢ οὐ ποιοῦσι $I^b$. | τὴν γένεσιν $G^bI^b$. | 15. λέγουσί τινες ὡς $I^b$.

Digitized by Google

*πέδων εἴτ' ἐκ χροιᾶς εἴτ' ἐκ σπέρματος εἴτ' ἐξ ὧν ἀποροῦσιν εἰπεῖν, εὐθὺς τὸ ἔγγιςα τοῦ ἀπείρου ὅτι εἵλκετο καὶ ἐπεραίνετο ὑπὸ τοῦ πέρατος. ἀλλ' ἐπειδὴ κοσμοποιοῦσι καὶ φυσικῶς βούλονται λέγειν, δίκαιον αὐτοὺς ἐξετάζειν τι περὶ φύσεως, ἐκ δὲ τῆς νῦν ἀφεῖναι μεθόδου· τὰς γὰρ ἐν τοῖς ἀκινήτοις ζητοῦμεν ἀρχάς, ὥςε καὶ τῶν ἀριθμῶν τῶν τοιούτων ἐπισκεπτέον τὴν γένεσιν.*

4 *Τοῦ μὲν οὖν περιττοῦ γένεσιν οὔ φασιν, ὡς δῆλον ὅτι τοῦ ἀρτίου οὔσης γενέσεως· τὸν δ' ἄρτιον πρῶτον ἐξ ἀνίσων τινὲς κατασκευάζουσι τοῦ μεγάλου καὶ μικροῦ ἰσασθέντων. ἀνάγκη οὖν πρότερον ὑπάρχειν τὴν ἀνισότητα αὐτοῖς τοῦ ἰσασθῆναι. εἰ δ' ἀεὶ ἦσαν ἰσασμένα, οὐκ ἂν ἦσαν ἄνισα πρότερον· τοῦ γὰρ ἀεὶ οὐκ ἔςι πρότερον οὐθέν. ὥςε φανερὸν ὅτι οὐ τοῦ θεωρῆσαι ἕνεκεν ποιοῦσι τὴν γένεσιν τῶν ἀριθμῶν. ἔχει δ' ἀπορίαν καὶ εὐπορήσαντι ἐπιτίμησιν, πῶς ἔχει πρὸς τὸ ἀγαθὸν καὶ τὸ καλὸν τὰ ςοιχεῖα καὶ αἱ ἀρχαί, ἀπορίαν μὲν ταύτην πότερόν ἐστί τι ἐκείνων οἷον βουλόμεθα λέγειν αὐτὸ τὸ ἀγαθὸν καὶ τὸ ἄριστον, ἢ οὔ, ἀλλ' ὑστερογενῆ. παρὰ μὲν γὰρ τῶν θεολόγων ἔοικεν ὁμολογεῖσθαι τῶν νῦν τισίν, οἵ οὔ φασιν, ἀλλὰ προελθούσης τῆς τῶν ὄντων φύσεως καὶ τὸ ἀγαθὸν καὶ τὸ καλὸν ἐμφαίνεσθαι. τοῦτο δὲ ποιοῦσιν εὐλα-* 301
*βούμενοι ἀληθινὴν δυσχέρειαν, ἣ συμβαίνει τοῖς λέγουσιν,*
1091*b* *ὥσπερ ἔνιοι, τὸ ἓν ἀρχήν. ἔςι δ' ἡ δυσχέρεια οὐ διὰ τὸ τῇ ἀρχῇ τὸ εὖ ἀποδιδόναι ὡς ὑπάρχον, ἀλλὰ διὰ τὸ τὸ ἓν ἀρχὴν καὶ ἀρχὴν ὡς ςοιχεῖον καὶ τὸν ἀριθμὸν ἐκ τοῦ ἑνός. οἱ δὲ ποιηταὶ οἱ ἀρχαῖοι ταύτῃ ὁμοίως, ᾗ βασιλεύειν καὶ ἄρχειν φασὶν οὐ τοὺς πρώτους, οἷον νύκτα καὶ οὐρανὸν ἢ χάος ἢ ὠκεανόν, ἀλλὰ τὸν Δία. οὐ μὴν ἀλλὰ τούτοις μὲν διὰ τὸ μεταβάλλειν τοὺς ἄρχοντας τῶν ὄντων συμβαίνει τοιαῦτα λέγειν, ἐπεὶ οἵ γε μεμιγμένοι αὐτῶν καὶ τῷ μὴ μυθικῶς ἅπαντα λέγειν, οἷον Φερεκύδης καὶ ἕτεροί τινες, τὸ γεννῆσαν πρῶτον ἄριςον τιθέασι, καὶ οἱ Μάγοι, καὶ τῶν*

19. *δίκαιον* om $G^b$ et rc $I^b$. | *τι*] *τὰ* rc $I^b$, *τοὺς* Alex. | 23. *φασιν εἶναι ὡς* $G^bI^b$. | 24. *οὐσία* *T*. | *πρῶτον* et 26. *πρότερον* om $G^b$ et rc $I^b$. | 28. *οὐ* om $G^b$. | 30. *ἐπιστήμησιν* *E*. | *πρὸς*] *κατὰ* $G^bI^b$. | 33. *ἀόριστον* $G^bI^b$. | 34. *γὰρ* om *as*. | *εἰ* *T*.

1091*b* 1. *τῇ*] *ἐν* $G^b$. | 2. *εὖ*] *ἓν* *ETG*$^b$. | 4. *ᾗ*] *οἳ* $F^bG^bI^b$. | *βασιλεῦον* *E*. | 5. *οὐ* om $F^b$. | 6. post *ἢ* add *καὶ* *ias*. | *τὸν* om $G^b$. | 7. *τῶν ὄντων* om *as*. | 8. *γε* om *T*. | *καὶ* fort. omittendum. | 8. 9. *τῷ μὴ*] *τῶν* $G^b$, *τὸ μὴ* *as*. | 9. *ἅπαντα*] *πάντα* $EG^bI^b$, *ταῦτα* *as*.

ὑστέρων δὲ σοφῶν, οἷον Ἐμπεδοκλῆς τε καὶ Ἀναξαγόρας, ὁ μὲν τὴν φιλίαν στοιχεῖον, ὁ δὲ τὸν νοῦν ἀρχὴν ποιήσας. τῶν δὲ τὰς ἀκινήτους οὐσίας εἶναι λεγόντων οἱ μὲν φασιν αὐτὸ τὸ ἓν τὸ ἀγαθὸν αὐτὸ εἶναι· οὐσίαν μέντοι τὸ ἓν αὐτοῦ ᾤοντο εἶναι μάλιστα. ἡ μὲν οὖν ἀπορία αὕτη, ποτέρως δεῖ λέγειν. θαυμαστὸν δ' εἰ τῷ πρώτῳ καὶ ἀϊδίῳ καὶ αὐταρκεστάτῳ τοῦτ' αὐτὸ πρῶτον οὐχ ὡς ἀγαθὸν ὑπάρχει τὸ αὔταρκες καὶ ἡ σωτηρία. ἀλλὰ μὴν οὐ δι' ἄλλο τι ἄφθαρτον ἢ διότι εὖ ἔχει, οὐδ' αὔταρκες. ὥστε τὸ μὲν φάναι τὴν ἀρχὴν τοιαύτην εἶναι εὔλογον ἀληθὲς εἶναι. τὸ μέντοι ταύτην εἶναι τὸ ἕν, ἢ εἰ μὴ τοῦτο, στοιχεῖόν τε καὶ στοιχεῖον ἀριθμῶν, ἀδύνατον· συμβαίνει γὰρ πολλὴ δυσχέρεια, ἣν ἔνιοι φεύγοντες ἀπειρήκασιν, οἱ τὸ ἓν μὲν ὁμολογοῦντες ἀρχὴν εἶναι πρώτην καὶ στοιχεῖον, τοῦ ἀριθμοῦ δὲ τοῦ μαθηματικοῦ. ἅπασαι γὰρ αἱ μονάδες γίγνονται ὅπερ ἀγαθόν τι,
302 καὶ πολλή τις εὐπορία ἀγαθῶν. ἔτι εἰ τὰ εἴδη ἀριθμοί, τὰ εἴδη πάντα ὅπερ ἀγαθόν. ἀλλὰ μὴν ὅτου βούλεται τιθέτω τις εἶναι ἰδέας· εἰ μὲν γὰρ τῶν ἀγαθῶν μόνον, οὐκ ἔσονται οὐσίαι αἱ ἰδέαι· εἰ δὲ καὶ τῶν οὐσιῶν, πάντα τὰ ζῷα καὶ τὰ φυτὰ ἀγαθὰ καὶ τὰ μετέχοντα. ταῦτά τε δὴ συμβαίνει ἄτοπα, καὶ τὸ ἐναντίον στοιχεῖον, εἴτε πλῆθος ὂν εἴτε τὸ ἄνισον καὶ μέγα καὶ μικρόν, τὸ κακὸν αὐτό. διόπερ ὁ μὲν ἔφευγε τὸ ἀγαθὸν προσάπτειν τῷ ἑνὶ ὡς ἀναγκαῖον ὄν, ἐπειδὴ ἐξ ἐναντίων ἡ γένεσις, τὸ κακὸν τὴν τοῦ πλήθους φύσιν εἶναι· οἱ δὲ λέγουσι τὸ ἄνισον τὴν τοῦ κακοῦ φύσιν. συμβαίνει δὴ πάντα τὰ ὄντα μετέχειν τοῦ κακοῦ ἔξω ἑνὸς αὐτοῦ τοῦ ἑνός, καὶ μᾶλλον ἀκράτου μετέχειν τοὺς ἀριθμοὺς ἢ τὰ μεγέθη, καὶ τὸ κακὸν τοῦ ἀγαθοῦ χώραν εἶναι, καὶ μετέ- 1092*a*
χειν καὶ ὀρέγεσθαι τοῦ φθαρτικοῦ· φθαρτικὸν γὰρ τοῦ ἐναντίου τὸ ἐναντίον. καὶ εἰ ὥσπερ ἐλέγομεν ὅτι ἡ ὕλη

11. ὕστερον *E*, ἑτέρων $G^b$. | 12. τὴν om $G^b$. | 13. εἶναι om *T* Alex *ias*. | οἱ μέν κτλ.] Zeller Plat. Stud. p. 277 alterum enunciati membrum, quod a verbis οἱ δὲ ordiatur, addi iubet. | 21. εἶναι om *T*. | 21. 22. γε καὶ στοιχείων ἀριθμόν $G^bI^b$. | 23. μὲν om $G^b$. | 26. ἀπορία *Tas*. | εἰ om $A^b$. | 28. μόνων $G^bI^b$. | 29. αἱ οὐσίαι ἰδέαι *as*. | οὐσίαι om $G^b$ et rc $I^b$. | αἱ om *T*. | 30. τε om $G^b$. | 31. ἄτοπα] πάντα $F^b$. | 32. καὶ μέγα] εἴτε μέγα $G^b$ et rc $I^b$. | 33. ἀναγκαῖον] ἐναντίον *as*. | ὡς ἀναγκαῖον ὄν om $G^b$. | ἐπειδή — 35. εἶναι om $G^bI^b$. | 33. 34. ἐπειδὴ] ἐπεὶ δ' c. | 35. εἶναι — φύσιν om *T*.

1092*a* 1. εἶναι] ὄν *T*. | 2. 3. τὸ ἐναντίον τοῦ ἐναντίου $G^b$. | 3. ὅτι om *T*.



Digitized by Google

*ἐστὶ τὸ δυνάμει ἕκαστον, οἷον πυρὸς τοῦ ἐνεργείᾳ τὸ δυνάμει πῦρ, τὸ κακὸν ἔςαι αὐτὸ τὸ δυνάμει ἀγαθόν. ταῦτα δὴ πάντα συμβαίνει, τὸ μὲν ὅτι ἀρχὴν πᾶσαν στοιχεῖον ποιȣ͂σι, τὸ δ' ὅτι τἀναντία ἀρχάς, τὸ δ' ὅτι τὸ ἓν ἀρχήν, τὸ δ' ὅτι τȣ̀ς ἀριθμȣ̀ς τὰς πρώτας ȣ̓σίας καὶ χωριςὰς καὶ εἴδη.*

5 *Εἰ οὖν καὶ τὸ μὴ τιθέναι τὸ ἀγαθὸν ἐν ταῖς ἀρχαῖς καὶ τὸ τιθέναι ȣ̆τως ἀδύνατον, δῆλον ὅτι αἱ ἀρχαὶ ȣ̓κ ὀρθῶς ἀποδίδονται ȣ̓δὲ αἱ πρῶται οὐσίαι. οὐκ ὀρθῶς δ' ὑπολαμβάνει οὐδ' εἴ τις παρεικάζει τὰς τοῦ ὅλου ἀρχὰς τῇ τῶν ζῴων καὶ φυτῶν, ὅτι ἐξ ἀορίςων ἀτελῶν δὲ ἀεὶ τὰ τελειότερα, διὸ καὶ ἐπὶ τῶν πρώτων ȣ̆τως ἔχειν φησίν, ὥςε μηδὲ ὄν τι εἶναι τὸ ἓν αὐτό. εἰσὶ γὰρ καὶ ἐνταῦθα τέλειαι αἱ ἀρχαὶ ἐξ ὧν ταῦτα· ἄνθρωπος γὰρ ἄνθρωπον γεννᾷ, καὶ* 303 *οὐκ ἔςι τὸ σπέρμα πρῶτον. ἄτοπον δὲ καὶ τὸ τόπον ἅμα τοῖς ςερεοῖς [καὶ] τοῖς μαθηματικοῖς ποιῆσαι (ὁ μὲν γὰρ τόπος τῶν καθ' ἕκαςον ἴδιος, διὸ χωριςὰ τόπῳ, τὰ δὲ μαθηματικὰ ȣ̓ πȣ͂), καὶ τὸ εἰπεῖν μὲν ὅτι πȣ̄ ἔςαι, τί δέ ἐςιν ὁ τόπος, μή. ἔδει δὲ τοὺς λέγοντας ἐκ ςοιχείων εἶναι τὰ ὄντα καὶ τῶν ὄντων τὰ πρῶτα τοὺς ἀριθμούς, διελομένους πῶς ἄλλο ἐξ ἄλλου ἐςίν, οὕτω λέγειν τίνα τρόπον ὁ ἀριθμός ἐστιν ἐκ τῶν ἀρχῶν. πότερον μίξει; ἀλλ' οὔτε πᾶν μικτόν, τό τε γιγνόμενον ἕτερον, οὐκ ἔσται τε χωριστὸν τὸ ἓν ȣ̓δ' ἑτέρα φύσις, οἱ δὲ βȣ́λονται. ἀλλὰ συνθέσει, ὥσπερ συλλαβήν; ἀλλὰ θέσιν τε ἀνάγκη ὑπάρχειν, καὶ χωρὶς ὁ νοῶν νοήσει τὸ ἓν καὶ τὸ πλῆθος. τοῦτ' οὖν ἔςαι ὁ ἀριθμός, μονὰς καὶ πλῆθος, ἢ τὸ ἓν καὶ ἄνισον. καὶ ἐπεὶ τὸ ἐκ τινῶν εἶναι ἔςι μὲν ὡς ἐνυπαρχόντων ἔςι δὲ ὡς οὔ, ποτέρως ὁ ἀριθμός; οὕτως γὰρ ὡς ἐνυπαρχόντων οὐκ ἔστιν ἀλλ' ἢ ὧν γένεσίς ἐςιν. ἀλλ' ὡς ἀπὸ σπέρματος; ἀλλ' οὐχ οἷόν τε τοῦ ἀδιαιρέτου τι ἀπελθεῖν. ἀλλ' ὡς ἐκ τοῦ ἐναντίȣ μὴ ὑπομένοντος; ἀλλ' ὅσα οὕτως ἐςί, καὶ ἐξ ἄλλȣ τινός ἐςιν*

8. χωριστὰ $I^b$. | 9. μὴ μετιέναι $G^b$. | 11. αἱ om *E*. | δ' om $G^b$. | 11. 12. ὑπολαμβάνει οὐδ' om $F^b$. | 12. τῇ] τι *E*. | 13. ἀτελῶν om **as**. | 14. φασίν **iasc** et fort. Alex, videtur praeferendum. | 15. γὰρ] δὲ **as**. | αἱ om *T*. | 16. ταῦτα αὐτά· ἄνθρωπος $I^b$. | ἄνθρωπον om $G^b$. | 17. καὶ τὸν τόπον *E*. | 18. καὶ om $TA^b$ Alex **ias** et fort. Syr. | 19. ἕκαστα ὧν ἀΐδιος *T*. | 20. τί] τὸ *T*. | 21. post μὴ add ἄτοπον **is**. | 25. οὐκ ἔσται τε] οὐκ ἔσται, οὔτε *c*, τε om **as**. | 26. οἱ δὲ] οὐδὲ **ias**. | 27. τε om *E*. | 28. ἔσται οὖν $A^b$**asc**. | ὁ om *T***as**. | 33. ἀδιαίρετον $TA^b$**as**. | τι post τε Alex. | 34. ἐστιν om $I^b$.

Digitized by Google

ὑπομένοντος. ἐπεὶ τοίνυν τὸ ἓν ὁ μὲν τῷ πλήθει ὡς ἐναντίον τίθησιν, ὁ δὲ τῷ ἀνίσῳ, ὡς ἴσῳ τῷ ἑνὶ χρώμενος, ὡς ἐξ 1092b
ἐναντίων εἴη ἂν ὁ ἀριθμός. ἔϛιν ἄρα τι ἕτερον ἐξ οὗ ὑπομένοντος καὶ θατέρȣ ἐϛὶν ἢ γέγονεν. ἔτι τί δή ποτε τὰ μὲν ἄλλ᾽ ὅσα ἐξ ἐναντίων ἢ οἷς ἐϛὶν ἐναντία φθείρεται, κἂν ἐκ παντὸς ᾖ, ὁ δὲ ἀριθμὸς οὔ; περὶ τούτȣ γὰρ οὐθὲν λέγεται. καίτοι καὶ ἐνυπάρχον καὶ μὴ ἐνυπάρχον φθείρει τὸ ἐναντίον,
304 οἷον τὸ νεῖκος τὸ μῖγμα. καίτοι γε οὐκ ἔδει· οὐ γὰρ ἐκείνῳ γε ἐναντίον. οὐθὲν δὲ διώρισται οὐδὲ ὁποτέρως οἱ ἀριθμοὶ αἴτιοι τῶν οὐσιῶν καὶ τοῦ εἶναι, πότερον ὡς ὅροι, οἷον αἱ ϛιγμαὶ τῶν μεγεθῶν, καὶ ὡς Εὔρυτος ἔταττε τίς ἀριθμὸς τίνος, οἷον ὁδὶ μὲν ἀνθρώπου, ὁδὶ δὲ ἵππου, ὥσπερ οἱ τοὺς ἀριθμȣ̀ς ἄγοντες εἰς τὰ σχήματα τρίγωνον καὶ τετράγωνον, οὕτως ἀφομοιῶν τοῖς ψήφοις τὰς μορφὰς τῶν φυτῶν· ἢ ὅτι [ὁ] λόγος ἡ συμφωνία ἀριθμῶν, ὁμοίως δὲ καὶ ἄνθρωπος καὶ τῶν ἄλλων ἕκαστον; τὰ δὲ δὴ πάθη πῶς ἀριθμοί, τὸ λευκὸν καὶ γλυκὺ καὶ τὸ θερμόν; ὅτι δὲ οὐχ οἱ ἀριθμοὶ οὐσίαι οὐδὲ τῆς μορφῆς αἴτιοι, δῆλον· ὁ γὰρ λόγος ἡ ȣ̓σία, ὁ δ᾽ ἀριθμὸς ὕλη. οἷον σαρκὸς ἢ ὀστοῦ ἀριθμὸς ἡ οὐσία οὕτω· τρία πυρός, γῆς δὲ δύο· καὶ ἀεὶ ὁ ἀριθμὸς ὃς ἂν ᾖ τινῶν ἐϛίν, ἢ πύρινος ἢ γήϊνος ἢ μοναδικός. ἀλλ᾽ ἡ οὐσία τὸ τοσόνδ᾽ εἶναι πρὸς τοσόνδε κατὰ τὴν μῖξιν· τȣ̃το δ᾽ οὐκέτι ἀριθμὸς ἀλλὰ λόγος μίξεως ἀριθμῶν σωματικῶν ἢ ὁποιωνοῦν. οὔτε οὖν τῷ ποιῆσαι αἴτιος ὁ ἀριθμός, οὔτε ὅλως ὁ ἀριθμὸς οὔτε ὁ μοναδικός, οὔτε ὕλη οὔτε λόγος καὶ εἶδος τῶν πραγμάτων. ἀλλὰ μὴν οὐδ᾽ ὡς τὸ οὗ ἕνεκα.

6 Ἀπορήσειε δ᾽ ἄν τις καὶ τί τὸ εὖ ἐστὶ τὸ ἀπὸ τῶν

1092b 2. ἐναντίου *$G^bI^b$*. | ἂν εἴη *as*. | ἔστιν] fort. ἔσται. | 4. οἷοις *T*. | ἐναντία] ὑπάρχον *$G^b$*. | κἂν — 6. φθείρει om *$G^b$*. | 6. καὶ μὴ ἐνυπάρχον om *E*. | φθείρεται *$I^b$*. | 7. καίτοι γε *$TA^bG^bI^b$* Alex, καίτοι *ascb*. | ἐκείνῳ *$A^bG^bI^b$* Alex *i*, ἐκεῖνο *ascb*. | 9. αἴτιον *$I^b$*. | πρότερον *$I^b$*. | ὅρος *E*, σωροί *T*, οἱ ὅροι *$G^bI^b$*. | οἶνος *T*. | αἱ om *$TA^b$as*. | 10. μεγεθῶν] γραμμῶν fort. Alex Syr. | 10. 11. τις ἀριθμός τινος *asc*. | 13. ἀφ᾽ ὁμοίων *$I^b$*. | ἀφομοιοῦνται ψ. *as*, ἀφομοιοῦν ταῖς ψ. *c*. | ἀφορμὰς *as*. | 14. ὁ omittendum esse docui Obs. p. 26 sqq. | ἡ scripsi cum Alex, ἢ *ascb*, *et i*. | ἀρ.] τῶν ἀρ. Alex. | καὶ] καὶ ὡς *T*, καὶ ὁ *$G^b$*. | 15. καὶ om *$G^b$*. | 16. τὸ om *Tas*. | 17. ουσία *ET*. | ἡ om *Tas*. | 18. ἡ] ἡ δ᾽ *ET*, ἢ *as*, om Alex. | 18. 19. post οὐσία puncto, post οὕτω non dist *cb*, cf. Alex p. 806, 35. | 19. ὃς] ὡς *T*. | 21. πρὸς τὸ τοσόνδε *Tas*. | οὐκ ἔστιν *$EG^b$as*, *hoc sane non est i*. | 22. μίξεων *$G^bI^b$*. | ἢ om *T*. | 23. τοῦ *T* Alex. | 23. 24. οὔτε ὅλως ὁ ἀριθμὸς om *T*, ὁ om *$A^b$as*. | 24. ὁ] εἰ *T*.

Digitized by Google

ἀριθμῶν τῷ ἐν ἀριθμῷ εἶναι τὴν μῖξιν, ἢ ἐν εὐλογίστῳ ἢ
ἐν περιττῷ. νυνὶ γὰρ οὐθὲν ὑγιεινότερον τρὶς τρία ἂν ᾖ τὸ
μελίκρατον κεκραμένον, ἀλλὰ μᾶλλον ὠφελήσειεν ἂν ἐν
οὐθενὶ λόγῳ ὂν ἰδαρὲς δὲ ἢ ἐν ἀριθμῷ ἄκρατον ὄν. ἔτι οἱ
λόγοι ἐν προσθέσει ἀριθμῶν εἰσὶν οἱ τῶν μίξεων, οὐκ ἐν
ἀριθμοῖς, οἷον τρία πρὸς δύο, ἀλλ' οὐ τρὶς δύο. τὸ γὰρ
αὐτὸ δεῖ γένος εἶναι ἐν ταῖς πολλαπλασιώσεσιν. ὥστε δεῖ 305
μετρεῖσθαι τῷ τε Α τὸν ςοῖχον ἐφ' ȣ̃ ΑΒΓ καὶ τῷ Δ τὸν
ΔΕΖ· ὥςε τῷ αὐτῷ πάντα. οὐκοῦν ἔςαι πυρὸς ΒΕΓΖ,
1093a καὶ ὕδατος ἀριθμὸς δὶς τρία. εἰ δ' ἀνάγκη πάντα ἀριθμȣ̃
κοινωνεῖν, ἀνάγκη πολλὰ συμβαίνειν τὰ αὐτά, καὶ ἀριθμὸν
τὸν αὐτὸν τῷδε καὶ ἄλλῳ. ἆρ' οὖν τοῦτ' αἴτιον καὶ διὰ
τοῦτό ἐςι τὸ πρᾶγμα, ἢ ἄδηλον; οἷον ἔςι τις τῶν τοῦ ἡλίȣ
φορῶν ἀριθμός, καὶ πάλιν τῶν τῆς σελήνης, καὶ τῶν ζῴων
γε ἑκάςȣ τοῦ βίȣ καὶ ἡλικίας· τί οὖν κωλύει ἐνίȣς μὲν τȣ́-
των τετραγώνους εἶναι ἐνίους δὲ κύβους, καὶ ἴσους τοὺς
δὲ διπλασίȣς; οὐθὲν γὰρ κωλύει, ἀλλ' ἀνάγκη ἐν τούτοις
στρέφεσθαι, εἰ ἀριθμοῦ πάντα ἐκοινώνει, ἐνεδέχετό τε τὰ
διαφέροντα ὑπὸ τὸν αὐτὸν ἀριθμὸν πίπτειν. ὥς' εἴ τισιν ὁ
αὐτὸς ἀριθμὸς συμβεβήκει, ταὐτὰ ἂν ἦν ἀλλήλοις ἐκεῖνα
τὸ αὐτὸ εἶδος ἀριθμοῦ ἔχοντα, οἷον ἥλιος καὶ σελήνη τὰ
αὐτά. ἀλλὰ διὰ τί αἴτια ταῦτα; ἑπτὰ μὲν φωνήεντα,
ἑπτὰ δὲ χορδαὶ ἢ ἁρμονίαι, ἑπτὰ δὲ αἱ πλειάδες, ἐν ἑπτὰ
δὲ ὀδόντας βάλλει, ἔνιά γε, ἔνια δ' οὔ· ἑπτὰ δὲ οἱ ἐπὶ
Θήβας. ἆρ' οὖν ὅτι τοιοσδὶ ὁ ἀριθμὸς πέφυκεν, διὰ τοῦτο
ἢ ἐκεῖνοι ἐγένοντο ἑπτὰ ἢ ἡ πλειὰς ἑπτὰ ἀςέρων ἐςίν; ἢ
οἱ μὲν διὰ τὰς πύλας ἢ ἄλλην τινὰ αἰτίαν, τὴν δὲ ἡμεῖς
οὕτως ἀριθμοῦμεν, τὴν δὲ ἄρκτον γε δώδεκα, οἱ δὲ πλείȣς.
ἐπεὶ καὶ τὸ ΞΨΖ συμφωνίας φασὶν εἶναι, καὶ ὅτι ἐκεῖναι
τρεῖς, καὶ ταῦτα τρία. ὅτι δὲ μυρία ἂν εἴη τοιαῦτα, οὐθὲν

27. τῷ scripsi cum Alex, τὸ *ascb*. | εὐλογίστῳ ἢ *E*. | 29. ἂν om *T*. | ἐν om *as*. | 30. δὲ om $G^b$. | 31. 32. ἐν τοῖς ἀριθμοῖς *Tas*. | 33. πολλαπλασιάσεσιν $G^bI^b$ Alex, fort. recte. | δ' εἰ *T*, om $G^b$. | 34. τῷ] τό $G^bI^b$. | τὸ στοιχεῖον *as*. | ἐφ' οὗ om $G^b$. | τῶν ΔΕΖ*as*. | 35. ΔΕ om $G^b$.

1093a 6. 7. μὲν τούτων om $G^b$. | 10. αὐτὸν post ἀριθμὸν *T*, om $G^b$. | τις *T*. | 11. ταῦτα $TA^bG^ba$. | 12. οἷον — 13. αὐτά om $G^bI^b$. | 13. ἑπτὰ] τὰ ἑπτὰ $F^b$. | 14. ἡ ἁρμονία $EF^b$. | 15. ἔνιά γε, om *E*. | 16. ὅτι om *T*. | τοιόσδ' $G^b$. | πέφυκεν om $G^bI^b$. | 18. ἢ δι' ἄλλην $G^b$. | post αἰτίαν interrogandi signum habent *isc*. | τὴν] εἰ *as*. | 19. post ἀριθμοῦμεν signum interrogandi habet *b*. | 20. συμφωνίαν *Ta*. | 21. 22. *nemo curat i*.

Digitized by Google

μέλει· τῷ γὰρ Γ καὶ Ρ εἴη ἂν ἓν σημεῖον. εἰ δ' ὅτι διπλάσιον τῶν ἄλλων ἕκαστον, ἄλλο δ' οὔ (αἴτιον δ' ὅτι τριῶν
306 ὄντων τόπων ἓν ἐφ' ἑκάστου ἐπιφέρεται τὸ σίγμα), διὰ τοῦτο τρία μόνον ἐστίν, ἀλλ' οὐχ ὅτι αἱ συμφωνίαι τρεῖς, ἐπεὶ πλείους γε αἱ συμφωνίαι· ἐνταῦθα δ' οὐκέτι δύναται. ὅμοιοι δὴ καὶ οὗτοι τοῖς ἀρχαίοις Ὁμηρικοῖς, οἳ μικρὰς ὁμοιότητας ὁρῶσι, μεγάλας δὲ παρορῶσιν. λέγουσι δέ τινες ὅτι πολλὰ τοιαῦτα, οἷον αἵ τε μέσαι ἡ μὲν ἐννέα ἡ δὲ ὀκτώ, καὶ τὸ ἔπος δεκαεπτά, ἰσάριθμον τούτοις· βαίνεται δ' ἐν μὲν τῷ δεξιῷ ἐννέα συλλαβαῖς, ἐν δὲ τῷ ἀριστερῷ ὀκτώ. 1093b
καὶ ὅτι ἴσον τὸ διάστημα ἔν τε τοῖς γράμμασιν ἀπὸ τοῦ Α πρὸς τὸ Ω, καὶ ἀπὸ τοῦ βόμβυκος ἐπὶ τὴν ὀξυτάτην νεάτην ἐν αὐλοῖς, ἧς ὁ ἀριθμὸς ἴσος τῇ οὐλομελείᾳ τοῦ οὐρανοῦ. ὁρᾶν δὲ δεῖ μὴ τοιαῦτα οὐθεὶς ἂν ἀπορήσειεν οὔτε λέγειν οὔθ' εὑρίσκειν ἐν τοῖς ἀϊδίοις, ἐπεὶ καὶ ἐν τοῖς φθαρτοῖς. ἀλλ' αἱ ἐν τοῖς ἀριθμοῖς φύσεις αἱ ἐπαινούμεναι καὶ τὰ τούτοις ἐναντία καὶ ὅλως τὰ ἐν τοῖς μαθήμασιν, ὡς μὲν λέγουσί τινες καὶ αἴτια ποιοῦσι τῆς φύσεως, ἔοικεν οὑτωσί γε σκοπουμένοις διαφεύγειν· κατ' οὐθένα γὰρ τρόπον τῶν διωρισμένων περὶ τὰς ἀρχὰς οὐθὲν αὐτῶν αἴτιόν ἐστιν. ἐκεῖνο μέντοι ποιοῦσι φανερὸν ὅτι τὸ εὖ ὑπάρχει καὶ τῆς συστοιχίας ἐστὶ τῆς τοῦ καλοῦ τὸ περιττόν, τὸ εὐθύ, τὸ ἴσον, αἱ δυνάμεις ἐνίων ἀριθμῶν· ἅμα γὰρ ὧραι καὶ ἀριθμὸς τοιοσδί· καὶ τἆλλα δὴ ὅσα συνάγουσιν ἐκ τῶν μαθηματικῶν θεωρημάτων πάντα ταύτην ἔχει τὴν δύναμιν. διὸ καὶ ἔοικε συμπτώμασιν· ἔστι γὰρ συμβεβηκότα μέν, ἀλλ' οἰκεῖα ἀλλήλοις πάντα, ἓν δὲ τῷ ἀνάλογον· ἐν ἑκάστῃ γὰρ τοῦ ὄντος κατηγορίᾳ ἐστὶ τὸ ἀνάλογον, ὡς εὐθὺ ἐν μήκει, οὕτως
307 ἐν πλάτει τὸ ὁμαλὸν ἴσως, ἐν ἀριθμῷ τὸ περιττόν, ἐν δὲ χρόᾳ τὸ λευκόν. ἔτι οὐχ οἱ ἐν τοῖς εἴδεσιν ἀριθμοὶ αἴτιοι

22. μέλλει *E*. | τῷ *EA^b iac*, τὸ *sb*. | 24. ἀφ' *T*. | τὸ *G^b* Alex et γρ Cas, τῷ *iascb*. | 25. ὅθ' *A^b as*. | 28. ὅτι] fort. ἔτι. | 29. ἡ δὲ] οἱ δὲ *T*.
1093*b* 1. συλλαβάς *T*, συλλαβαί *EG^b*. | 2. πράγμασιν *E*. | 3. Ω] β *G^b I^b*. | 4. ἰσότης *ETA^b ias*. | ὁλομελίᾳ *as*. | τοῦ] τε τοῦ *E*. | 5. δεῖ] δὴ *E*, δεῖ δὴ *T*. | οὐθεὶς γὰρ ἂν *ias*. | 7. φύσεις ὡς αἱ *G^b*. | 9. 10. οὕτω οὔγε *T*. | 10. σκοπούμενοι *TI^b*. | διαφεύγει *Ta*. | 11. ἓν *A^b*. οὐθὲν — 13. ἴσον om *T*. | 11. ἐκεῖνο] ὡς *A^b* Alexi *as*, fort. recte, om *E*. | 12. εὖ] ἓν Alex. | καὶ et συστοιχίας om *E*. | 12. 13. συστοιχείας *a*. | 13. ἐστὶ] ταύτης ἐστὶ *G^b I^b*. | ἰσάριθμον *E*, ἰσάκις ἴσον *G^b I^b* Alex. | αἱ] καὶ *T*, καὶ αἱ *G^b I^b c*. | 14. τοιόσδε *T*. | 15. δ' *T*. | 18. τῷ *EI^b* Alex et fort *i*, τὸ *ascb*. | 21. χροίᾳ *TA^b*.



Digitized by Google

*τῶν ἁρμονιῶν καὶ τῶν τοιούτων· διαφέρουσι γὰρ ἐκεῖνοι ἀλλήλων οἱ ἴσοι εἴδει, καὶ γὰρ αἱ μονάδες· ὥστε διά γε ταῦτα εἴδη οὐ ποιητέον. τὰ μὲν οὖν συμβαίνοντα ταῦτά τε κἂν ἔτι πλείω συναχθείη. ἔοικε δὲ τεκμήριον εἶναι τὸ πολλὰ κακοπαθεῖν περὶ τὴν γένεσιν αὐτῶν καὶ μηθένα τρόπον δύνασθαι συνεῖραι τοῦ μὴ χωριστὰ εἶναι τὰ μαθηματικὰ τῶν αἰσθητῶν, ὡς ἔνιοι λέγουσι, μηδὲ ταύτας εἶναι τὰς ἀρχάς.*

22. ἁρμονιῶν scripsi cum Alex, ἁρμονικῶν *icb*, ἀριθμῶν *as*. | 22. 23. ἀλλήλων ἐκεῖνοι $G^b I^b$. | 23. διά om *E*. | 24. ταυτὰ *E*. | 25. συναχθῇ *T*. | 26. 27. τόπον *T*, λλοιπὸν *E*. | 27. συϊδεῖν *E*.

---

Typis exscripsit A. W. Schade Berolinensis.

Digitized by Google

Digitized by Google

Digitized by Google

3 2044 038 411 492

Digitized by Google